σύνθετον, κατὰ σύνθεσιν ἀνάγκη γίνεσθαι· ἀλλ' εἰ ὁ τρόπος τῆς κατὰ σύνθεσιν γενέσεως πάσῃ γενέσει ἁρμόττει, περιττῶς τῶν ἄλλων τῆς γενέσεως τρόπων διέσταλται τῇ οἰκείᾳ διαφορᾷ. Ἔτι εἰ τὰ ὑποκείμενα ταῖς ῥηθείσαις γενέσεσιν οὐσίαι εἰσὶ καὶ ἐν αὐταῖς θεωρεῖται τὸ διττὸν τοῦ ὑποκειμένου, τουτέστι τὸ ὑποκείμενον καὶ τὸ ἀντικείμενον, ἡ δὲ ὕλη οὐσία οὐκ ἔστι, πῶς ἁρμόττει ὁ τρόπος τῆς γενέσεως τῶν ἐξ οὐσιῶν γινομένων τῷ τρόπῳ τῆς γε- D
νέσεως τῶν μὴ ἐξ οὐσίας γινομένων; Ἀνάγκη ἄρα ἢ οὐσίαν εἶναι τὴν ὕλην, ἢ τρόπῳ ἑτέρῳ γίνεσθαι τὰ ἐκ τῆς ὕλης γινόμενα παρὰ τοὺς ῥηθέντας τρόπους τῆς γενέσεως. Ἀλλ' ἐπειδὴ τῇ πραγ-

6. δὲ] Superfluum esse videtur. Aut (Sylburg.) in primo commate post τὸ ζῶον subaudiendum est verbum ἐστί. — Mox vulgo legitur δῆλον ὅτι τοῦ αὐτοῦ ζώου γιγνομένου μέν etc..

7. πῶς οὖν] Sic πῶς οὖν, praecedente εἰ, in apodosi passim

alterum non e semine: quo pacto falsum non est semper animantes satu procreari? Eadem est de plantis ratio. Item si principium ejus quod satu fit est sator, is autem in commentatione Physicae Auscultationis Aristotelis ignotus et indefinitus est: qua de causa commentatio ea instituta est, quum principium ignoretur primi animalis et plantae? Sequitur enim ignorationem principii ignoratio eorum quae ex principio sunt. Si animal, quod fit ex semine, secundum naturam fit: liquet idem animal, si fiat quidem, non tamen e semine, non fieri secundum naturam. Dicant igitur Aristotelici, secundum quid fiat animal quod non fit secundum naturam. Deinde si assignato animalis diverso nascendi modo, nempe illius, quod e semine et secundum naturam, et illius, quod non e semine nec secundum naturam fit, necesse est finitam esse generationem: quomodo igitur dicunt Gentiles animalia ac plantas, quae secundum naturam facta sunt, aeque ac Deum carere principio, quum ne primo quidem animali et plantae aequalia esse possint? Praeterea si quidquid fit semper compositum est: quomodo modum, quo fiunt quae per compositionem fiunt, proprio modi discrimine ab aliis generationis modis segregas? Nam si compositum est quidquid genitum, necesse est ut per compositionem gignatur; sed si generationis per compositionem modus generationi omni convenit, frustra ab aliis generationis modis segregatur proprio discrimine. Item si quae subjecta sunt iis, quas diximus, generationibus substantiae sunt atque in iis subjectum bifariam consideratur, id est subjectum et oppositum, materia autem substantia non est: quomodo quadrat modus generationis eorum quae ex substantiis gignuntur cum modo generationis eorum quae non ex substantiis generantur? Necesse ergo est vel substantiam esse materiam, vel quae ex materia gignuntur alio modo gigni ac praedictis generationis modis. Sed quia in pertractatione Physi-

exstat: cf. Quaestt. Gentt. ad Christt. XI. (15.) not. 53.. Coll. Quaestt. et Respp. ad Orth. 90. not. 2.. — Tum Maranus male σύναρχα pro συνάναρχα.

ματείᾳ τῆς Φυσικῆς ἀκροάσεως ἡ ὕλη διώρισται μὴ εἶναι οὐσία καὶ ὁ τρόπος τῆς γενέσεως τῶν ἐξ αὐτῆς γινομένων οὐ παραδέδοται, πῶς οὐ περιττὴ αὕτη ἡ πραγματεία, ἐν ᾗ τὸ σαφὲς ἄπο- E
ρον; Ἔτι εἰ, ὡς ἀνάγκη τῇ φύσει καὶ τῇ τέχνῃ τὸ μὴ ἐκ τοῦ τυχόντος ποιεῖν τὰ τυχόντα, ἀλλ' [8] ἐκ τῶν ὡρισμένων τὰ ὡρισμένα, οὕτως ἀνάγκη καὶ τῷ θεῷ ἐκ τῶν ὡρισμένων ποιεῖν τὰ ὡρισμένα, τίς ἐστιν ὁ τῷ θεῷ τοῦτον τὸν ὅρον θέμενος; Ὅτι δὲ τῇ φύσει καὶ τῇ τέχνῃ ὁ θεὸς ἔθηκε τοῦτον ὅρον, φανερόν. Εἰ δὲ ὁ θεὸς ὑπὸ τὸν ὅρον οὐκ ἔστιν, ἀλλὰ ποιεῖ ἐκ τοῦ τυχόν- 114
τος τὰ τυχόντα, τῇ τοῦ ὅρου ἀνάγκῃ μὴ κωλυόμενος τοῦ ποιεῖν ἃ βούλεται, πῶς οὐκ ἠλευθέρωται καὶ τοῦ ὅρου τοῦ ποιεῖν ἐκ τῶν ὑποκειμένων κατ' ἀνάγκην;

2. Τοῦ αὐτοῦ Ἀριστοτέλους ἐκ τοῦ αὐτοῦ λόγου.

[1] Ἔστι δὲ τὸ ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο. B
Ὁ μὲν γὰρ ἄνθρωπος καὶ ὁ χρυσὸς καὶ ὅλως ἡ ὕλη ἀριθμητή· τόδε γάρ τι μᾶλλον, καὶ οὐ κατὰ συμβεβηκὸς ἐξ αὐτοῦ γίνεται τὸ γινόμενον. Ἡ δὲ στέρησις καὶ ἡ ἐναντίωσις συμβεβηκός· ἓν δὲ τὸ εἶδος, οἷον ἡ τάξις, [2] ἡ μουσική, ἢ τῶν ἄλλων τι τῶν οὕτω κατηγορουμένων. [3] Δι' ὧν ἔστι μὲν ὡς δύο λεκτέον εἶναι τὰς ἀρχάς, ἔστι δ' ὡς τρεῖς· καὶ ἔστι μὲν ὡς τὰ ἐναντία, οἷον εἴ τις λέγοι τὸ μουσικὸν καὶ τὸ ἄμουσον ἢ τὸ θερμὸν καὶ τὸ C
ψυχρὸν ἢ τὸ ἡρμοσμένον καὶ [4] τὸ ἀνάρμοστον, ἔστι δ' ὡς οὔ· ὑπ' ἀλλήλων γὰρ πάσχειν τὰ ἐναντία ἀδύνατον. Λύεται δὲ καὶ τοῦτο διὰ τὸ ἄλλο εἶναι τὸ ὑποκείμενον· τοῦτο γὰρ οὐκ ἐναντίον. Ὥστε οὔτε πλείους τῶν ἐναντίων αἱ ἀρχαὶ τρόπον τινά, ἀλλὰ δύο ὡς εἰπεῖν τῷ ἀριθμῷ, οὔτε αὖ παντελῶς δύο διὰ τὸ ἕτερον ὑπάρχειν τὸ εἶναι αὐτοῖς, ἀλλὰ τρεῖς.

Εἰ ἔστι τὸ ὑποκείμενον ἀριθμῷ μὲν ἕν, εἴδει δὲ δύο, ἀφ' D
ὧν δεῖ ἓν τῷ ἑνὶ ὑποκεῖσθαι, πῶς οὐκ ἔστι τὸ ὑποκείμενον αὐτὸ ἑαυτῷ ὑποκείμενον; Εἰ δὲ τοῦτο ἀδύνατον, πῶς οὐκ ἔστι ψευδὲς τὸ εἴδει δύο εἶναι τὸ ὑποκείμενον; Ἔτι εἰ δεῖ ὑποκεῖσθαί τι ἀεὶ τῶν γινομένων, ἔστι δὲ τοῦτο ἡ ὕλη, πῶς οὐκ ἔστιν ἡ ὕλη ἀεὶ γενητή; Ἀεὶ γὰρ τῷ ἑνὶ τῶν ἐναντίων ὑπόκει-

8. ἐκ τ. ὡρισμ. τ. ὡρ.] H. e. ex destinatis et certis destinata et certa.

1. Ἔστι ... τρεῖς] Lib. I. c. 7. p. 190. sq..

cae Auscultationis materiam statuitur non esse substantiam nec modus generationis eorum quae ex illa fiunt exponitur: an non inutilis ipsa pertractatio, in qua non reperitur quid liqueat? Adhuc si, quemadmodum necesse est naturae et arti non quaelibet facere ex quibuslibet, sed ex definitis definita, ita Deo necessitas adest ex definitis faciendi definita: quis est qui hanc Deo legem imposuit? Ac naturae et arti hanc a Deo legem impositam fuisse manifestum est. At si Deus legi non subest, sed ex quolibet quaelibet facit, nulla eum legis necessitate prohibente quominus quidquid vult efficiat: quomodo non liber est etiam a lege ex subjectis necessario faciendi?

2. Ejusdem Aristotelis ex eodem libro.

Est autem subjectum numero quidem unum, forma autem duo. Nam homo et aurum et generatim materia numero subjecta: est enim hoc aliquid magis, neque id quod fit per accidens ex eo fit. Est autem accidens privatio et contrarium; unum vero est forma, velut ordo, musica, vel eorum quidpiam quae simili modo dicuntur. Quapropter licet quidem duo dicere principia, licet etiam tria; licet etiam contraria dicere, velut si quis dicat musicum et immusicum aut calidum et frigidum aut constructum et inconstructum, rursus etiam licet non dicere: contraria enim a se invicem pati non possunt. Solvitur autem etiam hoc, quia aliud est subjectum: illud enim non est contrarium. Quare nec plura contrariis principia quodammodo sunt, sed duo, ut ita dicam, numero: nec rursus omnino duo, quia alia iis inest essentia, sed tria.

Si subjectum numero quidem unum, forma autem duo, quum necesse sit unum uni subjici: quomodo subjectum non est sibi ipsi subjectum? Quodsi id fieri nequit: quomodo falsum non est forma duo esse subjectum? Deinde si necesse est semper subjici aliquid eorum quae fiunt, id autem materia est: quomodo non genita semper est materia? Semper enim

2. ἡ] Arist. ἢ ἡ. — 3. Δι' ὧν] Arist. διό. — Mox bis τἀναντία pro τὰ ἐναντία. — 4. τὸ] Omisit Maranus errore.

ται. Ἢ γὰρ τῇ στερήσει ὑπόκειται ἢ τῷ εἴδει ἐναντίῳ ὄντι τῇ στερήσει· καὶ τῷ εἴδει μὲν γίνεται [5] εὔμορφος, τῇ στερήσει δὲ ἄμορ- E φος. Πῶς οὖν οὐκ ἔστιν οὐσία γενητὴ ἡ ὕλη, ἀεὶ τὸ εἶναι γενητῶς ἔχουσα; Ἔτι εἰ ἡ στέρησις οὐδέν ἐστιν ἕτερον παρὰ τὴν ἀναίρεσιν παντὸς τοῦ ὄντος, ἔχουσα δὲ ταύτην ἡ ὕλη, πῶς οὐκ ἀνήρηται αὐτῆς καὶ τὸ εἶναι αὐτὴν ὕλην; Ἔτι εἰ ἀπόντος τοῦ εἴδους τῆς ὕλης ἄπεστιν αὐτῆς καὶ τὸ εἶναι αὐτὴν οὐσίαν καὶ τὸ τόδε τι καὶ τὸ ὄν, οὐδαμοῦ ἄρα ἡ ὕλη ἀπόντος αὐτῆς τοῦ εἴδους. 115
Ἔτι εἰ ἀριθμητὴ ἡ ὕλη, τὰ δὲ ἐναντία [6] τὰ ταύτῃ συμβεβηκότα οὐκ ἀριθμητά, πῶς τρεῖς ἀρχαί, ἥ τε ὕλη καὶ τὰ ταύτῃ συμβεβηκότα; [7] Εἰ οὐδὲν ὢν ἐν τῇ συστάσει τῶν φύσεων γινομένων θεωροῦμεν ἔστιν ἐκ τῆς ὕλης, οὐδὲ τὸ ποιόν, οὐδὲ τὸ ποσόν, πῶς ἐξ αὐτῆς τὰ γινόμενα γίνεται καθ' αὐτά; Εἰ ἀδύνατόν τι εἶναι [8] καὶ μὴ εἶναι τόδε τι, πῶς διὰ τὴν στέρησιν τόδε τι μὴ οὖσα ἡ ὕλη τὸ εἶναι ἔχει; Εἰ ἡ στέρησις καὶ τὸ εἶδος τῇ ὕλῃ B συμβέβηκεν, οὐσία δὲ οὐκ ἔστιν ἡ ὕλη, πῶς ταύτῃ συμβέβηκε τὰ ἐναντία; Τῇ γὰρ οὐσίᾳ συμβαίνει τὰ συμβεβηκότα. Εἰ ὥσπερ ἡ τάξις ἐν τοῖς τεταγμένοις, οὕτως καὶ τὸ εἶδος ἐν τῇ ὕλῃ, πῶς τὰ μὲν ἄτακτα πρὸ τῆς τάξεως τὸ εἶναι τόδε τι ἔχει, [9] ἡ δ' ὕλη πρὸ τοῦ εἴδους τὸ εἶναι τόδε μὴ ἔχουσα, σώζεται ἐν τῇ ὕλῃ ἡ ἀναλογία τῆς τάξεως ὡς πρὸς τὸ εἶδος; Εἰ ἐν τῇ συνθέσει μὲν C τῶν γινομένων δύο θεωροῦνται μόναι ἀρχαί, ἥ τε ὕλη καὶ τὸ εἶδος, χωρὶς δὲ συνθέσεως τρεῖς εἰσιν ἀρχαί, ἥ τε ὕλη καὶ ἡ στέρησις καὶ τὸ εἶδος, δῆλον ἄρα ὅτι μὴ ὄντος μὲν τοῦ γινομένου κείμεναι τρεῖς ἦσαν ἀρχαί· ὄντος δὲ τοῦ γινομένου οὐ τρεῖς, ἀλλὰ δύο. Πῶς οὖν οὐκ ἔστι τὸ γινόμενον ἀρχὴ τῆς ἀπωλείας τῆς μιᾶς ἀρχῆς; [10] Ἢ εἰ μὴ ἀπώλετο, οὐκ ἂν ἐγίνετο τὸ γινόμενον. Εἰ ὥσπερ πάσχει ὁ ἄνθρωπος ὑπὸ τοῦ μουσικοῦ καὶ τοῦ ἀμού- D σου καὶ τὸ σῶμα ὑπὸ ψυχροῦ καὶ θερμοῦ καὶ ἡ φωνὴ ὑπὸ τῆς ἁρμονίας τε καὶ ἀναρμοστίας, οὕτως πάσχει ἡ ὕλη ὑπὸ τοῦ εἴδους

5. εὔμορφος] Arcerius mavult ἔμμορφος: non male. *Sylburgius.*

6. τὰ] Hunc articulum Marano Reg. 1. suppeditavit.

7. Εἰ etc.] Codd. msti et editi vitiose Εἰ οὐδὲν ὢν ... θεωρούμενόν ἐστιν. Sylburgius pro ὢν voluit legi τῶν, sed tum etiam θεωρουμένων legendum est. Maranus nihil mutandum censuit nisi θεωρούμενον in θεωροῦμεν, idque in textu posui.

8. καὶ μὴ ε. τ. τι] Codd. msti

uni contrariorum subjicitur. Vel enim privationi subjicitur vel formae quae contraria est privationi; ac forma quidem fit formata, privatione autem informis. Quomodo ergo materia non est substantia genita, quae semper esse habet genite? Item si privatio nihil est aliud nisi omnis entis abolitio, haec autem inest materiae: quomodo non ab ea aufertur et quod ipsa est materia? Porro si, absente forma a materia, abest etiam ab ea quominus sit substantia et certum quid et ens: nullibi certe materia, absente forma. Item si numerabilis materia, quae autem ei accidunt minime numerabilia: quomodo tria sunt principia, materia et quae illi accidunt? Si nihil eorum quae in constitutione naturarum genitarum cernimus est ex materia, nec qualitas, nec quantitas: quomodo quae ex ea fiunt per seipsa fiunt? Si fieri non potest ut aliquid sit nec certum quid sit: quomodo materia, quum propter privationem non sit certum quid, esse habet? Si privatio et forma materiae accidunt, substantia autem non est materia: quomodo ei accidunt contraria? Nam quae accidentia sunt substantiae accidunt. Si quemadmodum ordo in iis quae ordinantur, ita quoque forma in materia: quomodo ea quae carent ordine habent ante ordinem ut certum quid sint, materia autem etsi ante formam non habet ut certum quid sit, in ea tamen servatur proportio ordinis ad formam? Si in compositione eorum quae fiunt duo tantum spectantur principia, materia et forma, absque compositione autem tria sunt principia, materia et privatio et forma: liquet profecto, si non exsistat id quod fit, tria poni principia; si exsistat illud, non tria, sed duo. Quomodo ergo non est id quod fit principium abolitionis unius principii? Quod quidem si non periret, non fieret id quod fit. Si quemadmodum homo afficitur a musico et ab immusico atque corpus a frigido et a calido atque vox a consono et a dissono, ita

et editi μὴ εἶναι καὶ τόδε τι. Quae quidem particulae καὶ positura ferri nequit: quapropter mutavi in textu. Cf. Cohort. ad Gent. c. 2. not. 12..

9. ἡ δ' ὕλη] Sic cum Lango et Marano scribendum pro vulg. ἔχει; ἡ γὰρ ὕλη. Mox pro τῇ ὕλῃ conjeceris ταύτῃ.

10. Ἢ etc.] Maran.: ἀρχῆς, ἡ (sic) ... γιγνόμενον;

STAATSBIBLIOTHEK BAMBERG

καὶ τῆς στερήσεως, ἔστω ἡ ὕλη οὐσία, ὡς ἄνθρωπος καὶ τὸ σῶμα, ἢ συμβεβηκός, ὡς ἡ φωνή, ἵνα σωθῇ τὸ τῆς ἀναλογίας ἀκόλουθον· εἰ δὲ οὔτε οὐσία ἐστὶν ἡ ὕλη οὔτε συμβεβηκός, οὐδ' ἄρα πάσχει ὑπὸ τῶν ἐναντίων.

3. Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου. E

[1] Πόσαι μὲν οὖν αἱ ἀρχαὶ τῶν περὶ γένεσιν φυσικῶν, [2] καὶ
πῶς, εἴρηται· καὶ δῆλόν ἐστιν ὅτι δεῖ ὑποκεῖσθαί τι τοῖς ἐναν-
τίοις καὶ τὰ ἐναντία δύο εἶναι. Τρόπον δέ τινα ἄλλον οὐκ ἀναγ-
καῖον· [3] ἱκανὸν γὰρ τὸ ἕτερον τῶν ἐναντίων ποιεῖν [4] τῇ παρου-
σίᾳ καὶ ἀπουσίᾳ τὴν μεταβολήν. Ἡ δὲ ὑποκειμένη φύσις ἐπι- 116
στητὴ κατ' ἀναλογίαν. Ὡς γὰρ πρὸς ἀνδριάντα χαλκὸς ἢ πρὸς
κλίνην ξύλον ἢ πρὸς τῶν ἄλλων τι τῶν ἐχόντων μορφὴν ἡ ὕλη
καὶ τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν, οὕτως αὕτη
πρὸς οὐσίαν ἔχει καὶ τὸ τόδε τι καὶ τὸ ὄν. Μία μὲν οὖν ἀρχὴ
αὕτη, οὐχ οὕτω μία οὖσα [5] οὐδὲ ἓν ὡς τὸ τόδε τι, μία δὲ ἡ
ὁ λόγος, [6] ἔτι δὲ τὸ ἐναντίον τούτῳ ἡ στέρησις. [7] Πότερον δὲ
οὐσία τὸ εἶδος ἢ τὸ ὑποκείμενον, οὔπω δῆλον.

Εἰ τὸ εἶδος τῇ παρουσίᾳ αὐτοῦ εἰδοποιεῖ τὴν ὕλην καὶ τῇ B
ἀπουσίᾳ αὐτοῦ ποιεῖ ἀνείδεον, εἰσὶ δὲ ἀρχαὶ δύο, τό δε εἶδος καὶ
τὸ ἀνείδεον, ποιεῖ δὲ αὐτὰ ταῦτα καὶ ἡ στέρησις τῇ παρουσίᾳ
αὐτῆς καὶ τῇ ἀπουσίᾳ, ἔσονται ἄρα αἱ ἀρχαὶ ὑπ' ἀλλήλων γινό-
μεναί τε καὶ ἀναιρούμεναι καὶ οὐκ ἀΐδιοι· τὸ γὰρ ἀΐδιον παρου-
σίας τινὸς καὶ ἀπουσίας οὐ χρήζει πρὸς τὸ εἶναι. Εἰ τῇ παρου-
σίᾳ καὶ ἀπουσίᾳ τῶν ἐναντίων γίνεται τῶν ἀρχῶν ἡ μεταβολή, C
δῆλον ὅτι γίνεται ἡ μεταβολὴ ἐκ τοῦ εἶναι αὐτὰς ἀρχάς. Πῶς
οὖν δύνανται μένειν ἀρχαί, αἱ ἀποβεβληκυῖαι τὸ εἶναι ἀρχαί;

1. Πόσαι ... δῆλον] Lib. I. c. 7. p. 191..

2. καὶ πῶς] Arist. καὶ πῶς πόσαι.

3. ἱκ. γὰρ] Sylburg. et Morell. ex Arist. ἱκ. γὰρ [ἔσται].

4. τῇ παρ. κ. ἀπ.] Inverso ordine Arist. τῇ ἀπ. κ. παρ..

5. οὐδὲ ... τόδε τι] Sic Maranus, levi usus emendatione, ex Aristotele reposuit bene pro vulg. οὐδὲ ἐν ᾧ ἐστι τόδε τι, sed male articulum ὁ ante λόγος (h. e. idea) omisit. Caeterum Arist. οὕτως voculae οὐδὲ addidit.

materia afficitur a forma et a privatione: sit sane materia substantia, ut homo et corpus, vel accidens, ut vox, ut servetur proportionis ratio; quodsi neque substantia est materia neque accidens, nec profecto afficitur a contrariis.

3. Ejusdem ex eodem libro.

Quot igitur sint principia rerum naturalium, quae generantur, et quomodo, dictum est. Ac patet necesse esse ut aliquid subjiciatur contrariis ac duo sint contraria. Alia autem quadam ratione id non necesse est; idoneum enim alterum contrariorum ut efficiat praesentia aut absentia mutationem. Subjecta autem natura sub scientiam cadit secundum analogiam. Quemadmodum enim se habet aes ad statuam aut lignum ad lectum aut ad aliud quidpiam eorum quae formam habent materia et informe antequam accedat forma, ita se habet ipsa ad substantiam materia et ad certum quid et ad ens. Unum igitur ipsa principium est, non tamen ita unum ut certum quid sit, unum autem quatenus unum est ratio, et insuper quod huic contrarium est privatio. Utrum autem substantia sit forma an suppositum, nondum liquet.

Si forma praesentia sua format materiam, et absentia informem facit, sunt autem duo principia, forma et informe, atque eadem etiam privatio praesentia et absentia sua efficit: principia ergo se invicem generabunt ac destruent et haudquaquam aeterna erunt; quod enim aeternum, id ut sit, nullius praesentia aut absentia indiget. Si praesentia aut absentia contrariorum fit principiorum mutatio, liquet ideo mutationem fieri, quia ipsa sunt principia. Quomodo ergo pos-

6. ἔτι] Ita ex Arist. dedi; vulgo inepte ἔστι. Ille enim philosophus tria probat esse principia: materiam, formam, privationem. — Tum Maran. τούτῳ pro τοῦτο recte scripsit; abest ea vox a Reg. 1..

7. *Πότερον . . . οὔπω δῆλον*] Inter hanc et praecedentem periodum duae aliae apud Aristotelem sunt interjectae. — Verba autem *οὔπω δῆλον* jam Sylburgius ex Arist. summo iure textui inseruit, quippe quum infra a Pseudo-Justino citentur.

*Εἰ ἡ ἀρχὴ ἀρχὴν ἔχουσα οὐκ ἔστιν ἀρχή, πῶς ἡ ὕλη, τοῦ μὲν
εἶναι ἀρχὴν ἔχουσα τὸ εἶδος, τοῦ δὲ μὴ εἶναι τὴν στέρησιν,
δύναται εἶναι ἀρχή; Τὸ φύσιν ὀνομάζειν τὸ ὑποκείμενον τῇ
στερήσει, τὸ μήτε οὐσία ὂν μήτε τόδε τι μήτε ὄν, πῶς οὐκ* D
*ἔστι περιττόν; Εἰ ἀρχαὶ οὔτε ἐξ ἄλλων εἰσὶν οὔτε ἐξ ἀλλήλων,
ἔστι δὲ ἐκ τῆς [8] ἀπουσίας τοῦ εἴδους ἡ στέρησις καὶ ἐκ τῆς
ἀπουσίας τῆς στερήσεως τὸ εἶδος, πῶς οὐκ εἰσὶν ἐξ ἀλλήλων
ἀρχαί, τό τε εἶδος καὶ ἡ στέρησις; Τῇ γὰρ ἀπουσίᾳ ἀλλήλων
ποιητικαὶ ἀλλήλων. Εἰ ὃν ἔχει λόγον ὁ χαλκὸς πρὸς τὸν μέλ-
λοντα ἐξ αὐτοῦ γίνεσθαι ἀνδριάντα, τοῦτον ἔχει ἡ ὕλη πρὸς τὴν
οὐσίαν καὶ τὸ τόδε τι καὶ τὸ ὄν, πῶς ὁ μὲν χαλκός, ἐὰν μὴ ᾖ* E
*οὐσία καὶ τόδε τι καὶ ὄν, λόγον ἔχειν πρὸς τὸν ἀνδριάντα οὐ δύ-
ναται, ἡ δὲ ὕλη, μήτε οὐσία οὖσα μήτε τόδε τι μήτε ὄν, ἀναλογίαν
ἔχειν πρὸς τὸν χαλκὸν δύναται; Εἰ πάντα τὰ ἐν συστάσεσι τῶν
φυσικῶν θεωρούμενα αἰσθήσει ἐστὶν ἐπιστητά, πῶς ἡ ὕλη, ἐξ
ἧς τὰ αἰσθητά, ἀναλογίᾳ ἐστὶν ἐπιστητὴ καὶ οὐκ αἰσθήσει, ἢ
πῶς ὅλως ἐκ μὴ αἰσθητοῦ δυνατὸν γενέσθαι τὰ αἰσθητά; Εἰ* 117
*τόδε τί ἐστι καὶ τὸ μίαν ἀρχὴν εἶναι, πῶς ἡ ὕλη τὸ μὲν εἶναι
μίαν ἀρχὴν ἔχει, τὸ δὲ εἶναι αὐτὴν τόδε τι οὐκ ἔχει; Καὶ εἰ
τὸ εἶναι τόδε τι καὶ τὸ τόδε τι μὴ εἶναι οὐσία ἐστί, πῶς [9] ἡ ὕλη,
τὸ μὲν τόδε τι μὴ εἶναί ἐστιν, οὐσία δὲ οὐκ ἔστι; Πῶς δὲ δύ-
ναταί τις ἐκβάλλειν τὴν ὕλην τοῦ εἶναι [10] ἕν, ὁ διελὼν αὐτὴν
εἰς δύο εἴδη, εἴς τε τὸ ὑποκείμενον τῷ γινομένῳ καὶ εἰς τὸ
ἀντικείμενον; Εἰ οὔπω δῆλον ἐκ τῶν εἰρημένων, εἰ οὐσία ἐστὶ* B
*τὸ εἶδος ἢ τὸ ὑποκείμενον, πῶς ἀποφαντικῶς εἴρηκε περὶ τῆς
ὕλης τὸ μὴ εἶναι αὐτὴν οὐσίαν μήτε τόδε τι μήτε ὄν; Τὸ γὰρ
ὑποκείμενον εἴρηκεν εἶναι τὴν ὕλην. Ποτὲ μὲν μὴ εἶναι αὐτὴν
οὐσίαν μήτε τόδε τι μήτε ὄν, ποτὲ δὲ ἄδηλον εἰ οὐσία ἐστί, πῶς
οὐκ ἔστι τῶν οὐκ εἰδότων ὅ φασιν;*

8. *ἀπουσίας*] Editt. ante Maran. *οὐσίας*. Jam Perion. et Lang. veram lectionem indicarunt.

9. *ἡ ὕλη*] Maranus conjecit *τῇ ὕλῃ*. Reddidit: *quomodo materia, quae habet ut certum quid non sit, non est substantia?* Mox habet *μὴν* pro *μὲν* contra codd. mstos et editos.

sunt manere principia, quae principia esse desierunt? Si principium, quod principium habet, non est principium: quomodo materia, quae, ut sit, principium habet formam, ut vero non sit, privationem, potest esse principium? Naturam appellare id quod privationi subjectum est, quod quidem nec substantia est nec certum quid neque ens: quomodo non est supervacaneum? Si principia neque ex aliis neque ex se invicem sunt, est autem ex formae absentia privatio et ex absentia privationis forma: quomodo non ex se invicem principia sunt, forma et privatio? Sua enim invicem absentia se invicem efficiunt. Si quam habet rationem aes ad futuram ex eo statuam, eamdem habet materia ad formam et ad certum quid et ad ens: quomodo aes, nisi sit substantia et certum quid et ens, rationem habere cum statua non potest, materia autem, quae nec substantia est nec certum quid neque ens, rationem habere potest cum aere? Si cuncta, quae in constitutionibus rerum naturalium considerantur, sensu percipiuntur: quomodo materia, ex qua ea sunt quae sensu percipiuntur, analogia cognoscitur nec sensu, aut quomodo omnino ex eo quod sensu non percipitur fieri possunt quae sensu percipiuntur? Si vel unum esse principium est certum quid esse: quomodo materia habet ut unum sit principium, ut autem certum quid sit non habet? Et si certum quid esse et certum quid non esse substantia est: quomodo materia id quod certum quid non sit est, substantia autem non est? Quomodo vero quisquam potest materiae eripere quominus unum sit, qui eam dividit in duas species, in id quod subjectum est ei quod fit et in contrarium? Si nondum ex dictis liquet, utrum substantia sit forma an subjectum: quomodo asseveranter de materia dixit eam non esse substantiam nec certum quid neque ens? Subjectum enim dixit esse materiam. Nunc ipsam non esse substantiam dicere nec certum quid neque ens, nunc non liquere an substantia sit: quomodo non est hominum quid dicant nescientium?

10. ἕν] Vult Maran. legi ὄν, *ens*. Non male.

4. Ἐκ τοῦ αὐτοῦ λόγου.

[1] Ζητήσαντες οἱ κατὰ φιλοσοφίαν πρῶτοι τὴν ἀλήθειαν καὶ C τὴν φύσιν τὴν τῶν ὄντων ἐξετράπησαν οἷον ὁδόν τινα ἄλλην ἀπωσθέντες ὑπὸ ἀπειρίας, καί φασιν οὔτε γίνεσθαι τῶν ὄντων οὐδὲν οὔτε φθείρεσθαι, διὰ τὸ ἀναγκαῖον μὲν εἶναι γίνεσθαι τὸ γινόμενον ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος, ἐκ δὲ τούτων ἀμφοτέρων ἀδύνατον εἶναι· οὔτε γὰρ τὸ ὂν γίνεσθαι (εἶναι γὰρ ἤδη), ἔκ τε μὴ ὄντος [2] οὐδὲν ἂν γενέσθαι· ὑποκεῖσθαι γάρ τι δεῖ. Καὶ D οὕτω δὴ τὸ ἐφεξῆς συμβαῖνον αὔξοντες οὐδὲ εἶναι πολλά φασιν, ἀλλὰ μόνον αὐτὸ τὸ ὄν.

Ἱκανὰ καὶ ταῦτα μαρτυρῆσαι τῇ ἀληθείᾳ τοῦ ὑφ' ἡμῶν ῥηθέντος περὶ τῶν παρ' Ἕλλησι φιλοσόφων, [3] ὡς κατὰ τὴν ἀποδεικτικὴν ἐπιστήμην περὶ τῶν ὄντων τοὺς λόγους μὴ πεποιηκότων, ἀλλ' εἰκασμῷ τὸ δοκοῦν διορισαμένων.

5. Ἐκ τοῦ αὐτοῦ λόγου. E

[1] Ἡμεῖς δὲ λέγομεν ὅτι τὸ ἐξ ὄντος [2] ἢ μὴ ὄντος γίνεσθαι, ἢ τὸ μὴ ὂν ἢ τὸ ὂν ποιεῖν τι ἢ πάσχειν ἢ ὁτιοῦν τόδε γίνεσθαι, ἕνα μὲν τρόπον οὐδὲν διαφέρει ἢ τὸ τὸν ἰατρὸν ποιεῖν τι ἢ πάσχειν ἢ τὸ ἐξ ἰατροῦ εἶναί τι ἢ γίνεσθαι· ὥστε ἐπειδὴ τοῦτο διχῶς [3] ἢ πλεοναχῶς λέγεται, δῆλον ὅτι καὶ τὸ ἐξ ὄντος 118 καὶ τὸ ὂν ἢ [4] ποιεῖν ἢ πάσχειν. Οἰκοδομεῖ μὲν οὖν ὁ ἰατρός, οὐχ ᾗ ἰατρὸς [5] δὲ ἀλλ' ᾗ οἰκοδόμος, καὶ λευκὸς γίνεται, οὐχ ᾗ ἰατρὸς ἀλλ' ᾗ μέλας· ἰατρεύει δὲ καὶ [6] ἀνίατρος γίνεται, ᾗ ἰατρός. [7] Ἐπεὶ δὲ μάλιστα λέγομεν τὸν ἰατρὸν κυρίως ποιεῖν τι ἢ πάσχειν ἢ γίνεσθαι ἐξ ἰατροῦ, ἐὰν ᾗ ἰατρὸς ταῦτα [8] ποιῇ ἢ πάσχῃ, δῆλον ὅτι καὶ τὸ μὴ ἐξ ὄντος γίνεσθαι τοῦτο σημαίνει, τὸ ᾗ μὴ ὄν. Ὅπερ ἐκεῖνοι μὲν οὐ διελόντες [9] ἀπέστησαν, καὶ διὰ

1. Ζητήσαντες...τὸ ὄν] Lib. I. c. 8. p. 191.. — Pro ζητήσαντες Arist. ζητοῦντες.

2. οὐδὲν] Vulgo οὐθέν.

3. ὡς etc.] Supra in praef. p. 110. E: ἵνα γνῷς μὴ κατὰ τὴν ἀποδεικτικὴν ἐπιστήμην, καθ' ἣν ἐπαγγέλλονται Ἕλληνες...τοὺς λόγους ποιεῖν, τοῦτο πεποιηκότας, ἀλλ' εἰκασμῷ τὸ δοκοῦν διορισαμένους. Coll. p. 112. A.

1. Ἡμεῖς...ἀναιροῦμεν] Lib. I. c. 8. p. 191..

2. ἢ μὴ] Arist. ἢ ἐκ μή.

3. ἢ πλεοναχῶς] Haec Aristo-

4. Ex eodem libro.

Primi philosophi dum veritatem et naturam rerum investigarunt, aberraverunt in aliam quodammodo viam imperitia depulsi, ac dicunt nihil eorum quae sunt generari aut corrumpi: propterea quod necesse est id quod generatur generari vel ex eo quod est vel ex eo quod non est, ex neutro autem id fieri posse: neque enim id quod est generari (jam enim est), neque ex eo quod non est quidquam generari; aliquid enim subjici oportet. Atque ita ea quae consequuntur amplificantes ne multa quidem esse pronuntiant, sed id tantum quod est.

Sufficiunt haec ipsa ad veritatem in eo quod de Gentilium philosophis diximus confirmandam: nimirum illos non ad eam scientiam, quae demonstratione continetur, disseruisse de rebus, sed conjiciendo quidquid placuit definivisse.

5. Ex eodem libro.

Nos autem dicimus ex ente aut ex non ente fieri, aut id quod non est aut id quod est aliquid facere aut pati aut quodlibet fieri aliquid certi et definiti, una ratione nihil prorsus differre, acsi medicus facere aliquid dicatur aut pati aut ex medico esse aliquid aut fieri: quare quum duobus id aut pluribus sensibus dicatur, patet et id quod est ex ente et ens aut facere aut pati. Aedificat quidem medicus, non quatenus medicus sed quatenus architectus, et albus fit, non quatenus medicus sed quatenus niger; medetur autem et fit non medicus, quatenus medicus. Quoniam autem maxime dicimus medicum proprie facere aliquid aut pati aut ex medico aliquid fieri, si quatenus medicus haec faciat aut patiatur: patet et id quod fieri dicitur ex eo quod non est eodem sensu sumendum, nempe quatenus non est. Quod quidem illi, quum non distinguerent, abscesserunt, et ob hanc in-

teles non praebet.

4. ποιεῖν] Sylburg. et Morell. ποιεῖν [τι] ex mera conjectura.

5. δὲ] Deest apud Arist..

6. ἀνίατρος] Uterque Reg. ἰατρός.

7. Ἐπεὶ δὲ] Sic ex Arist. dedi pro vulg. ἐπειδή. — Mox ille κυρίως τὸν ἰατρὸν ordine inverso.

8. ποιῇ ἢ πάσχῃ] Arist. πάσχῃ ἢ ποιῇ ἢ γίνηται. — Deinceps male in editis est δηλονότι.

9. ἀπέστησαν] H. e. desciverunt a veritate.

ταύτην τὴν ἄγνοιαν τοσοῦτον προσηγνόησαν, ὥστε [10] μηδὲν οἴε- B
σθαι γίνεσθαι μήτ' εἶναι τῶν ἄλλων, ἀλλ' ἀνελεῖν πᾶσαν τὴν
γένεσιν. Ἡμεῖς δὲ καὶ αὐτοί φαμεν γίνεσθαι μὲν οὐδὲν ἁπλῶς
ἐκ μὴ ὄντος, ὅμως μέντοι γίνεσθαι ἐκ μὴ ὄντος, οἷον κατὰ συμ-
βεβηκός· ἐκ γὰρ τῆς στερήσεως, ὅ ἐστι καθ' αὑτὸ μὴ ὄν, οὐκ
ἐνυπάρχοντος [11] γίνεται. Θαυμάζεται δὲ τοῦτο καὶ ἀδύνατον οὕ-
τω δοκεῖ, γίνεσθαί τι ἐκ μὴ ὄντος. Ὡσαύτως δὲ οὐδ' ἐξ ὄντος
οὐδὲ τὸ ὂν γίνεσθαι, πλὴν κατὰ συμβεβηκός· οὕτω δὲ καὶ τοῦ-
το γίνεσθαι τὸν αὐτὸν τρόπον, οἷον εἰ ἐκ ζώου ζῶον ἂν γίνοι- C
το [12] καὶ ἐκ τινὸς ζώου τι ζῶον, οἷον εἰ κύων ἐξ ἵππου γίνοιτο.
Γίνοιτο μὲν γὰρ [13] ἂν οὐ μόνον ἐκ τινὸς ζώου ὁ κύων, ἀλλὰ
καὶ ἐκ ζώου, ἀλλ' οὐχ ᾗ ζῶον· ὑπάρχει γὰρ ἤδη τοῦτο· εἰ δέ
τι [14] μέλλοι γίνεσθαι ζῶον μὴ κατὰ συμβεβηκός, οὐκ ἐκ ζώου
ἔσται, καὶ εἴ [15] τι ὄν, οὐκ ἐξ ὄντος οὐδ' ἐκ μὴ ὄντος. Τὸ γὰρ
ἐκ μὴ ὄντος εἴρηται ἡμῖν τί σημαίνει, ὅτι ᾗ μὴ ὄν. Ἔτι δὲ
καὶ τὸ εἶναι ἅπαν [16] ἢ μὴ εἶναι οὐκ ἀναιροῦμεν.

Εἰ τὸ Μήτε ἐκ τοῦ ἁπλῶς ὄντος μήτε ἐκ τοῦ ἁπλῶς μὴ D
ὄντος δυνατόν ἐστι γενέσθαι τι κοινόν ἐστι τῶν ἐξ ἀπειρίας τε
καὶ ἀγνοίας ἀναιρούντων τὴν γένεσιν, καὶ [17] τούτου τοῦ τοὺς
σφαλλομένους διορθωσαμένου, πῶς οὐκ ἀνῄρηται ἡ γένεσις κατὰ
τὸν διορθωσάμενον, ὡς ἀνῄρηται κατὰ τοὺς σφαλλομένους; Εἰ
ἀδύνατόν ἐστι γενέσθαι τι κατὰ συμβεβηκὸς ἐξ ὄντος καὶ ἐκ μὴ
ὄντος, μὴ προεπινοουμένης τῆς γενέσεως τοῦ καθ' αὑτὸ γινο-
μένου, οἷον ἀδύνατον τὸν ἰατρὸν γενέσθαι λευκὸν μὴ τοῦ [18] μέ- E
λανος λευκοῦ γινομένου, καὶ ἀδύνατον τὸν ἰατρὸν οἰκοδομεῖν
μὴ τοῦ οἰκοδόμου οἰκοδομοῦντος, ἐὰν ᾖ μέλας καὶ οἰκοδόμος
ὁ ἰατρός, πῶς γίνεταί τι κατὰ συμβεβηκὸς ἐξ ὄντος καὶ ἐκ μὴ
ὄντος, μηδενὸς προηγουμένως καθ' αὑτὸ γινομένου; Εἰ πρῶτον

10. μηδὲν] Vulgo μηθέν. — Tum apud Arist. μηδὲ εἶναι.

11. γίνεται] Arist. γίνεταί τι: *fit aliquid.*

12. καὶ] Editi addunt εἰ. Quod quum desit in codd. mstis, ejiciendum puto.

13. ἂν] Hanc voculam Sylburg., Morell., Maran. ex Arist. addiderunt.

14. μέλλοι] Arist. μέλλει.

15. τι ὄν] Reg. 2. τὸ ὄν.

16. ἢ μὴ εἶναι] Arist. ἢ τὸ μὴ εἶναι.

scientiam adeo caecutierunt, ut nihil aliarum rerum fieri aut esse crederent, sed omnem generationem tollerent. Nos autem et ipsi dicimus nihil quidem fieri ex eo quod prorsus non est, tamen fieri ex eo quod non est, veluti per accidens; ex privatione enim, quae est per se non ens neque inexsistens, fit. Id autem admirationi est nec fieri posse videtur, ut ex eo quod non est aliquid fiat. Similiter etiam neque ex eo quod est neque id quod est fieri dicimus, nisi per accidens: sic autem fieri, velut si ex animali animal fiat et ex aliquo animali aliquod animal, puta canis ex equo. Fiet enim non solum ex aliquo animali canis, sed etiam ex animali, sed non quatenus animal: jam enim hoc ipsum est; si quod autem generetur animal non per accidens, non erit ex animali, et si quid quod sit generetur, non erit ex eo quod est neque ex eo quod non est. Quid enim significet illud ex eo quod non est, diximus, nempe quatenus non est. Praeterea vero neque id quod est neque id quod non est prorsus tollimus.

Si illud „Neque ex eo quod omnino est neque ex eo quod omnino non est fieri quidquam potest" commune est eorum qui prae imperitia et ignoratione generationem tollunt, et hujus qui errantes corrigit: quomodo non sublata est generatio a correctore, quemadmodum sublata est ab errantibus? Si nihil fieri potest per accidens ex eo quod est et ex eo quod non est, nisi prius intelligatur generatio ejus quod per se fit, velut fieri non potest ut medicus fiat albus nisi nigrum fiat album, aut ut medicus aedificet nisi architectus aedificet, si niger et architectus sit medicus: quomodo quidpiam fiat per accidens ex ente aut ex non ente, nisi prius aliquid per se gignatur? Si primum quidem est animal, postea autem animal

17. τοῦτου] Nempe Aristotelis. Articulum τοῦ post τοῦτου, jam a Sylburgio desideratum, Reg. 1. Marano suppeditavit.

18. μέλανος] Codd. msti et editi μελανοῦ.

μὲν τὸ ζῶον, ὕστερον δὲ τὸ ζῶον ἐκ ζώου καὶ τὸ τὶ ζῶον ἐκ 119
τινὸς ζώου, καὶ τῇ μὲν γενέσει τοῦ ζώου ἐκ ζώου ὑπόκειται τὸ
σπέρμα, τῇ δυνάμει μὲν ζῶον, ἐνεργείᾳ δὲ οὐ ζῶον, τῇ δὲ γε-
νέσει τοῦ ἁπλῶς ζώου τὸ ὑποκείμενον οὐκ ἦν σπέρμα, πῶς οὐκ
ἔστι παρὰ φύσιν γινόμενον τὸ ζῶον [19] ἐκ μὴ ζώου; Εἰ πρὸ τοῦ
γενέσθαι τὸ γινόμενον ἡ μὲν ὕλη ἦν, τὸ δὲ γινόμενον ἐξ αὐ-
τῆς οὐκ ἦν, τί ἦν ἡ ὕλη; [20] Οἷον εἰ ὕλη ἦν τοῦ ἵππου πρὸ B
τοῦ γενέσθαι τὸν ἵππον, εἰ πάντα τὰ ἐν τῇ οὐσίᾳ τοῦ ἵππου
θεωρούμενά ἐστι γενητά, πῶς ἦν ἀγένητος ἡ ὕλη, ἐξ ἧς γέγονεν
ἵππος; Εἰ καθ' αὑτὸ μὲν οὔτε ἡ στέρησις ὄν ἐστιν οὔτε ἡ ὕλη,
τὸ δὲ συμβεβηκὸς τῷ καθ' αὑτὸ ὄντι συμβαίνει, πῶς κατὰ
συμβεβηκὸς δυνατὸν γενέσθαι τι ἐκ τῆς στερήσεως, μήτε καθ'
αὑτὸ μήτε κατὰ συμβεβηκὸς οὔσης; Ὧν διεζευγμένων ὄντων
ἀδύνατόν ἐστι γενέσθαι τι ἐξ οὐδενὸς αὐτῶν, τούτων οὔτε συμ- C
πεπλεγμένων δυνατὸν γενέσθαι τι· οἷον ἐκ τοῦ ὄντος ἁπλῶς οὐ
δυνατὸν γενέσθαι τι, [21] ὡσαύτως καὶ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος,
ἵνα ταῖς Ἀριστοτέλους χρησώμεθα φωναῖς. Πῶς ἀμφότερα γέ-
γονε δυνατά, καὶ τὸ γενέσθαι ἐξ ὄντος καὶ τὸ γενέσθαι ἐκ μὴ
ὄντος; Εἰ τὸ ὑποκείμενον, ἐξ οὗ γίνεται τὸ γινόμενον, τοῖς
ἐναντίοις ἀνάγκη ὑποκεῖσθαι, οὐκ ἄρα γίνεταί τι ἐκ τῆς στερή- D
σεως κατὰ συμβεβηκὸς τοῖς ἐναντίοις μὴ [22] ὑποκειμένης; Ὁ τὸ
πᾶν μὴ ἀναιρῶν [23] μήτε εἶναι μήτε τὸ μὴ εἶναι, ἀλλὰ συγχω-
ρῶν τὸ πᾶν εἶναι καὶ μὴ εἶναι, πῶς δύναται ἀληθεύειν λέγων
τὴν ὕλην μὴ εἶναι μήτε οὐσίαν μήτε τόδε τι μήτε ὄν; Εἰ γί-
νεται μὲν τὸ γινόμενον, οὐκ ἐξ ἁπλῶς δὲ μὴ ὄντος οὔτ' ἐξ
ἁπλῶς ὄντος, ἀλλ' ἐξ ἀμφοτέρων, γίνεται ἄρα καὶ ἐκ τῆς ὕλης
ὡς ἐκ τοῦ ὄντος καὶ ἐκ τοῦ μὴ ὄντος, καὶ ὡς ἐκ τοῦ τόδε τι
ὄντος καὶ τόδε τι μὴ ὄντος. Ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, ψευδὲς E
ἄρα τὸ ῥηθὲν περὶ τῆς ὕλης, τὸ μήτε αὐτὴν εἶναι οὐσίαν μήτε
τόδε τι μήτε ὄν. Ὥσπερ ἡ ὕλη ἐστὶν ἄμορφος, οὕτως καὶ τὸ

19. ἐκ μὴ ζώου] Codd. msti et editi ἐκ ζώου. Jam Langus interpres probe: *ex non animante*. Atque μὴ reponendum esse ex c. 1. patet (Maran.); ibi enim scriptor pariter probat primum animal praeter naturam esse genitum.

20. Οἷον ... εἰ] Sic Maran. distinxit. Reliqui: ἡ ὕλη, οἷον ... ἵππον; Εἰ etc..

21. ὡσαύτως ... Πῶς] Stephan.

ex animali et aliquod animal ex aliquo animali, et generationi quidem animalis ex animali subjectum est semen, potestate quidem animal, actu vero non animal, generationi autem ejus, quod est simpliciter animal, subjectum non erat semen: quomodo non praeter naturam genitum fuit animal ex non animali? Si antequam fieret id quod fit materia erat, quod autem ex ea factum est non erat, quid erat materia? Exempli causa si materia erat equi antequam equus fieret, si omnia, quae cernuntur in equi substantia, genita sunt: quomodo ingenita erat materia, ex qua equus genitus? Si per se nec privatio est nec materia, accidens autem ei quod per se est accidit: quomodo quidquam per accidens fieri potest ex privatione, quae nec per se est nec per accidens? Quae quum disjuncta sint, horum ex neutro fieri quidquam potest, neque etiam ex his complicatis fieri quidquam potest: velut ex eo quod est simpliciter fieri nihil potest, sic etiam neque ex eo quod simpliciter non est, ut Aristotelis utamur vocibus. Quomodo utrumque fieri potest, ut et ex eo quod est et ex eo quod non est aliquid fiat? Si subjectum, ex quo fit id quod fit, necesse est subjici contrariis, non ergo fit quidquam ex privatione per accidens, quae contrariis subjecta non est? Qui non obstat quominus quidlibet sit aut non sit, sed concedit quidque esse et non esse: quomodo vera dicere potest, dum materiam nec substantiam esse nec certum quid neque ens pronuntiat? Si fit id quod fit non ex eo quod non est simpliciter neque ex eo quod simpliciter, sed ex utroque: fit certe etiam ex materia, tanquam ex ente et non ente, et ex eo quod est certum quid et non est certum quid. Sed si haec ita se habent, falsum ergo est quod de materia dictum est, eam neque substantiam esse neque certum quid neque ens. Quemadmodum ma-

ita distinxit: *τι. ὡσαύτως ... φωναῖς, πῶς* etc..

22. *ὑποκειμένης*] Codd. msti et editi aperto errore *ὑποκειμένοις* habent: fluxit id a praecedenti *ἐναντίοις*.

23. *μήτε εἶναι*] Mallet fortasse quis *μήτε τὸ εἶναι*, assumto scilicet articulo, ut in sequenti commate; sed ferri potest etiam scriptura vulgata articulo e praecedentibus repetito. *Sylburgius*.

εἶδός ἐστιν ἄϋλον. Ἀλλ' εἰ μὲν ἡ ὕλη καὶ τὸ ἄμορφον αὐτῆς εἰσι δύο ἀρχαί, καὶ τὸ εἶδος ἄρα καὶ τὸ ἄϋλον αὐτοῦ δύο ἔσονται ἀρχαί. Πῶς οὖν τεσσάρων οὐσῶν τῶν ἀρχῶν τρεῖς μόναι ἐτέθησαν ἀρχαί;

6. *Ἐκ τοῦ αὐτοῦ λόγου.* 120

[1]*Ἡμεῖς γὰρ ὕλην καὶ στέρησιν ἕτερον* [2]*εἶναί φαμεν, καὶ τούτων τὸ μὲν οὐκ ὂν εἶναι κατὰ συμβεβηκός, τὴν ὕλην, τὴν δὲ στέρησιν* [3]*καὶ καθ' αὑτήν, καὶ τὴν μὲν ἐγγὺς καὶ οὐσίαν* [4]*πως, τὴν δὲ οὐδαμῶς. Οἱ δὲ τὸ μὴ ὂν* [5]*εἶναί φασι, τὸ μέγα καὶ τὸ μικρὸν ὁμοίως,* [6]*ἓν τὸ συναμφότερον ἢ τὸ χωρὶς ἑκάτερον. Ὥστε παντελῶς ἕτερος ὁ τρόπος οὗτος τῆς τριάδος* B
κἀκεῖνος.

Εἰ κατὰ συμβεβηκὸς οὐκ ὂν εἶναι τῇ ὕλῃ ἐστί, δῆλον ὅτι κατὰ συμβεβηκὸς ἡ ὕλη οὔτε ὕλη ἐστὶν οὔτε ἀρχή· ὄντος γάρ ἐστι τὸ εἶναι ὕλη καὶ τὸ εἶναι ἀρχή. Καὶ εἰ κατὰ συμβεβηκὸς οὐκ ὂν εἶναί ἐστι τῇ ὕλῃ διὰ τὴν στέρησιν, δῆλον ὅτι κατὰ συμβεβηκὸς ὄν ἐστι διὰ τὸ εἶδος. Ἔσται ἄρα [7]*τῇ ὕλῃ καθ' αὑτὸ μὲν οὐδέποτε ὄν, κατὰ συμβεβηκὸς δὲ ἀεί, ποτὲ μὲν οὐκ ὂν* C
εἶναι, ποτὲ δὲ ὂν εἶναι. Πῶς οὖν οὐκ ἔστιν ἄτοπον τὸ λέγειν ἐγγὺς εἶναι οὐσίας καὶ οὐσίαν πως τὸ μηδέποτε καθ' αὑτὸ ὄν; Εἰ ἄλλο τὸ ὕλην εἶναι καὶ ἄλλο τὸ τινὸς εἶναι ὕλην, καὶ στερεῖται μὲν ἡ ὕλη τοῦ τινὸς εἶναι ὕλην, τοῦ δὲ εἶναι αὐτὴν ὕλην οὐ στερεῖται, ἔσται ἄρα ἡ ὕλη ὂν καὶ οὐκ ὄν, ὂν μὲν διὰ τὸ εἶναι αὐτὴν ὕλην, οὐκ ὂν δὲ διὰ τὸ μὴ εἶναι αὐτὴν τινὸς ὕλην. Ἀλλ' εἰ μηδενός ἐστιν [8]*ὕλη ἡ ὕλη, οὐδὲν ἄρα τῆς ἀμορφίας ἐστὶν* D
ἡ ὕλη. Εἰ δὲ τῆς ἀμορφίας ἐστὶν ἡ ὕλη, οὐδέποτε ἄρα ἦν ἡ ὕλη ᾗ ὕλη, ἀλλ' ἀεὶ τινὸς ὕλη, ποτὲ μὲν τῆς ἀμορφίας, ποτὲ δὲ τῆς μορφῆς. Ὅτι δέ τί ἐστιν ἡ ἀμορφία δῆλον ἐξ οὗ ἐτέθη ἀρχὴ εἶναι τῶν γινομένων. Ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, οὐδέποτε

1. *Ἡμεῖς . . . κἀκεῖνος*] Lib. I. c. 9. p. 192.

2. *εἶναί φαμεν*] Arist. *φαμεν εἶναι.*

3. *καὶ*] Non agnoscit Arist.

4. *πως* etc.] Arist. *πως, τὴν ὕλην, τὴν δὲ στέρησιν οὐδαμῶς.*

5. *εἶναί φασι*] Non exstant apud Arist.

6. *ἓν*] Arist. *ἢ.*

teria est informis, ita et forma immaterialis. Sed si materia et ejus informe duo sunt principia, etiam forma certe et ejus immateriale duo erunt principia. Quomodo ergo, quum quatuor sint principia, tria tantum posita fuere?

6. Ex eodem libro.

Nos autem materiam et privationem differre dicimus, atque horum quidem alterum non esse ens per accidens, nempe materiam, privationem vero etiam per se: ac materiam quidem propemodum et quodammodo esse substantiam, privationem vero nequaquam. Illi autem id quod non est esse dicunt, magnum et parvum pariter, unum utraque simul vel utrumque separatim. Quare modus hic trinitatis omnino diversus est ab illo.

Si per accidens materia non est ens, patet per accidens materiam nec materiam esse nec principium; entis enim est esse materiam et esse principium. Et si per accidens materia non est ens propter privationem, patet per accidens eam esse ens propter formam. Erit ergo materia per se quidem nunquam ens: per accidens autem semper, nunc quidem non ens, nunc autem ens. Quomodo ergo non absurdum est propemodum et quodammodo substantiam dicere id quod per seipsum nunquam est? Si aliud est materiam esse et aliud alicujus esse materiam, atque materiae quidem non datur ut sit alicujus materia, ut autem ipsa sit materia ei datur: erit profecto materia ens et non ens, ens quidem quia materia, non ens autem quia non est alicujus materia. Sed si materia nullius materia est, neutiquam profecto informitatis est materia. Sin autem informitatis materia est, nunquam profecto materia est quatenus materia, sed semper alicujus materia, nunc quidem informitatis, nunc autem formae. Aliquid autem esse informitatem patet inde quod posita fuerit principium eorum quae fiunt. Sed si haec ita se habent, nunquam profecto materia

7. τῇ ὕλῃ] Sic videtur lectio vulgaris ἡ ὕλη emendanda esse.
8. ὕλη] Maranus omisit contra codd. mstos et editos; mox idem et Morellus οὐδὲ exhibuerunt praeter necessitatem pro οὐδέν.

ἄρα οὐκ ὂν εἶναι τὴν ὕλην, ἀλλ' [9] ἀεὶ ὂν εἶναι, ποτὲ μὲν ἄμορφον, ποτὲ δὲ μεμορφωμένην· διὸ καὶ ἀεὶ γενητή. Εἰ δύναται ἡ ὕλη τὴν συναΐδιον αὐτῆς ἀποβαλεῖν ἀμορφίαν, δύναται ἄρα E καὶ τὴν συναΐδιον αὐτῆς ἀποβαλεῖν ἀγενησίαν· εἰ δὲ μὴ τὸ δεύτερον, οὐδ' ἄρα τὸ πρῶτον. Πῶς οὖν γίνεται τὸ γινόμενον ἐκ τῆς ὕλης, τῆς ὕλης τὴν συναΐδιον αὐτῆς ἀμορφίαν μὴ ἀποβαλλομένης; Εἰ, ὥσπερ ὁ τρόπος τῆς κατὰ τὸν Ἀριστοτέλην τριάδος ἕτερός ἐστι παρὰ τὸν τρόπον τῆς κατὰ Πλάτωνα τριάδος, 121 οὕτω καὶ ἡ τριὰς ἑτέρα, πῶς οὐκ ἔστιν ἀρχὴ τῶν γινομένων ἡ ἑξάς, ἀλλ' ἡ τριάς; Καὶ εἰ ἡ τριὰς οὐχ ἑτέρα, πῶς ὁ τρόπος αὐτῆς ἕτερος;

7. Ἐκ τοῦ αὐτοῦ λόγου.

[1] Ἡ μὲν γὰρ ὑπομένουσα συναιτία τῇ μορφῇ τῶν γινομένων ἐστίν, ὥσπερ μήτηρ· ἡ δ' ἑτέρα μοῖρα τῆς ἐναντιώσεως πολλάκις ἂν [2] φαντασθείη τῷ πρὸς τὸ κακοποιὸν αὐτῆς ἀτενίζοντι B τὴν διάνοιαν οὐδ' εἶναι τὸ παράπαν. Ὄντος γάρ τινος θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ, τὸ μὲν ἐναντίον αὐτῷ φαμεν εἶναι, τὸ δὲ πεφυκέναι ἐφίεσθαι καὶ ὀρέγεσθαι αὐτοῦ κατὰ τὴν φύσιν [3] αὑτοῦ. [4] Τοῖς δὲ συμβαίνει τὸ ἐναντίον ὀρέγεσθαι τῆς αὑτοῦ φθορᾶς. Καίτοι οὔτε [5] αὐτοῦ οἷόν τε ἐφίεσθαι τὸ εἶδος διὰ τὸ μὴ εἶναι ἐνδεές, οὔτε τὸ ἐναντίον· φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία. Ἀλλὰ τοῦτ' ἔστιν ἡ ὕλη, ὥσπερ ἂν εἰ θῆλυ ἄῤῥενος καὶ αἰσχρὸν καλοῦ· πλὴν οὐ καθ' αὑτὸ αἰσχρόν, ἀλλὰ κατὰ συμ- C βεβηκός, οὐδὲ θῆλυ, ἀλλὰ κατὰ συμβεβηκός. Φθείρεται δὲ καὶ γίνεται ἔστι μὲν ὥς, ἔστι δὲ ὡς οὔ. Ὡς μὲν γὰρ τὸ ἐν ᾧ, καθ' αὑτὸ φθείρεται· τὸ γὰρ φθειρόμενον ἐν τούτῳ ἐστὶν ἡ στέρησις· ὡς δὲ κατὰ δύναμιν, οὐ καθ' αὑτό, ἀλλ' ἄφθαρτον καὶ ἀγένητον ἀνάγκη αὐτὴν εἶναι. [6] Εἴτε γὰρ ἐγίνετο, ὑποκεῖσθαί τι δεῖ πρῶτον, τὸ ἐξ οὗ ἐνυπάρχοντος· τοῦτο δ' ἐστὶν αὐτὴ

9. ἀεὶ] Legitur vulgo εἰ vitiose.

1. Ἡ . . . φθαρῆναι] Lib. I. c. 9. p. 192..

2. φαντασθείη τῷ] Stephan. ex Reg. 2. φαντασθειήτω. Sylburg. φαντασθείη τῷ (sic).

3. αὑτοῦ] Vulgo αὐτοῦ. Arist. κ. τ. ἑαυτοῦ φύσιν.

4. Τοῖς δὲ συμβαίνει] His nimirum antiquis, quos redarguit Aristoteles, contra evenit ut ipsa materia non privationis, quam isti non admittunt, abolitionem, sed sui ipsius appetat interitum. *Maranus.* —

ens non est, sed semper ens est, modo quidem informis, modo autem formâ praedita: unde et semper genita. Si potest materia coaeternam suam abjicere informitatem, potest profecto etiam coaeternam suam abjicere ingenerationem; quodsi minus secundum, neque etiam profecto primum. Quomodo ergo fit id quod fit ex materia, quum materia coaeternam suam informitatem non abjiciat? Si, ut modus Aristotelicae triadis differt a Platonicae triadis modo, ita etiam trias diversa: quomodo non est principium eorum quae fiunt senio, sed trias? Et si trias non diversa: quomodo modus ejus diversus?

7. Ex eodem libro.

Nam materia permanens simul cum forma causa est eorum quae fiunt, velut mater; altera autem pars contrarietatis saepe id quod ei malefacit consideranti ne esse quidem omnino videbitur. Nam quum divinum quidpiam et bonum sit et expetendum: alterum quidem ei contrarium esse dicimus, alterum vero ita comparatum esse ut illud desideret et optet sua natura. Istis autem contrarium evenit, ut suam ipsius corruptionem appetat. Ac sui quidem ipsius forma appetens esse non potest, quum non sit indigens: neque etiam contrarium; sese enim invicem contraria corrumpunt. Sed id quod appetit materia est, velut si femina masculum aut turpe pulchrum appetat: nec tamen per se turpe, sed per accidens, nec per se femina, sed per accidens. Corrumpitur autem et generatur aliquo quidem sensu, aliquo autem non. Quatenus enim illud est in quo, per se corrumpitur: quod enim in ea corrumpitur privatio est; quatenus autem ad potestatem, non per se corrumpitur, sed incorruptibilem et ingenitam necesse est eam esse. Si enim generatur, necesse est prius aliquid subjici, ex quo insito generetur; illud autem est ipsa natura:

Mox pro αὑτοῦ (Arist. ἑαυτοῦ) vulgo legitur αὐτοῦ.

5. αὑτοῦ] Arist. αὐτὸ ἑαυτοῦ.

6. Εἴτε γὰρ ἐγίνετο] Sic Aristoteles quoque. Sed Marano legendum videtur εἴ τι γὰρ ἐγίνετο vel εἴτε γὰρ ἐγίνετό τι: *sive enim quid generetur.*

ἡ φύσις, ὥστ' ἔσται πρὶν γενέσθαι. Λέγω γὰρ ὕλην τὸ πρῶ- D
τον ὑποκείμενον [7] ἑκάστῳ, ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος μὴ κα-
τὰ συμβεβηκός. [8] Εἴτε φθείρεται, εἰς τοῦτο [9] ἔσχατον ἀφίξεται,
ὥστε ἐφθαρμένη ἔσται πρὶν φθαρῆναι.

Εἰ, ὥσπερ ἀρχὴ τῶν γινομένων ἡ ὕλη καὶ τὸ εἶδος, οὕτω
καὶ ἡ στέρησις, πῶς ἡ μὲν ὕλη συναιτία τῇ μορφῇ τῶν γινο-
μένων, ἡ δὲ στέρησις οὐ συναιτία; Εἰ διὰ τοῦτο ἀρχὴ τὸ εἶ-
δος, ἐπειδὴ ἐξ αὐτοῦ τὸ εἶναι τῷ γινομένῳ, δῆλον ὅτι καὶ ἡ E
στέρησις διὰ τοῦτο ἀρχή, ἐπειδὴ δι' αὐτὴν τὸ μὴ εἶναι τῷ γι-
νομένῳ. Πῶς οὖν ἀρχὴ λέγεται τῶν γινομένων ἡ στέρησις; Εἰ,
ὅτε πάρεστι τὸ εἶδος, τότε ἡ στέρησις οὐχ ὑπομένει, δῆλον ὅτι
μὴ παρόντος τοῦ εἴδους ὑπομένει ἡ στέρησις. Πῶς οὖν οὐκ
ἔστιν ἄτοπον τὸ λέγειν μὴ εἶναι τὸ ὑπομένον; Ὄντος γάρ ἐστι
τὸ ὑπομένειν. Εἰ ἑτέρα μοῖρα τῆς ἐναντιώσεώς ἐστιν ἡ στέ-
ρησις, καὶ τὸ κακοποιὸν ταύτης ἐστὶ τὸ εἶδος, πῶς οὐκ ἔστι 122
τὸ εἶδος ἀγαθόν τε καὶ κακόν, ἀγαθὸν μὲν τῇ ὕλῃ, ὡς δι'
αὐτοῦ ὑπάρχειν τῇ ὕλῃ [10] τὸ οὐσία εἶναι, κακὸν δὲ τῇ στερήσει,
ὡς δι' αὐτοῦ ἀναιρουμένῃ; Εἰ ἔστι τι θεῖόν [11] τε καὶ ἀγαθὸν
καὶ ἐφετόν, καὶ ἔχει τὸ ἐναντίον ὃ οὐκ ἔστιν οὔτε ἀγαθὸν οὔτε
ἐφετόν, ἔσται ἄρα τὸ θεῖον ἀγαθόν τε καὶ οὐκ ἀγαθόν, ἐφετόν
τε καὶ οὐκ ἐφετόν, διὸ καὶ θεῖόν τε καὶ οὐ θεῖον. Εἰ δὲ ἄτο-
πον τοῦτο, οὐκ ἄρα τὸ θεῖον τὸ ἀγαθόν τε καὶ ἐφετὸν ἔχει τι B
ἐναντίον· τὸ γὰρ ἁπλῶς ἀγαθὸν πᾶσιν ἀγαθόν, οὔ τισι μόνον.
Εἰ τὸ ἐναντίον τοῦ ἀγαθοῦ οὐκ ἐφίεται τοῦ ἀγαθοῦ (φθορᾶς γὰρ
τῆς αὐτοῦ φύσεως ἐφίεται, εἰ ἐφίεται τοῦ ἀγαθοῦ) καὶ τὸ εἶδος
ἑαυτοῦ οὐκ ἐφίεται (ἀνενδεὲς γὰρ τὸ εἶδος), ἔστι δὲ τὸ θεῖον
ἐφετόν τε καὶ ὀρεκτόν, τίνι [12] δὲ ἐφετόν τε καὶ ὀρεκτὸν εἰ μὴ
τῇ ὕλῃ; Ἔμψυχος ἄρα ἡ ὕλη· ἐμψύχου γάρ ἐστι τὸ ἐφίεσθαι
καὶ ὀρέγεσθαι. Εἰ δὲ ἔμψυχος ἡ ὕλη, πῶς οὐκ ἔστι ψευδὲς τὸ C

7. ἑκάστῳ] Hanc vocem ex Aristotele sumsit Sylburgius caeterique editores retinuerunt.

8. Εἴτε φθείρεται] In omnibus editis additum est τι, quod in utroque Reg. deest; vid. not. 6..

9. ἔσχ. ἀφίξ.] Arist. ἀφίξ. ἔσχ. inverso ordine.

10. τὸ οὐσία εἶναι] Mallet Sylburgius dativum οὐσίᾳ. „Simile," inquit, „apud Latinos est illud Catulli: *Nobis non licet esse tam diser-*

quare erit antequam fiat. Dico enim materiam esse primum cuique rei subjectum, ex quo insito fit generatio non per accidens. Si corrumpitur, in hoc ultimum abibit; quare corrupta erit antequam corrumpatur.

Si, ut principium eorum quae fiunt materia et forma, ita etiam privatio: quomodo materia quidem simul cum forma causa est eorum quae fiunt, privatio vero non simul causa est? Si propterea principium eorum quae fiunt forma est, quia ex illa esse evenit ei quod fit, patet etiam privationem propterea principium esse, quia per eam evenit non esse ei quod fit. Quomodo ergo principium dicitur eorum quae fiunt privatio? Si, quando adest forma, tunc privatio non permanet, patet non permanente forma permanere privationem. Quomodo ergo non absurde dicitur non esse quod permanet? Entis enim est permanere. Si altera pars contrarietatis est privatio, et quod ei malefacit forma est: quomodo forma non est bona et mala, bona quidem materiae, quippe cui praestet ut sit substantia, mala autem privationi, quippe quam aboleat? Si divinum quidpiam est et bonum et expetendum, et contrarium habet quod neque bonum est neque expetendum: erit profecto divinum bonum et non bonum, expetendum et non expetendum, unde etiam divinum et non divinum. Quodsi id absurdum est, non ergo divinum, quod bonum et expetendum est, habet contrarium; quod enim omnino bonum est, omnibus bonum est, non quibusdam tantum. Si quod bono contrarium est non appetit bonum (suae enim naturae corruptionem appetit, si appetit bonum) atque forma seipsam non appetit (forma enim est minime indigens), est autem divinum expetendum et desiderabile: cuinam expetendum et desiderabile nisi materiae? Animata ergo materia; animati enim est expetere et desiderare. Sed si animata materia: quomodo non falsum est materiam per acci-

tis." Melius se haberet οὐσίαν. Sed nominativus infinitivo εἶναι additus offensionem non habet. Cf. Matthiae *Ausf. griech. Grammat.* (ed. 2.) p. 1053..

11. τε καὶ] Maranus καὶ τε. Mendose.

12. δὲ] Redundat haec particula. Fortasse δὴ legendum est. Non muto.

οὐκ ὂν εἶναι κατὰ συμβεβηκὸς τὴν ὕλην; Ἡ γὰρ ψυχὴ ὄν ἐστι, καὶ τὸ ψυχὴν ἔχον ὄν ἐστιν. Εἰ, ὡς θῆλυ ἐφίεται τοῦ ἄῤῥενος καὶ ὡς αἰσχρὸν τοῦ καλοῦ, ἡ ὕλη ἐφίεται τοῦ ἀγαθοῦ, καὶ οὐκ ἔστιν ἡ ὕλη καθ' αὑτὸ θῆλυ καὶ αἰσχρόν, ἀλλὰ κατὰ συμβεβηκός, δῆλον ὅτι οὐδὲ καθ' αὑτὸ ἐφίεται τοῦ ἀγαθοῦ, ἀλλὰ κατὰ συμβεβηκός. Ἔσται ἄρα καὶ τὸ θεῖον οὐ καθ' αὑτὸ ἀγαθόν τε καὶ ἐφετὸν καὶ ὀρεκτόν, ἀλλὰ κατὰ συμβεβηκός· ὅπερ D
ἐστὶν ἄτοπον λέγειν. Εἰ ἔστιν ἡ ὕλη γενητὴ μὲν διὰ τὸ εἶδος, φθαρτὴ δὲ διὰ τὴν στέρησιν, ἀγένητος δὲ δι' ἑαυτὴν καὶ ἄφθαρτος, ἔσται ἄρα ἡ ὕλη ἀεὶ μὲν φθαρτὴ ἢ γενητή, ἄφθαρτος δὲ καὶ ἀγένητος οὐδέποτε· ἀεὶ γὰρ ἢ στερήσει ὑπόκειται τῇ ἐν αὐτῇ φθειρομένῃ, ἢ τῷ εἴδει τῷ ἐν αὐτῇ γινομένῳ. Τὸ ἀγένητον ἐπὶ μὲν τῶν γενητῶν τὴν στέρησιν σημαίνει γενέσεως δυναμένης ἔσεσθαι, ἐπὶ δὲ τῶν ἀϊδίων τὴν ἀπόφασιν πάσης E
σημαίνει γενέσεως τῆς τε προγεγονυίας καὶ τῆς μελλούσης ἔσεσθαι· οἷον ὁ χαλκὸς ὁ μέλλων ἔσεσθαι ἀνδριάς, πρὶν γένηται ἀνδριάς, ἀγένητος λέγεται κατὰ στέρησιν, διὰ τὸ δύνασθαι αὐτὸν γενέσθαι ἀνδριάντα· ἐπὶ δὲ θεοῦ τὸ ἀγένητον πάσης ἀπόφασιν σημαίνει τῆς κατ' οὐσίαν γενέσεως προγεγονυίας τε καὶ μελλούσης. Δύο τοίνυν ὄντων τῶν τῆς ἀγενησίας τρόπων, κατὰ ποῖόν ἐστιν ἀγένητος ἡ ὕλη; Εἰ μὲν κατὰ στέρησιν, ἀγένητος ἄρα ἡ ὕλη ὥσπερ ὁ χαλκός, εἰ δὲ κατ' ἀπόφασίν ἐστιν ἡ 123
ὕλη ἀγένητος, οὐδὲν ἄρα γίνεται ἡ ὕλη· οὔτε, ὃν λόγον ἔχει ὁ χαλκὸς πρὸς τὸν ἀνδριάντα, τοῦτον δύναται ἔχειν ἡ ὕλη πρὸς τὴν οὐσίαν, καθὰ εἶπεν Ἀριστοτέλης. Εἰ οὕτως ἐστὶ ἡ ὕλη ἀγένητος ὡς ὁ θεός, καὶ δύναται ὁ θεὸς ἐκ τοῦ ἀγενήτου ποιῆσαί τι, δῆλον ὡς δύναται ὁ θεὸς καὶ ἐκ τοῦ ἁπλῶς μὴ ὄντος ποιῆσαί τι. Ἣν γὰρ ἔχει ἀνεπιτηδειότητα τὸ μὴ ὂν πρὸς τὸ μὴ γενέσθαι τι ἐξ αὐτοῦ κατὰ φύσιν καὶ κατὰ τέχνην, τὴν αὐτὴν B
ἔχει καὶ τὸ ἀϊδίως ἀγένητον πρὸς τὸ γενέσθαι τι ἐξ αὐτοῦ κατὰ φύσιν καὶ κατὰ τέχνην. Πῶς οὖν ἐκ μὲν τοῦ ἀϊδίως ἀγενήτου ἠδυνήθη ὁ θεὸς ποιῆσαί τι, ἐκ δὲ τοῦ ἁπλῶς μὴ ὄντος οὐκ ἠδυνήθη; Ἀλλὰ προδήλως [13] ἡ ἀπιστία τοῦ δύνασθαι τὸν θεὸν ἐκ μὴ ὄντος ποιῆσαί τι τοὺς μὲν πρώτους φιλοσόφους εἰς ἄρ-

13. ἡ ἀπιστία τ. δύνασθαι] Verbo δύνασθαι negatio non est ad-

dens non esse ens? Nam anima ens est, et quod animam habet ens est. Si, quemadmodum femina appetit masculum et turpe pulchrum, ita materia appetit bonum, neque est materia per se femina et turpe, sed per accidens: liquet nec per se appetentem esse boni, sed per accidens. Erit ergo etiam divinum non per se bonum et expetendum et desiderabile, sed per accidens: quod quidem absurdum dictu est. Si est materia genita quidem propter formam, corruptibilis propter privationem, ingenita autem per se et incorruptibilis: erit profecto materia semper quidem corruptibilis et genita, incorruptibilis vero et ingenita nunquam; semper enim aut privationi subjecta est quae in ea corrumpitur, aut formae quae in ea generatur. Ingenitum in creatis rebus privationem significat generationis quae esse possit, in aeternis autem negationem omnis significat generationis et praeteritae et futurae: exempli gratia aes, quod futurum est statua, antequam fiat statua, infectum dicitur secundum privationem, quia potest fieri statua; in Deo autem ingenitum negationem significat omnis secundum substantiam generationis tum praeteritae tum futurae. Quum ergo duo sint ingeniti modi, utro ingenita est materia? Si quidem secundum privationem, ingenita ergo materia ut aes; si secundum negationem ingenita materia est, nihil certe fit materia: nec, quam habet rationem aes ad statuam, eam potest habere materia ad substantiam, ut dixit Aristoteles. Si ita est ingenita materia ut Deus, ac potest Deus ex ingenito facere aliquid, liquet posse Deum ex eo etiam quod omnino non est aliquid facere. Quod enim sempiterne ingenitum est pariter non idoneum est atque id quod non est, ut ex eo aliquid fiat natura vel arte. Quomodo ergo potuit Deus ex eo quod sempiterne ingenitum est aliquid facere, ex eo autem quod omnino non est non potuit? Sed manifeste incredulitas, quae Deum quidquam ex nihilo facere posse inficiatur, et primos philosophos impulit, ut re-

dita, quoniam ea in praecedenti nomine ἀπιστία inclusa est. *Sylburgius.*

νησιν πάσης τῶν ὄντων ἐκ τῆς ὕλης γενέσεως ἀπώσατο, τὸν δὲ
τοῦτο διορθωσάμενον Ἀριστοτέλην εἰς ἀναίρεσιν τῆς γενέσεως τῆς C
ὕλης. Εἰ ἔστι [14] τὸ γινόμενον καὶ ἔστι τι ὃ τοῦτο γίνεται, κα-
θὰ εἶπεν ἐν τοῖς ἀνωτέρω, οὐδὲν ἄρα τούτων ἐστὶν ἡ ὕλη, εἰ
ἀγένητός ἐστι καὶ ἄφθαρτος. Εἰ ἀγένητός ἐστιν ὕλη καὶ ἄφθαρ-
τος, ἐξ ἀνάγκης καθ᾽ ἑκάτερον τὸν τῆς ἀγενησίας τρόπον ἀγέ-
νητός ἐστιν· οὔτ᾽ ἄρα γίνεταί τι ἐξ αὐτῆς οὔτε φθείρεται ἐν αὐ-
τῇ. Πῶς οὖν φθείρεται ἐν ἀφθάρτῳ ἡ στέρησις; Εἰ μία ἐστὶν
ἡ ὕλη, πολλὰ δὲ καὶ διάφορα τὰ ἐξ αὐτῆς γινόμενα, πῶς ἀνάγ- D
κη μένειν τὴν ὕλην ἀγενητόν, τοῦ ἀεὶ διαιρετοῦ αὐτῆς μὴ δυναμέ-
νου μένειν ἀδιαιρέτου; Εἰ ἀριθμῷ μὲν μία ἐστὶν ἡ ὕλη, εἴδει δὲ
δύο, καὶ ἔστιν ἀγένητος καὶ ἄφθαρτος, ἢ ἄρα ὅλη ἐστὶν ἀγένητος
καὶ ἄφθαρτος ἢ τὸ ἥμισυ αὐτῆς. Ἀλλ᾽ εἰ μὲν ὅλη ἐστὶν ἀγένητος
καὶ ἄφθαρτος, δῆλον ὅτι καὶ τὸ ἥμισυ αὐτῆς τοιοῦτον· εἰ δὲ τὸ
ἥμισυ αὐτῆς ἐστιν ἀγένητόν τε καὶ ἄφθαρτον καὶ τὸ ἥμισυ αὐ-
τῆς οὐ τοιοῦτον, ἔσται ἄρα ἡ ἀντίφασις περὶ τοῦ αὐτοῦ ἀληθής· E
ὅπερ ἀδύνατον. Εἰ τὸ δεχόμενον τὸ εἶδος ἢ ἐκεῖνο γίνεται ἢ ἐξ
ἐκείνου γίνεται, πῶς ἀγένητος ἡ ὕλη τὸ εἶδος δεχομένη; Εἰ τῶν
ὄντων ἐστὶ τὸ ἀγένητον εἶναι καὶ ἄφθαρτον, πῶς ἡ ὕλη καὶ
ὂν οὐκ ἔστι καὶ ἀγένητος καὶ ἄφθαρτός ἐστιν; Εἰ τὸ ἀγενήτως
ὂν ἐν τῷ ἀγενήτῳ ἀγένητον καὶ τοῦτο, πῶς ἡ ἀγένητος οὖσα
ἐν τῇ ὕλῃ στέρησις γίνεται καὶ φθείρεται; Εἰ, καθὼς εἴρηται, 124
ἱκανὸν τὸ ἕτερον τῶν ἐναντίων τῇ ἑαυτοῦ παρουσίᾳ τε καὶ ἀπ-
ουσίᾳ ποιεῖν τὴν μεταβολήν, τί τὸ μεταβαλλόμενον τῆς ὕλης
ἀγενήτου καὶ ἀφθάρτου οὔσης; Εἰ τὸ ἀγένητον καὶ ἄφθαρτον
περὶ τὴν οὐσίαν θεωρεῖται τοῦ ἀγενήτου καὶ ἀφθάρτου ὄντος,
ποῦ τὸ ἀγένητον καὶ ἄφθαρτον τῆς ὕλης, οὐσίας μὴ οὔσης τῆς
ὕλης; Εἰ μὴ ἦν γενητὸς ὁ χαλκὸς κατὰ τὴν προγεγονυῖαν αὐ-
τοῦ γένεσιν, οὔτε ἀνδριὰς ἐγίνετο. Πῶς τοίνυν γίνεται ἡ ὕλη B
ἢ ἐκ τῆς ὕλης τι, τῆς ὕλης μὴ προγεγονυίας; Εἰ μὴ ἐφθείρετο
ὁ χαλκός, οὐδὲ τὸ χαλκοῦν ἐφθείρετο. Πῶς τοίνυν φθείρεται
τὸ ὑλικόν, τῆς ὕλης ἀφθάρτου οὔσης; Εἰ ἐκ τῶν ἀσωμάτων
σῶμα οὐκ ἀποτελεῖται, πῶς γέγονε σῶμα ἐκ τῆς ὕλης καὶ τοῦ

14. *τὸ γινόμενον*] Aptius (Sylburg.) legeretur *τι γινόμενον*: *est aliquid quod* —, sicut in iis quae sequuntur: ἔστι τι ὃ etc..

6. *τὸ μὲν πλεῖον*] Sylburg. et Morell. *τὸ μὲν γὰρ πλεῖον* ex Arist.

7. *κρίνομεν*] Codd. msti et Stephan. *κρινόμενον.*

8. *προτέρῳ*] Codd. msti et editi perperam *πρώτῳ.*

35. Ἐκ τοῦ αὐτοῦ λόγου. 136

[1] Τὸ δὲ νῦν τὸν χρόνον μετρεῖ, ᾗ πρότερον καὶ ὕστερον, [2] καὶ ἀκολουθεῖ τῷ [3] μὲν μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος.

Εἰ οὐκ ἔστι τὸ νῦν μέρος τοῦ χρόνου, καθὼς εἶπεν ἐν τῷ τριακοστῷ [4] πρώτῳ κεφαλαίῳ, πῶς μετρεῖ τὸν χρόνον; Ἢ ἄρα οὐ μετρεῖ τὸν χρόνον τὸ νῦν, [5] ἢ μέρος αὐτὸ ἀνάγκη εἶναι B
τοῦ χρόνου. Καὶ εἰ ἀκολουθεῖ τῷ μεγέθει ἡ κίνησις, ταύτῃ δὲ ὁ χρόνος, γενητὸν ἄρα τὸ μέγεθος, ὥσπερ ἡ κίνησις καὶ ὁ χρόνος, τὰ ἐκείνῳ ἀκολουθοῦντα.

36. Ἐκ τοῦ αὐτοῦ λόγου.

*) Τῆς γραμμῆς ἐλάχιστος ἀριθμός, πλήθει μέν ἐστι δύο C
ἢ μία, μεγέθει δ' οὐκ ἔστιν ἐλάχιστος· ἐλάχιστος γὰρ κατὰ μὲν ἀριθμόν ἐστιν ὁ εἷς ἢ δύο, κατὰ δὲ μέγεθος οὐκ ἔστιν.

Εἰ μὴ ἐλάχιστόν ἐστι μέρος ἐν τῇ γραμμῇ μὲν ἡ στιγμή, ἐν τῷ χρόνῳ δὲ τὸ νῦν, τί ἕτερόν ἐστιν ἡ στιγμὴ ἐν τῇ γραμμῇ καὶ τὸ νῦν ἐν τῷ χρόνῳ; Εἰ δ' οὐκ ἐλάχιστόν ἐστι μέρος, ἀλλὰ πέρας, πῶς οὖν χωρὶς μὲν τοῦ πεπερασμένου ἀδύνατόν ἐστιν εἶναι τὸ πέρας, χωρὶς δὲ τῆς γραμμῆς ἐνδέχεται εἶναι τὴν στιγ- D
μήν; Καὶ εἰ ἐν οἷς οὐκ ἔστι τὸ ἐλάχιστον, ἐν τούτοις οὐδὲ τὸ μέγιστον, κατὰ τί ἡ λοιπὴ διαφορὰ τῶν μερῶν, τοῦ μεγίστου καὶ τοῦ ἐλαχίστου ἀναιρουμένης τῆς διαφορᾶς;

37. Ἐκ τοῦ αὐτοῦ λόγου.

[1] Ὥστε φανερὸν ὅτι τὰ ἀεὶ ὄντα [2] ἢ τὰ ἀεὶ μὴ ὄντα οὐκ E
ἔστιν ἐν χρόνῳ· οὐ γὰρ περιέχεται [3] ὑπὸ χρόνου, οὐδὲ μετρεῖται τὸ εἶναι αὐτῶν ὑπὸ τοῦ χρόνου.

[4] Πῶς οὖν τὴν κίνησιν εἴρηκας εἶναι ἀΐδιον, καὶ τὸν χρόνον ταύτης ἀριθμόν; Ὧν γὰρ ὁ χρόνος ἐστὶν ἀχώριστος, ταῦτα οὐκ ἐνδέχεται μὴ εἶναι ἐν χρόνῳ.

38. Ἐκ τοῦ αὐτοῦ λόγου. 137

[1] Ὅσα μήτε κινεῖται μήτ' ἠρεμεῖ, οὐκ ἔστιν ἐν χρόνῳ· τὸ

1. Τὸ ... χρόνος] Lib. IV. c. 11. p. 219..

2. καὶ] Ante hanc voculam nonnulla a Pseudo-Justino omissa sunt.

3. μὲν] Jam Sylburg. ex Arist. textui inseruit.

4. πρώτῳ] Codd. msti et editi τρίτῳ inepte.

5. ἢ] Si metitur.

*) Τῆς ... ἔστιν] Lib. IV. c. 12. p. 220.; sed liberius verba sunt allata.

35. Ex eodem libro.

Praesens autem tempus metitur, qua prius et qua posterius: et magnitudinem consequitur motus, hunc autem tempus.

Si praesens pars non est temporis, ut dixit trigesimo primo capite: quomodo metitur tempus? Vel profecto praesens non metitur tempus, vel partem id esse temporis necesse est. Et si magnitudinem consequitur motus, hunc autem tempus: genita ergo magnitudo, ut et motus et tempus, quae illam consequuntur.

36. Ex eodem libro.

Lineae minimus numerus, multitudine quidem duae aut una, magnitudine autem non minimus: minimus enim numerus est unus aut duo, magnitudine autem [minimus] non est.

Si non minima pars est in linea quidem punctum, in tempore vero praesens: quid tandem aliud est punctum in linea et praesens in tempore? Sin autem non minima pars est, sed finis: quomodo ergo sine re finita non potest esse finis, sine linea autem esse potest punctum? Et si quibus in rebus non est minimum, in iisdem etiam non est maximum: quomodo reliqua differentia partium consistit, maximi et minimi differentia sublata?

37. Ex eodem libro.

Idcirco manifestum est ea quae semper aut quae nunquam sunt non esse in tempore; non enim ea circumplectitur tempus, neque substantiam eorum tempus metitur.

Quomodo igitur motum dixisti esse aeternum, et tempus numerum ejus? A quibus enim separari tempus non potest, ea fieri non potest quin sint in tempore.

38. Ex eodem libro.

Quaecunque nec moventur nec quiescunt, in tempore non

1. Ὥστε ... χρόνου] Lib. IV. c. 12. p. 221..

2. ἢ τὰ ἀεὶ μὴ ὄντα] Arist. ἢ ἀεὶ ὄντα. Et sic Langus quoque: *quatenus semper sint.*

3. ὑπὸ χρόνου] Sic codd. msti et Stephan.; caeteri ὑπὸ τοῦ χρόνου.

4. Πῶς] Vulgo ὡς, id quod pariter Marano displicuit.

1. Ὅσα ... μέτρον] Lib. IV. c. 12. p. 221..

μὲν γὰρ ἐν χρόνῳ [2] εἶναι ἐστὶ τὸ μετρεῖσθαι χρόνῳ, ὁ δὲ χρόνος κινήσεως καὶ ἠρεμίας μέτρον.

Εἰ τὸ ὂν ἐν τῷ χρόνῳ [3] ἐκεῖνο κινεῖται καὶ ἠρεμεῖ, κινεῖται δὲ ὁ οὐρανὸς κατὰ τὸν λέγοντα καὶ ἠρεμεῖ ἡ γῆ, ἐν χρόνῳ ἄρα ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ τούτων κίνησίς τε καὶ ἠρε- B
μία. Καὶ εἰ γενητὸς ὁ χρόνος, [4] ἐξ ἀνάγκης [ἄρα γενητὸς καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ.

39. Ἐκ τοῦ πέμπτου λόγου τῆς αὐτῆς πραγματείας.

[1] Ὥστε ἀνάγκη ἐκ τῶν εἰρημένων τρεῖς εἶναι μεταβολάς, τήν τε ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, καὶ τὴν ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, καὶ τὴν ἐκ μὴ ὑποκειμένου εἰς ὑποκείμενον. Ἡ γὰρ [2] οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον [3] οὐκ ἔστι με- C
ταβολὴ διὰ τὸ μὴ εἶναι κατ' ἀντίθεσιν· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν. Ἡ μὲν οὖν [4] οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ' ἀντίφασιν γένεσίς ἐστιν, [5] ἡ δ'] ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον [6] φθορά.

Οὐδαμοῦ ἄρα ἡ ὕλη, ἣν εἶπες ἐν τοῖς ἀνωτέρω ὑποκειμένην τοῖς γινομένοις τε καὶ φθειρομένοις, τοῖς μὲν ὡς ἐξ οὗ, τοῖς δὲ ὡς εἰς ὅ.

40. Ἐκ τοῦ αὐτοῦ λόγου. D

[1] Τὸ μὲν γὰρ μὴ λευκὸν ἢ μὴ ἀγαθὸν ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός ([2] εἴη γὰρ ἄνθρωπος τὸ μὴ λευκόν),

2. εἶναι] Non est in codd. mstis neque in Stephani editione; sed jam Sylburg. ex Aristotele desumsit.

3. ἐκεῖνο] Pleonastice positum est ut c. 41. p. 138. D. Cf. Quaestt. et Respp. ad Orth. 65. not. 1..

4. ἐξ ἀνάγκης etc.] Inter verba ἐξ ἀνάγκης et ἐξ ὑποκειμένου lacuna est in codd. mstis, quam quum librarii explere non possent, adnotarunt in margine: λείπει ἐνταῦθα· οὐ γὰρ ἁρμόττει τὸ ἔμπροσθεν τῇ προελθούσῃ ἐννοίᾳ· δῆλον δὲ καὶ ἀπὸ τοῦ ψήφου τῶν κεφαλαίων. Hunc tamen defectum Sylburgius in adnotationibus explere conatus est ex Lango interprete et Aristotele; convenientius visum est Marano graeca in ipsum textum inducere et sua Aristoteli reddere.

1. Ὥστε... φθορά] Lib. V. c. 1. p. 225.. — Vid. c. 38. not. 4..

2. οὐκ ἐξ] Maranus cum Sylburgio ἐκ μή (*ex non subjecto*).

sunt; nam in tempore esse mensuram tempore subire est: tempus autem motus et quietis mensura.

Si id quod in tempore est movetur et quiescit, movetur autem, ut placet ei qui hoc dixit, coelum et quiescit terra: in tempore igitur coelum et terra eorumque et motus et quies. Et si genitum tempus, necessario [igitur genita quoque fuerint et coelum et terra.

39. Ex quinto libro ejusdem commentationis.

Quare ex dictis tres esse mutationes necesse est: eam quae ex subjecto in subjectum, et eam quae ex subjecto in non subjectum, et eam quae ex non subjecto in subjectum fit. Ea enim quae non ex subjecto in non subjectum fit non est mutatio, eo quod non est per oppositionem; neque enim contraria neque contradictoria est. Ea igitur mutatio, quae non ex subjecto in subjectum fit per contradictionem, generatio est, ea vero,] quae ex subjecto in non subjectum, interitus.

Nusquam ergo materia, quam supra dicebas subjectam iis quae gignuntur et intereunt, his quidem tamquam ex quo, his autem tamquam in quod.

40. Ex eodem libro.

Quod enim non album est aut non bonum moveri tamen potest per accidens (sit enim homo non album), quod autem

3. *οὐκ ἔστι*] Maran. falso *ἐκ ἔτι*.

4. *οὐκ ἐξ*] Maran. c. Sylb. *ἐξ οὐχ*.

5. *ἡ δ'*] Maran. *ἡθ'* vitiose. Ab Aristotele autem praemittuntur verbis *ἡ δ' ἐξ ὑποκειμένου* etc. haecce: *ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δέ τις τινός, οἷον ἡ μὲν ἐκ μὴ λευκοῦ εἰς λευκὸν γένεσις τούτου, ἡ δ' ἐκ τοῦ μὴ ὄντος ἁπλῶς εἰς οὐσίαν γένεσις ἁπλῶς, καθ' ἣν ἁπλῶς γίνεσθαι καὶ οὐ τὶ γίνεσθαι λέγομεν.* Sed data opera, ut Pseudo-Justinus haud raro, ego quoque praetermisi ista, quum ad propositum minime necessaria sint.

6. *φθορά*] Deest in codd. mstis; additum ex Arist. contextu.

1. *Τὸ . . . κινεῖσθαι*] Lib. V. c. 1. p. 225..

2. *εἴη γὰρ*] Rectius *εἴη γὰρ ἄν*. Omitti facile poterat *ἂν* ob vocem *ἄνθρ.* quae sequitur.

τὸ δὲ ἁπλῶς μὴ τόδε οὐδαμῶς· ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι.

Εἰ ἐκ τοῦ μὴ κινουμένου ἀδύνατον γενέσθαι οὐσίαν, [3] καὶ τὸ ἁπλῶς τόδε μὴ ὂν οὐδαμῶς κινεῖται (ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι), πῶς γέγονεν ἐκ τῆς ὕλης οὐσία ἁπλῶς τόδε τι E
οὐκ οὔσης;

41. Ἐκ τοῦ ὀγδόου λόγου τῆς αὐτῆς πραγματείας.

[1] Εἰ δὲ ἀδύνατον εἶναι καὶ νοῆσαι χρόνον ἄνευ τοῦ νῦν, 138
[2] τὸ δὲ νῦν μεσότης τις, καὶ ἀρχὴν καὶ τελευτὴν ἔχον, ἀλλ' ἀρχὴν μὲν τοῦ ἐσομένου χρόνου, τελευτὴν δὲ τοῦ παρελθόντος, ἀνάγκη ἀεὶ εἶναι τὸν χρόνον· τὸ γὰρ ἔσχατον τοῦ τελευταίου ληφθέντος χρόνου [3] τὸ νῦν ἐστιν· οὐδὲν γὰρ ἔστι λαβεῖν ἐν τῷ χρόνῳ παρὰ τὸ νῦν. Ὥστε ἐπεί ἐστιν ἀρχὴ [4] καὶ τελευτή, [5] ἀνάγκη ἐπ' ἀμφότερα εἶναι χρόνον. [6] Ἀλλ' εἰ χρόνον, ἀνάγκη καὶ κίνησιν, εἴπερ ὁ χρόνος πάθος ἐστὶ κινήσεως.

Ἐν τούτοις κατασκευάζει ὁ Ἀριστοτέλης τὸν οὐρανὸν εἶναι B
ἀΐδιον. Εἰ γὰρ μεσότης τίς ἐστι καὶ ἀρχὴ καὶ τελευτή, καὶ ἑκατέρωθεν ἀεὶ ἔχει χρόνον, ᾧ τεθέντι ἀναγκαίως ἕπεται τὸ τὸν χρόνον εἶναι ἀΐδιον· καὶ εἰ ὁ χρόνος ἀΐδιος, καὶ ἡ κίνησις ἐξ ἀνάγκης ἐστὶν ἀΐδιος, ἧς ὁ χρόνος ἐστὶν ἀριθμός· καὶ εἰ ἡ κίνησις ἀΐδιος, ἐξ ἀνάγκης καὶ τὸ κινούμενον σῶμα ἀΐδιόν ἐστι. Τοῦτο δὲ ἀτόπως ἔθηκε τὸ συναΐδιον εἶναι· καὶ ἐλεγχθήσεται οὕτως. Ὡς γὰρ γενήσεται ὁ μέλλων γίνεσθαι χρόνος, οὕτως γέ- C
γονε καὶ ὁ παρελθών. Ἀλλ' ὁ μέλλων γίνεσθαι χρόνος, [7] ὥσπερ τὴν μέλλουσαν γένεσιν ἔχει, οὕτως καὶ τὴν ἀρχήν· καὶ ὥσπερ

3. καὶ τὸ ἁπλῶς τόδε] Maran. καὶ τὸ ἁπλῶς τὸ δὲ etc., reliqui editt. καὶ τὸ ἁπλῶς· τὸ δὲ etc..

1. Εἰ ... κινήσεως] Lib. VIII. c. 1. p. 251.. — Inscriptio autem in codd. mstis et editis est Ἐκ τοῦ ἐνάτου λόγου etc.. Error, ut Perionius notavit, inde natus est, quod numeralis nota ϑ', qua scriptor usus est haud dubie, alias octo significat, quum scilicet ab α' usque ad ω' vulgaris fit numeratio, alias vero significat novem, quum post ε' inseritur ϛ', numerus senarius. — Caeterum incipit locus apud Arist. sic: Εἰ οὖν ἀδύνατόν ἐστι καὶ εἶναι καὶ νοῆσαι.

2. τὸ δὲ νῦν] Addit Arist. ἐστί. — Dein post ἔχον ponit ἅμα, sed ἀλλ' quod sequitur omittit.

3. τὸ νῦν ἐστιν] Arist. ἔν τινι τῶν νῦν ἔσται.

omnino non est certum quid id nullatenus; fieri enim non potest ut quod non est moveatur.

Si fieri non potest ut ex eo quod non movetur generetur substantia, nec movetur quod omnino non est certum quid (*fieri enim non potest ut quod non est moveatur*): quomodo ex materia, quae certum quid non est, facta prorsus est substantia?

41. Ex octavo libro ejusdem commentationis.

Si neque esse neque intelligi potest tempus sine praesenti, praesens vero medium quiddam est, et initium et finem habens, initium quidem futuri temporis, finem autem praeteriti: necesse est semper esse tempus; nam finis postremi, quod assumtum est, temporis est praesens: nihil enim potest in tempore apprehendi praeter praesens. Quare quia initium est et finis, necesse est citra et ultra esse tempus. Sed si tempus, etiam motum necesse est, quia tempus perpessio est motus.

His adstruit Aristoteles coelum esse aeternum. Nam si medium quiddam est et initium et finis, etiam utrinque semper tempus habet, quo posito sequitur necessario tempus esse aeternum; et si tempus aeternum, etiam motus necessario est aeternus, cujus tempus est numerus; et si motus aeternus, necessario etiam corpus quod movetur aeternum est. Illud autem absurde statuit coaeternum esse: quod quidem sic arguitur. Quemadmodum enim fiet tempus futurum, ita factum est etiam praeteritum. Sed futurum tempus, ut futuram originem habet, ita etiam initium; et ut nihil praeteriti temporis

4. *καὶ τελευτή*] Arist. *τε καὶ τελευτὴ τὸ νῦν.*

5. *ἀνάγκη . . . χρόνον*] Arist. *ἀνάγκη αὐτοῦ ἐπ' ἀμφότερα εἶναι ἀεὶ χρόνον.*

6. *Ἀλλ' εἰ χρόνον*] Arist. *Ἀλλὰ μὴν εἴγε χρόνον.* Tum pergit: *φανερὸν ὅτι ἀνάγκη εἶναι καὶ κίνησιν, εἴπερ ὁ χρόνος πάθος τι κινήσεως.*

7. *ὥσπερ τ. μ. γένεσιν ἔχει*] Vulgo vitiose *γενέσθαι* legitur pro *γένεσιν*, quod in textu ponendum censui. Maranus legi vult *ὥσπερ τ. μ. γενέσθαι ἔχει ἀρχήν, οὕτως καὶ ὁ παρελθών*: *ut initium habebit, ita et praeteritum tempus habuit initium.* Satis commode quidem; at nimis magna est mutatio.

οὐδὲν τοῦ παρελθόντος ἐστὶν ἐν τῷ μέλλοντι, οὕτως [8]οὐδὲν τοῦ μέλλοντός ἐστιν ἐν τῷ παρόντι. Ἀλλ' εἰ τὸ νῦν ὄν ἐστι καὶ πάρεστι, τὸ δὲ μέλλον οὔπω ἐστὶν οὔτε ὂν οὔτε παρόν, οὐκ ἄρα ἐστὶ τὸ παρὸν νῦν ἀρχὴ τοῦ μέλλοντος χρόνου, ἀλλὰ τὸ μέλλον ἔσεσθαι νῦν ἐκεῖνό ἐστιν ἀρχὴ τοῦ μέλλοντος, ὃ οὔτε μεσότης τίς ἐστιν, D ἔχον [9]ἐπ' ἀμφότερα χρόνον, ἀλλ' ἐπὶ θάτερον, οὔτ' ἀρχὴ καὶ τελευτή, τὸ αὐτὸ μὲν νῦν, ἄλλου δὲ καὶ ἄλλου χρόνου, οἷον ἀρχὴ μὲν τοῦ μέλλοντος, τελευτὴ δὲ τοῦ παρελθόντος· [10]ἀλλ' ἄλλο μὲν νῦν ἀρχὴ καὶ ἄλλο τελευτή, τοῦ αὐτοῦ δὲ χρόνου. Ἄλλως δὲ εἰ ἀδύνατον τὸ νῦν εἶναι νῦν, ἐὰν μὴ πρότερον ᾖ μέλλον καὶ οὐκ ὄν, ἀδύνατον ἄρα τὸ νῦν συναΐδιον εἶναι. Εἰ γὰρ πᾶν τὸ E πρότερον οὐκ ὄν, ὕστερον δέ, γενητὸν τοῦτο, τοιοῦτον δὲ καὶ τὸ νῦν, γενητὸν ἄρα τὸ νῦν· εἰ δὲ τὸ νῦν, ἐξ ἀνάγκης καὶ ὁ πᾶς χρόνος, οὗ ἀρχὴ καὶ τελευτὴ τὸ νῦν· καὶ εἰ ὁ χρόνος, ἐξ ἀνάγκης καὶ ἡ κίνησις, ἧς ὁ χρόνος ἐστὶν ἀριθμός· καὶ εἰ ἡ κίνησις, ἐξ ἀνάγκης καὶ τὸ κινούμενον σῶμά ἐστι γενητόν.

42. Ἐκ τοῦ αὐτοῦ λόγου. 139

[1]Ὅλως δὲ τὸ νομίζειν [2]ταύτην τὴν ἀρχὴν εἶναι ἱκανήν, ὅτι ἀεὶ ἔστιν οὕτως ἢ γίνεται, οὐκ ὀρθῶς [3]ἐστιν ὑπολαβεῖν, [4]ἐφ' ὃ Δημόκριτος ἀνάγει τὰς περὶ φύσεως αἰτίας, [5]ὅτι οὕτως καὶ τὸ πρότερον ἐγίνετο· τοῦ δ' ἀεὶ οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν, λέγων ἐπί τινων ὀρθῶς, ὅτι δ' ἐπὶ πάντων οὐκ ὀρθῶς. Καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ τὰς γωνίας ἴσας, ἀλλ' ὅμως ἐστί B [6]τι τῆς ἀϊδιότητος ταύτης ἕτερον αἴτιον [7]ἀΐδιον· τῶν μέντοι ἀρχῶν οὐκ ἔστιν [8]αἴτιον ἀϊδίων οὐσῶν.

Εἰ τοίνυν ὡς γίνεται νῦν, οὕτως καὶ τὸ πρότερον ἐγίνετο, οὐκ ὀρθῶς ἐστιν ὑπολαβεῖν ἀρχὴν εἶναι τῶν ἀεὶ κατὰ φύσιν γι-

8. οὐδὲν] Vulgatam scripturam οὐδὲ emendandam (id quod etiam ex parallelismo membrorum patescit) jam Sylburgius contendit. Nam οὐδέν, quod in membro est superiori, in hoc subintelligi non potest. Vel saltem legas οὐδὲ τοῦ μέλλοντός τι.

9. ἐπ' ἀμφότερα] Maran. ἐπ' ἀμφοτέρᾳ (sic).

10. ἀλλ' etc.] Non male Maranus: *sed praesens, quod est initium, aliud est a fine et ad idem tempus pertinet.*

1. Ὅλως... οὐσῶν] Lib. VIII. c. 1. p. 252..

2. ταύτην τ. ἀ. ε. ἱκ.] Arist. ἀρχὴν εἶναι ταύτην ἱκανήν. — Mox habet ἢ ante ἔστιν.

est in futuro, ita nihil futuri est in praesenti. Sed si id quod nunc praesens est ens est et adest, futurum autem nondum est neque ens est neque adest: non ergo id quod nunc praesens est initium est futuri temporis, sed quod futurum est praesens id initium est futuri, quod quidem neque medium quiddam est, habens ex utraque parte tempus, sed ex altera, neque initium et finis, quum idem praesens sit, alius atque alius temporis, nempe initium futuri, finis praeteriti; sed aliud praesens initium et aliud finis, ejusdem vero temporis. Praeterea si praesens non potest esse praesens, nisi prius sit futurum ac non sit, fieri ergo non potest ut praesens sit coaeternum. Nam si quidquid prius non fuit, sed posterius, genitum est, tale autem est etiam praesens, genitum ergo praesens; quodsi praesens, necessario etiam omne tempus, cujus initium est et finis praesens; et si tempus, necessario etiam motus, cujus tempus est numerus; et si motus, necessario etiam corpus quod movetur est genitum.

42. Ex eodem libro.

Omnino autem existimare hanc causam esse idoneam, quod semper ita res sit aut fiat, non recta est opinio, atque huc refert Democritus naturales causas, nempe quod ita etiam antea factum sit; cur autem semper ita fiat, causam inquirendam non putat, de quibusdam quidem recte disserens, de omnibus vero non recte. Nam triangulus habet duobus rectis semper angulos aequales, sed tamen aliqua est alia hujus aeternitatis causa aeterna; at principiorum, quum aeterna sint, nulla est causa.

Si igitur recta non est opinio hanc eorum quae semper secundum naturam fiunt arbitrari causam, quod, ut nunc res

3. ἐστὶν] Arist. ἔχει.
4. ἐφ' ὃ] Codd. msti ἐφ' ᾧ.
5. ὅτι] Arist. ὡς.
6. τι τῆς] Reg. 2. et Stephan. mendose τις (pro τῆς), omisso τι. Hoc pronomen etiam in Reg. 1. excidit. Causa erroris cernitur in ultima praecedentis vocis (ἐσ τ ι) syllaba.
7. αἴδιον] Ab Arist. abest.
8. αἴτιον] Editores excepto Stephano dederunt ex Arist. ἕτερον αἴτιον praeter necessitatem.

νομένων, ἐξ ἀνάγκης ἄρα ὀρθῶς ἐστὶν ὑπολαβεῖν ἀρχὴν εἶναι τῶν κατὰ φύσιν γινομένων τὸ μὴ οὕτως γεγονός, ὡς τὸ νῦν γίνεται, ἀλλ' ἑτέρως· διὸ δίκαιόν ἐστι καὶ τοῦ ἀεὶ γινομένου ζητεῖν τὴν C
ἀρχήν. Ἄλλως γίνεται ζῶον ἐκ ζώου, καὶ ἄλλως γέγονε ζῶον ἐκ μὴ ζώου· καὶ τὸ μὲν ζῶον ἐκ μὴ ζώου οὔτε κατὰ φύσιν γέγονεν οὔτε ἀεὶ γίνεται, τὸ δὲ ζῶον ἐκ ζώου ἀεί τε καὶ κατὰ φύσιν γίνεται, ἐξ ὅτου ἔλαβεν ἀρχὴν τοῦ γίνεσθαι ἐκ ζώου τοῦ μὴ ἐκ ζώου. Καὶ τοῦτο ἐπὶ πάντων τῶν ἀεὶ κατὰ φύσιν γινομένων, οὐκ ἐπὶ τινῶν μόνον· ἀδύνατον γὰρ τὰ ἐξ ἀρχῶν γενητῶν τὴν αὐτὴν ἔχειν γένεσιν, ἣν ἐσχήκασιν αἱ ἀρχαί. Ἡ ἐν τοῖς D
γενητοῖς ἀϊδιότης ἄναρχος εἶναι οὐ δύναται. Καὶ γὰρ τὸ τρίγωνον ἀεὶ ταῖς δυσὶν ὀρθαῖς ἴσας ἔχει τὰς τρεῖς γωνίας, ἀρχὴν ἔχον γενητὴν τὴν εὐθεῖαν, ἧς ὁ λόγος ἐστὶ γραμμὴ [9] ἄκρως τεταμένη. [10] Αὕτη γάρ ἐστιν αἰτία τοῦ τὸ τρίγωνον δυσὶν ὀρθαῖς ἴσας ἔχειν τὰς τρεῖς γωνίας· καὶ ταύτης μὲν οὐκ οὔσης οὐκ ἐνδέχεται εἶναι τρίγωνον, τριγώνου δὲ μὴ ὄντος ἐνδέχεται εἶναι E
εὐθεῖαν. Αἱ ἀρχαὶ τῶν κατὰ φύσιν ἀεὶ γινομένων ἀΐδιοι εἶναι οὐ δύνανται· εἰ γὰρ ἣν ἔχουσι φύσιν ταύτην μεταδιδόασι τοῖς ἐξ αὐτῶν γινομένοις, γενητὴ δὲ αὕτη, γενητὴ ἄρα καὶ ἡ τῶν ἀρχῶν φύσις, εἰ καὶ ὁ τρόπος τῆς γενέσεως ἐνήλλακται καὶ ἔστιν ἕτερος τῆς τῶν ἐξ ἀρχῶν.

43. Ἐκ τοῦ αὐτοῦ λόγου. 140

[1] Ἀνάγκη εἶναί τι ἓν καὶ ἀΐδιον τὸ πρῶτον κινοῦν. Δέδεικται γὰρ ὅτι ἀνάγκη ἀεὶ κίνησιν εἶναι. Εἰ δὲ ἀεί, [2] ἀνάγκη συνεχῆ εἶναι· καὶ γὰρ τὸ ἀεὶ συνεχές· τὸ [3] γὰρ ἐφεξῆς οὐ συνεχές. [4] Εἰ δὲ συνεχής, μία· [5] μία δ' ὑφ' ἑνός τε κινοῦντος καὶ ἑνὸς τοῦ κινουμένου· [6] εἰ γὰρ ἄλλο καὶ ἄλλο κινήσει, οὐ συνεχὴς ἡ κίνη- B
σις ἀλλ' ἐφεξῆς.

9. ἄκρως] Videtur ἀκριβῶς (Wolf.) legendum esse. Cf. Quaestt. et Respp. ad Orth. 113.: τέλειον δὲ ἄκρως.

10. Αὕτη] Vulgo αὐτή.

1. Ἀνάγκη ... ἐφεξῆς] Lib. VIII. c. 6. p. 259.. — Cf. Gass. in *Illgeni Zeitschrift f. d. histor. Theologie* (Lips.) 1842. Fasc. 4. p. 133. not. 77..

2. ἀνάγκη συνεχῆ] Sic codd. msti et Stephanus. Caeteri ex Arist. ἀνάγκη καὶ συνεχῆ sine ratione. Item post τὸ ἀεὶ legunt ὄν, quod ne Aristoteles quidem agnoscit.

3. γὰρ] Arist. δέ.

fit, ita et prius fiebat: necessario certe recta est opinio hanc eorum quae secundum naturam fiunt arbitrari causam, quod non ita facta sint, ut nunc fiunt, sed aliter; unde aequum est etiam ejus quod semper fit causam quaerere. Aliter fit animal ex animali, et aliter factum est animal ex non animali; atque animal quidem ex non animali nec secundum naturam fit nec semper fit, animal autem ex animali et semper et secundum naturam fit, ex quo tempore coepit fieri ex animali, quod non erat ex animali. Atque hoc quidem de omnibus, quae semper secundum naturam fiunt, non de quibusdam tantum dicitur; fieri enim non potest ut quae ex principiis genitis orta sunt eamdem habeant originem, quam principia habuerunt. Aeternitas in iis quae genita sunt non potest sine principio esse. Etenim triangulus semper duobus rectis habet aequales tres angulos, principium habens genitum lineam rectam, cujus ratio est linea accurate protensa. Haec enim causa est, cur triangulus duobus rectis aequales habeat tres angulos: atque illa quidem si desit, non potest esse triangulus, triangulo autem non exstante potest esse linea recta. Principia eorum quae secundum naturam fiunt aeterna esse non possunt. Nam si quam habent naturam eam communicant cum iis quae ex ipsis gignuntur, ea autem genita est: genita ergo etiam principiorum natura, quamvis modus generationis immutatus sit et alius atque in iis quae ex principiis orta sunt.

43. Ex eodem libro.

Necesse est unum aliquid esse et aeternum, quod primum moveat. Demonstratum enim est necesse esse ut semper sit motus. Quodsi semper, necesse est ut continuus sit; etenim quod semper est continuum est: quod autem per vices est non est continuum. Quodsi continua motio, una est; una autem est ab uno movente et uno motu: nam si aliud atque aliud moveat, non continua erit motio sed per vices.

4. *Εἰ δὲ*] Codd. msti et editi *ἢ δέ*. Literae *EI* et *H* saepe confunduntur. Arist. *Ἀλλὰ μὴν εἴ γε*.

5. *μία δ' ὑφ'*] Maran. cum Arist. *μία δ', εἰ ὑφ'*. — Dein Arist. *τε τοῦ κινοῦντος*.

6. *εἰ γὰρ*] Editores praeter Stephanum *εἰ γάρ τι* ex Arist. et mox *ἡ ὅλη κίνησις* exhibuerunt.

Εἰ τὸ πρῶτον κινοῦν τὴν κατὰ φορὰν κίνησιν, [7] ἡ δὲ κατὰ
φορὰν κίνησίς ἐστι τοῦ οὐρανοῦ, ὁ δὲ οὐρανός ἐστι [8] φυσικὸν
σῶμα, τὸ δὲ φυσικὸν σῶμα ἐν ἑαυτῷ ἔχει φυσικῶς τῆς κατὰ
φύσιν κινήσεως τὴν ἀρχήν, περιττῶς ἄρα κινεῖται ὁ οὐρανὸς
[9] τοῦ πρώτου κινοῦντος τὴν κατὰ φορὰν κίνησιν· ἣν καὶ εἰ μὴ
τὸ πρῶτον κινοῦν ἐκίνει αὐτόν, ἐκινεῖτο ἂν αὐτὸς ὑφ' ἑαυτοῦ, C
διὰ τὸ εἶναι αὐτὸν πέμπτον στοιχεῖον μήτε βαρύτητα ἔχον κινοῦ-
σαν αὐτὸν ἐπὶ τὸ κάτω, μήτε κουφότητα κινοῦσαν αὐτὸν ἐπὶ τὸ
ἄνω, ἀλλ' ἑτέραν δύναμιν ἀνώνυμον κινοῦσαν αὐτὸν περὶ τὸ μέ-
σον. Εἰ τὸ πρῶτον κινοῦν τὴν κατὰ φορὰν κίνησιν τὸν οὐρα-
νὸν οὔτε κατὰ φύσιν αὐτὸν κινεῖ (περιττὸν γὰρ τὸ οὕτως κι-
νεῖν) οὔτε παρὰ φύσιν (δευτέρα γάρ ἐστι κίνησις ἡ παρὰ φύσιν
τῆς κατὰ φύσιν κινήσεως), οὐκ ἄρα κινεῖ τι τὸν οὐρανόν. Εἰ D
πᾶσα κίνησις, ὡς [10] γίνεται νῦν, οὕτως καὶ τὸ πρότερον ἐγίνε-
το, γίνεται δὲ νῦν κατὰ μεταβολὴν τοῦ μέλλοντος γίνεσθαι, τὸ
δὲ μέλλον γίνεσθαι πρὸ τοῦ γενέσθαι οὔπω ἦν, τὸ δὲ πρῶτον
μὲν οὐκ ὄν, ὕστερον δὲ γενητὸν τοῦτο πᾶν, τὸ δὲ γενητὸν ἄναρ-
χόν τε καὶ ἀΐδιον οὐ δυνατὸν εἶναι, οὐκ ἄρα ἡ κίνησις ἀΐδιός
τε καὶ ἄναρχος.

44. Ἐκ τοῦ αὐτοῦ λόγου. E

[1] Φανερὸν ὅτι [2] ἡ φορὰ πρώτη. Τὸ γὰρ πρῶτον [3] ὥσπερ
ἐφ' ἑτέρων, οὕτως καὶ ἐπὶ κινήσεως ἂν λέγοιτο πλεοναχῶς. Λέ-
γεται δὲ πρότερον, οὗ [4] γε μὴ ὄντος οὐκ ἔσται τὰ ἄλλα, ἐκεῖνο
δὲ ἄνευ τῶν ἄλλων, καὶ τὸ [5] χρόνῳ καὶ τὸ κατ' οὐσίαν. [6] Ὅτι
ἀνάγκη τὴν φορὰν εἶναι πρώτην. [7] Οὐδὲ γὰρ μία ἀνάγκη οὔτε 141
αὔξεσθαι οὔτε ἀλλοιοῦσθαι τὸ φερόμενον, οὐδὲ δὴ γίνεσθαι ἢ
φθείρεσθαι· τούτων δὲ οὐδεμίαν [8] ἐνδέχεται τῆς συνεχοῦς μὴ
οὔσης, ἣν κινεῖ τὸ πρῶτον κινοῦν. Ἔτι χρόνῳ [9] πρώτη· τοῖς

7. ἡ] Stephan. ex Reg. 2. εἰ (vid. not. 4.) dedit.

8. φυσ. σῶμα] Ita Reg. 1. et Maran.; reliqui articulum τὸ praefixerunt.

9. τοῦ πρ.] Marano ὑπὸ τοῦ πρ. videtur legendum.

10. γίν. νῦν] Maran. male γίν. δὲ νῦν.

1. Φανερὸν ... πρότερον] Lib. VIII. c. 7. p. 260. sq..

2. ἡ φορὰ] Ipse Aristoteles declarat initio hujus cap. 7. φορὰν a se intelligi illum motum, qui est

Si primum movens localem motum efficit, localis autem motus est coeli, coelum autem est corpus naturale, corpus autem naturale habet in seipso naturaliter localis motionis principium: frustra ergo movetur coelum a primo movente motu locali; quem quidem etiamsi non efficeret primum movens, moveretur ipsum a seipso, quia quintum est elementum nec gravitatem habens quae illud deorsum deprimat, nec levitatem quae sursum efferat, sed aliam virtutem non nominatam quae illud circa medium movet. Si primum movens, quod coelum movet locali motione, nec secundum naturam illud movet (inutile enim est ita movere) nec praeter naturam (posterior enim est naturali motione motio praeter naturam): non ergo quidquam coelum movet. Si omnis motus, ut nunc fit, ita etiam prius fiebat, fit autem nunc secundum mutationem futuri, futurum autem antequam fiat non est, quod autem prius non est, sed postea fit, id omne genitum est, quod autem genitum est id sine principio et aeternum esse non potest: non ergo motus aeternus est et sine principio.

44. Ex eodem libro.

Liquet primum esse motum localem. Primum enim ut de aliis rebus, ita etiam de motione multifariam dicitur. Dicitur enim prius id quo non exstante caetera non erunt, ipsum vero sine caeteris erit, tum etiam id quod tempore et id quod secundum substantiam prius est. Proinde primum necesse est esse localem motum. Nulla enim necessitas ut augeatur aut alteretur id quod loco movetur, vel etiam gignatur aut corrumpatur; harum autem motionum nulla esse potest sine continuo illo motu, quem primum movens efficit. Est etiam

κατὰ τόπον. *Maranus.*

3. ὥσπερ ἐφ' ἑτ.] Arist. ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων.

4. γε] Arist. τε.

5. χρόνῳ] Arist. τῷ χρόνῳ. Post τὸ κατ' οὐσίαν multa praetermissa sunt.

6. Ὅτι] Abest ab Arist..

7. Οὐδὲ γὰρ μία] Arist. Οὐδεμία γάρ.

8. ἐνδέχεται] Sic legendum existimavi cum Aristotele pro vulg. ἐνδέχεσθαι, quod originem duxit ab infinitivis praecedentibus.

9. πρώτη] Arist. πρώτην.

γὰρ ἀϊδίοις μόνον ἐνδέχεται κινεῖσθαι ταύτην. Ἀλλ' ἐφ' [10] ἑνὸς
μὲν τῶν ἐχόντων τὴν γένεσιν τὴν φορὰν [11] ὑστάτην ἀναγκαῖον
εἶναι τῶν κινήσεων· μετὰ γὰρ τὸ γενέσθαι πρῶτον αὔξησις καὶ
ἀλλοίωσις, φορὰ δὲ ἤδη [12] τελειουμένων κίνησίς ἐστιν. Ἀλλ' ἕτε- B
ρον ἀνάγκη κινούμενον εἶναι κατὰ φορὰν πρότερον, ὃ καὶ τῆς
γενέσεως αἴτιον ἔσται τοῖς γινομένοις, οὐ γινόμενον, οἷον τὸ γεν-
νῆσαν τοῦ γεννηθέντος, ἐπεὶ [13] δόξειεν ἂν ἡ γένεσις εἶναι πρώ-
τη τῶν κινήσεων διὰ τοῦτο, ὅτι γενέσθαι δεῖ τὸ πρᾶγμα πρῶτον.
Τὸ δ' ἐφ' ἑνὸς μὲν ὁτουοῦν τῶν γινομένων οὕτως ἔχει, ἀλλ'
ἕτερον ἀναγκαῖον πρότερόν τι κινεῖσθαι τῶν γινομένων, ὂν αὐ-
τὸ καὶ μὴ γινόμενον, καὶ τούτου ἕτερον πρότερον.

Εἰ τὸ αὐξανόμενον [14] τοῦτό ἐστι γενητόν, αὐξάνει δὲ ἡ φο- C
ρὰ τῷ ποσῷ τῆς κινήσεως, οὐκ ἀΐδιος ἡ φορά· τὸ γὰρ φερό-
μενον σῶμα ἔχει τόπους διαφόρους, ἐν οἷς κατατεῖνον τὴν μετά-
στασιν [15] τῶν ἑαυτοῦ μερῶν φερόμενον ποιεῖ τῆς κατὰ φορὰν
κινήσεως τὴν αὔξησιν. Εἰ ἐν ἑαυτῇ ἔχει ἡ φορὰ τῷ ποσῷ τῆς D
κινήσεως τὴν αὔξησιν, πῶς λέγεται ἡ φορὰ τῆς κατ' αὔξησιν κι-
νήσεως εἶναι πρώτη; Εἰ ἀδύνατόν ἐστι τὸ μὴ ἠργμένον καὶ πε-
περασμένον δέξασθαι τῇ προσθήκῃ τὴν αὔξησιν, οὐκ ἄρα ἄναρ-
χος ἡ φορά, τῷ ποσῷ τῆς κινήσεως [16] ἀεὶ μείζων γινομένη. Εἰ
ἡ φορὰ ἐν τῷ γίνεσθαι καὶ ἀπογίνεσθαι τὸ εἶναι ἔχει, οὐκ ἄρα E
ἀΐδιος ἡ φορά, ἧς ἀεὶ προηγεῖται τοῦ εἶναι τὸ μὴ εἶναι· πᾶσα
γὰρ κίνησις κατὰ μεταβολὴν γίνεται τοῦ μήπω ὄντος, ἀλλὰ μέλ-
λοντος. Εἰ πᾶσα φορὰ τῷ παρελθόντι πεπερασμένον ἐστί, τὸ δὲ
πεπερασμένον πᾶν ἐξ ἀνάγκης καὶ ἠργμένον, τὸ δὲ ἠργμένον πᾶν
γενητόν, γενητὴ ἄρα ἡ φορά. [17] Καὶ εἰ ἡ φορὰ τοῦ φερομένου 142

10. ἑνὸς μὲν] Hanc lectionem codd. msti et Stephan. habent, eamque facile ferimus. Caeteri vero editores praeeunte Sylburgio receperunt ἑνὸς μὲν ὁτουοῦν. Mox Arist. articulum τὴν ante γένεσιν non collocavit.

11. ὑστάτην ἀναγκαῖον] Arist. inverso ordine ἀν. ὑστ., et rursus in iis quae sequuntur ἀλλοίωσις κ. αὔξησις.

12. τελειουμένων] Arist. τετελειωμένων.

13. δόξειεν] Arist. δόξειέ γ'.

14. τοῦτο] Cf. c. 38. not. 3..

15. τῶν ἑαυτοῦ μερῶν] Sic scribendum est pro vulg. τῶν αὐτοῦ μετρῶν, ut (Maran.) ex cap. 52· luculenter patet. — Mox Maranus τῆς omisit contra codices.

primus tempore localis motus; iis enim solis quae aeterna sunt inesse potest. At in unoquoque eorum quae habent generationem motum localem necesse est ultimam esse motionum; nam post generationem primum occurrit incrementum et alteratio, localis autem motus eorum est quae jam perfecta sunt. Sed aliud necesse est prius moveri locali motu, quod quidem causa sit generationis iis quae gignuntur, ut genitor genito, quippe quum videatur generatio prima esse motionum propterea, quod oportet ut res primum generetur. Atque id in unoquoque eorum quae generantur ita se habet, sed necesse est aliud quiddam ante ea quae generantur moveri, quod quidem ipsum sit nec tamen generetur, atque isto aliud prius.

Si id quod crescit genitum est, crescit autem localis motus quantitate: non est aeterna haec motio; habet enim corpus, quod fertur, varia loca, in quibus intendens translationem partium suarum efficit, dum fertur, motus localis incrementum. Si igitur habet in seipso motus localis incrementum quantitate motionis: quomodo prior esse dicitur ea motione, quae secundum incrementum fit? Si id quod inchoatum et finitum non est accipere nequit accessione incrementum: non ergo sine principio motus localis, qui semper quantitate major fit. Si motus localis in ortu et interitu consistit, non ergo aeternus est, cujus exsistentiam semper praecedit non exsistentia; omnis enim motio per mutationem fit ejus quod nondum est, sed futurum est. Si quilibet motus localis praeterito finitus est, quidquid autem finitum necessario et inchoatum est, genitum autem quidquid inchoatum: genitus ergo motus localis. Et si localis motus non est prior corpore quod transfertur:

16. *ἀεὶ μείζ. γιν.*] Sic conjecit Maranus legendum esse: et recte quidem; nam codicum lectio: ... *κινήσεως· ἀεὶ μείζων οὖν ἦν γινομένη* — nullo potest modo tolerari. Idcirco expunxi verba vitiosa. Caeterum jam Langus interpretatus est: *minime sine ortu delatio fuerit, quae semper pro motus quantitate major quam antea fuerit fiat.*

17. *Καὶ ... προτέρα*] Ut infra addendum: *οὔτε τὸ φερόμενον πρότερον τῆς κινήσεως (nec corpus,*

σώματος οὐκ ἔστι προτέρα, γενητὸν ἄρα καὶ τὸ φερόμενον. Εἰ ἐν τοῖς ἀϊδίοις τὸ μὲν μόνον κινεῖ, τὸ δὲ μόνον κινεῖται ἀϊδίως τὴν κατὰ φορὰν κίνησιν, πῶς οὐκ ἔστι τῶν ἀδυνάτων [18] τὸ ἄναρχον ἠργμένην κινεῖσθαι κίνησιν; Εἰ τὸ οὗ ἄνευ τῶν ἄλλων οὐδέν ἐστι τοῦτο οὐσίᾳ τε καὶ χρόνῳ τῶν ἄλλων πρῶτόν ἐστι, πῶς [19] οὖν ἐστιν ἀγένητον; Ἐτέθη γὰρ τὸ πρῶτον κινοῦν πάντων πρῶτον εἶναι καὶ ἀγένητον, ἔτι δὲ ὁ οὐρανὸς καὶ τὰ ἐν B τῷ οὐρανῷ φαινόμενά τε καὶ κινούμενα εἶναι ἀγένητα πάντα· ὅπερ ἐστὶν ἄτοπον, τὸ λέγειν ἀγένητόν τι εἶναι πρό τινος ἀϊδίου ἐν τοῖς ἀϊδίοις. Εἰ τὸ πρῶτον κινοῦν τὴν συνεχομένην [20] κίνησιν, κινεῖ δὲ οὔτε τὴν κατὰ φύσιν οὔτε τὴν παρὰ φύσιν, ἐκείνην μὲν ὡς περιττήν, [21] καθὼς ἐῤῥέθη, ταύτην δὲ ὡς δευτέραν οὖσαν τῆς κατὰ φύσιν κινήσεως, οὐκ ἄρα κινεῖ τὴν συνεχῆ κίνησιν οὐδέν. Εἰ τῶν ἀϊδίων κινουμένων οὔτε ἡ κίνησις προ- C τέρα τῶν κινουμένων, οὔτε τὰ κινούμενα πρότερα τῆς κινήσεως, ἔστι δὲ ἡ κίνησις πᾶσα κατὰ μεταβολὴν τοῦ μήπω ὄντος ἀλλὰ μέλλοντος, ἔσται ἄρα τὰ κινούμενα πάντα ἐκ μεταβολῆς τοῦ μήπω ὄντος, ἀλλὰ μέλλοντος, τὸ εἶναι ἔχοντα. Εἰ ἐφ' ἑνὸς τῶν γινομένων ἡ φορὰ ὑστάτη τῶν κινήσεων, ἀλλ' ἀνάγκη ἕτερον κινούμενον κατὰ φορὰν εἶναι πρότερον, ὃ καὶ τῆς γενέσεως αἴτιον ἀγένητον ὄν, πῶς ἐνδέχεται τὸ αὐτὸ τῆς κατὰ φύσιν γενέσεως D αἴτιον εἶναι, καὶ τῆς ὑπὲρ τὴν φύσιν γενέσεως; Ὁ γὰρ πρώτως [22] γεννήσας οὐκ ἐγεννήθη. Καίτοι τὸ πρότερον κινούμενον οὕτως ἐκινεῖτο ἐπὶ τῆς γενέσεως τοῦ πρώτως γινομένου, ὡς ὕστερον ἐκινήθη ἐπὶ τῆς γενέσεως τῶν ἐξ ἐκείνου. Ἢ ἄρα οὐκ ἔστιν αἴτιον τῆς πάσης γενέσεως τὸ οὕτω κινούμενον ἀγενήτως, ἢ οὐ κινεῖ τὸ πρῶτον κινοῦν τὴν συνεχῆ κίνησιν, διαφορᾶς E γενέσεως ἐν τοῖς γινομένοις θεωρουμένης, καθ' ἣν τὰ μὲν ὑπὲρ τὴν φύσιν γέγονε, τὰ δὲ κατὰ φύσιν. Εἰ ἔστιν ἀγένητον τὸ

quod transfertur, motu locali prius est). *Maranus.*

18. τὸ ἄναρχον] Vulgo τὸ τὸν ἄναρχον. Pro ἠργμένην Reg. 2. in marg. ἠργμένον.]

19. οὖν] Codd. msti et editi οὐκ. Male. „Nam," ut verbis Marani utar, „conceptis verbis ingenitum esse illud primum movens declarat Aristoteles, quam ob causam refellitur a Pseudo-Justino."

genitum ergo etiam corpus quod transfertur. Si in iis quae aeterna sunt aliud quidem tantummodo movet, aliud autem tantummodo movetur perpetuo motu locali: quomodo non repugnat ut quod principio caret inchoato moveatur motu? Si id, sine quo nihil est ex aliis, et substantia et tempore prius est aliis: quomodo igitur est ingenitum? Statutum enim est primum movens omnium primum esse et ingenitum, adhuc etiam coelum et quae in coelo apparent et moventur esse ingenita omnia: quod quidem absurdum est, scilicet dicere in rebus aeternis esse aliquid ingenitum alio aeterno prius. Si primum movens continuum motum efficit, neque tamen eum motum efficit qui secundum naturam est neque eum qui praeter naturam, illum quidem ut supervacaneum, ut dictum est, hunc autem ut posteriorem naturali motu: nihil est ergo quod motum continuum efficiat. Si in iis quae ab aeterno moventur neque motus prior est iis quae moventur, neque ea quae moventur motu priora sunt, est autem quaelibet motio per mutationem ejus quod nondum est sed futurum est: quaecunque ergo moventur ea ex mutatione ejus quod nondum est, sed futurum est, habebunt ut sint. Si in unoquoque eorum quae generantur localis motus ultima quidem est motionum, sed necesse est aliud prius esse quod motu locali moveatur, et quum ingenitum causa sit generationis: quomodo potest idem et illius generationis causa esse, quae secundum naturam est, et illius, quae praeter naturam? Nam qui primus generavit generatus non est. Illud tamen, quod primum movetur, eodem modo movebatur in generatione ejus qui primus factus est, ac postea in generatione eorum quae ex ipso genita sunt. Vel ergo causa non est omnis generationis quod sic movetur ingenite, vel primum movens non omnem efficit motum, quum diversa generatio in iis quae generantur appareat, ita ut alia supra naturam facta sint, alia secundum naturam. Si in-

20. κίνησιν] Fortasse κινεῖ addendum.

21. καθὼς ἐῤῥέθη] Cf. c. 43..

22. γεννήσας οὐκ ἐγεννήθη] Stephan. γενήσας οὐκ ἐγενήθη exhibuit.

πρότερον καὶ ὕστερον, ἔσται ἄρα ὅτε τὸ ἀγένητον [23] οὐκ ἀγένητον· ὅπερ ἐστὶν ἄτοπον, τὸ ποτὲ μὴ εἶναι τὸ ἀγένητον.

45. Ἐκ τοῦ αὐτοῦ λόγου. 143

[1] Ἐν δὲ τῷ συνεχεῖ ἔνεστι μὲν ἄπειρα [2] ἡμίσεα, ἀλλ' οὐκ ἐντελεχείᾳ ἀλλὰ δυνάμει.

Εἰ ἐντελεχείᾳ μὲν οὐδὲν ἄπειρον, δῆλον ὅτι οὐδὲ ἡ κίνησις οὐδὲ ὁ χρόνος ἐστὶν ἄπειρος. Κινήσεώς τε καὶ χρόνου τῷ παρελθόντι πεπερασμένων ὄντων, ἐξ ἀνάγκης εἰσὶν ἠργμένοι· ἠργμένων δὲ αὐτῶν, ἐξ ἀνάγκης εἰσὶ καὶ γενητοί· εἰ δὲ ἡ κίνησις καὶ ὁ χρό- B
νος εἰσὶ γενητοί, ἐξ ἀνάγκης ἄρα καὶ τὸ κινούμενον σῶμα, τὸ ἀεὶ ἐν τῷ κινεῖσθαι τὸ εἶναι ἔχον· εἰ δὲ καὶ ἀεὶ τὸν ληφθέντα χρόνον τούτου τὰ ἡμίσεα ἐνδέχεται ληφθῆναι ἐκ τοῦ μέλλοντος καὶ προστεθῆναι τῷ παρελθόντι, ἀλλ' οὐδ' οὕτως ἐνδέχεται τὸν χρόνον τῷ παρελθόντι ἄπειρον εἶναι ἐντελεχείᾳ ποτέ.

46. Ἀριστοτέλους ἐκ τοῦ περὶ Οὐρανοῦ πρώτου λόγου.

*) Ἀναγκαῖον εἶναί τι σῶμα ἁπλοῦν, ὃ πέφυκε φέρεσθαι τὴν C
κύκλῳ κίνησιν κατὰ τὴν ἑαυτοῦ φύσιν.

Τίς οὖν χρεία τοῦ πρώτως κινοῦντος κινεῖν τοιοῦτον σῶμα, τὸ κατὰ τὴν ἑαυτοῦ φύσιν τὴν κύκλῳ κινούμενον κίνησιν;

47. Ἐκ τοῦ αὐτοῦ λόγου.

[1] Φανερὸν ὅτι πέφυκέ τις οὐσία σώματος, ἄλλη παρὰ τὰς D
ἐνταῦθα [2] συσταθείσας, θειοτέρα καὶ προτέρα τούτων ἁπάντων.

Εἰ τοῦτο τὸ σῶμα ἀϊδίως καὶ ἀνάρχως περὶ τὴν γῆν τὴν ἐνταῦθα οὖσαν οὐσίαν κινεῖται, πῶς δύναται τῆς γῆς εἶναι πρότερον, ἧς χωρὶς οὐκ ἂν ἐκινεῖτο τὴν κύκλῳ κίνησιν; Καὶ εἰ τὸ ἀΐδιον καὶ τὸ ἀγένητον καὶ τὸ χρήσιμον πρὸς σύστασιν τῶν ἐνταῦθα γινομένων, ὡς πρόσεστι τῷ τοιούτῳ σώματι, οὕτως πρόσ- E
εστι τῇ γῇ, διὰ τί τὸ σῶμα ἐκεῖνο τιμιώτερον καὶ πρότερον τῆς γῆς;

23. οὐκ ἀγένητον] Multo aptius Marano videtur οὐκ ἐγένετο: *non erat.*

1. Ἐν ... δυνάμει] Lib. VIII. c. 8. p. 263..

2. ἡμίσεα] Arist. ἡμίση.

*) Ἀναγκαῖον ... φύσιν] De Coelo lib. I. c. 2. p. 269.. — Cf. Gass. l. c. p. 131..

genitum est prius et posterius: erit ergo aliquando ingenitum non ingenitum; quod quidem absurdum est, videlicet aliquando non esse ingenitum.

45. Ex eodem libro.

In continuo infinita insunt dimidia, non tamen actu sed potentia.

Si actu nihil infinitum est, liquet nec motum nec tempus infinita esse. Motus autem et tempus quum praeterito finita sint, necessario inchoata sunt; inchoata autem quum sint, necessario etiam genita; quodsi motus et tempus genita, necessario sane etiam corpus quod movetur, quod semper in eo quod moveatur esse habet; quodsi semper assumti temporis dimidia licet sumere ex futuro et addere praeterito, tamen ne hoc quidem modo fieri potest ut tempus praeterita sui parte sit actu infinitum unquam.

46. Aristotelis ex primo de Coelo libro.

Necesse est esse aliquod corpus simplex, ita comparatum ut sua ipsius natura feratur motu circulari.

Quid igitur opus est primo movente ut ejusmodi corpus moveat, quod sua ipsius natura fertur motu circulari?

47. Ex eodem libro.

Liquet esse aliquam corporis substantiam, diversam ab iis quae hîc constitutae sunt, diviniorem et priorem his omnibus.

Si hoc corpus ab aeterno et sine principio circa terram, quae substantia est hîc constituta, movetur: quomodo terra prius esse potest, sine qua moveretur motu circulari? Et si id quod aeternum et sine principio est et utile ad constitutionem eorum quae hîc fiunt, ut ejusmodi corpori, ita etiam terrae adest: cur corpus illud praestantius sit et prius quam terra?

1. Φανερὸν . . . ἁπάντων] Lib. I. c. 2. p. 269..

2. συσταθείσας] Arist. συστάσεις rectius.

48. Ἐκ τοῦ αὐτοῦ λόγου.

[1] Τὸ δὲ κύκλῳ σῶμα φερόμενον ἀδύνατον ἔχειν βάρος ἢ κουφότητα.

Εἰ τὸ μὴ ἔχον βάρος καὶ κουφότητα οὐ δυνατὸν εἶναι ἁ- 144
πτόν (ἐν γὰρ τοῖς ἔχουσι βάρος καὶ κουφότητά ἐστι τὸ ἁπτόν), πῶς τὸ ἐκείνων ἄνευ μὴ δυνάμενον εἶναι ἔχει, ἐκεῖνα δὲ οὐκ ἔχει; Πῶς δὲ τῇ [2] αὐτοῦ κινήσει θερμαντικήν τινα δύναμιν ἀέρος ἀποτελεῖ, καθάπερ τὰ ἐνταῦθα σώματα τὰ ἔχοντα βαρύτητα καὶ κουφότητα, τὰ ταῖς ἑαυτῶν κινήσεσι θερμαντικὰς ἐκτελοῦντα ἐνεργείας;

49. Ἐκ τοῦ αὐτοῦ λόγου. B

[1] Αἱ δὲ τῆς φορᾶς ἐναντιώσεις κατὰ τὰς τῶν τόπων εἰσὶν ἐναντιώσεις· εἰ μὲν γὰρ ἴσαι ἦσαν, οὐκ ἂν ἦν κίνησις αὐτῶν, [2] εἰ δὲ ἡ ἑτέρα κίνησις [3] ἐπεκράτει, ἡ ἑτέρα οὐκ ἂν ἦν. Ὥστ' εἰ [4] ἀμφότερα ἦν, μάτην ἂν [5] ἦν θάτερον σῶμα μὴ κινούμενον τὴν αὐτοῦ κίνησιν· μάτην γὰρ [6] ὑπόδημα τοῦτο λέγομεν, οὗ μή ἐστιν ὑπόδεσις. Ὁ δὲ θεὸς καὶ ἡ φύσις οὐδὲν μάτην ποιοῦσιν.

Εἰ ἦσαν ἐν φορᾷ σωμάτων κινήσεις ἐναντίαι, ἢ ἴσαι κατὰ C
τὴν ἀντιπερίστασιν κωλύουσαι τὰς ἀλλήλων κινήσεις, εἴτε ἄνισοι, καὶ διὰ τὴν ἐπικράτειαν τοῦ θατέρου τὸ ἕτερον ἀκίνητον ἐγίνετο, τῇ βίᾳ τοῦ ἐπικρατοῦντος [7] τὸ κρατούμενον, τὴν αὐτοῦ κατὰ φύσιν μὴ ἀνύον κίνησιν, μάτην ἂν ἐγένετο τὰ οὕτως πρὸς τὰς οἰκείας τε καὶ κατὰ φύσιν κινήσεις ἐμπεποδισμένα, καὶ θεοῦ οὐκ ἂν ἦν ἔργα ταῦτα οὔτε φύσεως δηλονότι. Εἰ τῶν μάτην D
γινομένων ὁ θεὸς τούτων ποιητὴς οὐκ ἦν οὔτε ἡ φύσις, τῶν οὐ μάτην ἄρα γινομένων, ἀλλ' ἀνεμποδίστως τὰς κατὰ φύσιν αὐτῶν κινήσεις ἐκτελούντων, ὁ θεὸς τούτων ἐστὶ ποιητὴς καὶ ἡ φύσις. Πῶς οὖν οὐκ ἔστι τῶν ἀτοπωτάτων τὸ ἀγένητα λέγειν ἀΐδιά τε καὶ ἄναρχα ταῦτα, ὧν ὁ θεὸς καὶ ἡ φύσις ἐστὶ ποιη-

1. Τὸ ... κουφότητα] Lib. I. c. 3. p. 269.. — Habet Arist. δὴ pro δέ.

2. αὐτοῦ] Conjeceris ἑαυτοῦ. Sed ferri potest vulgaris scriptura.

1. Αἱ... ποιοῦσιν] Lib. I. c. 4. p. 271..

2. εἰ] Stephan. ἡ mendose.

3. ἐπεκράτει] Arist. ἐκράτει.

4. ἀμφότερα] Ita Aristoteles.

48. Ex eodem libro.

Fieri non potest ut corpus, quod in orbem movetur, gravitatem habeat aut levitatem.

Si id quod non habet gravitatem et levitatem tractabile non est (nam in iis quae gravitatem et levitatem habent tractabile est): quomodo id habet quod absque illis esse non potest, illa autem non habet? Quomodo etiam motu suo vim quandam calefactoriam aëris efficit, non secus ac corpora terrena pondus et levitatem habentia, quae suis ipsorum motibus calefactorias efficiunt operationes?

49. Ex eodem libro.

Delationis contrarietates secundum locorum fiunt contrarietates; nam si pares essent, non esset earum motus, sin altera motio praevaleret, non esset altera. Quare si utraque esset, frustra esset alterum corpus, quod suo ipsius motu non moveretur; frustra enim calceum eum dicimus, qui ligulam non habet. Deus autem et natura nihil frustra faciunt.

Si essent in motu locali corporum motiones contrariae, vel pares ita ut per mutuam oppositionem suos invicem impedirent motus, vel impares ita ut ob dominatum alterius alterum immobile esset, violentia dominantis victum, suum naturalem non peragens cursum: frustra facta essent quae sic ad suos et naturales motus impedita essent, neque haec Dei profecto opera essent neque naturae. Si eorum quae frustra fiunt Deus conditor non est nec natura: eorum ergo quae frustra non fiunt, sed sine impedimento naturales suos cursus peragunt, Deus conditor est et natura. Quomodo igitur non absurdissimum est ea ingenita dicere et aeterna et sine principio, quorum Deus et natura est conditor? Et si calceamenta

Codd. msti et Maranus ἀμφότερος, caeteri ἀμφότερον.

5. ἦν θάτ.] Arist. inverso ordine θάτ. ἦν.

6. ὑπόδημα] Sylburgius ὑπόδεμα vitiose. — Statim Maranus τοῦτο λέγομεν ex Arist. recte dedit pro lectione recepta τοῦ λεγομένου.

7. τὸ κρατούμενον] Fortasse ἐπικρατούμενον.

τῆς; Καὶ εἰ ὑποδήματα ἔργα τεχνίτου ἐκεῖνα λέγομεν τὰ ἔχοντα E
ὑπόδεσιν, διὰ τί μὴ καὶ τὰ σώματα τὰ κατὰ φύσιν τὰς οἰκείας
ἐκτελοῦντα κινήσεις λέγομεν νοήματα θεοῦ τε καὶ φύσεως;

50. Ἐκ τοῦ αὐτοῦ λόγου.

[1] Τὸ μὲν οὖν ἕτερον εἶναι τὸν λόγον τὸν ἄνευ τῆς ὕλης καὶ
τὸν ἐν τῇ ὕλῃ τῆς μορφῆς [2] καλῶς λέγεται, καὶ ἔστω τοῦτο ἀλη-
θές. Ἀλλ' οὐδὲν ἧττον οὐδεμία ἀνάγκη διὰ τοῦτο πλείους εἶναι 145
κόσμους, οὐδ' ἐνδέχεται [3] πλείους γενέσθαι, [4] ἐπείπερ οὗτος ἐκ
πάσης ἐστὶ τῆς ὕλης, ὥσπερ ἔστιν.

Εἰ τὸ ἀΰλως καὶ ἐνύλως ἐστὶ τοῦ λόγου πρὸς τὸν λόγον
ἡ διαφορά, δῆλον ὅτι ὕστερον τοῦ λόγου τοῦ ἀΰλου ὁ λόγος ὁ
ἔνυλος. Πῶς οὖν ἀγένητος ὁ κόσμος ἐκ τοῦ ὑστέρου λόγου τὴν
σύστασιν ἐσχηκώς; Εἰ ἀνείδεος καὶ ἀνούσιος καὶ τοῦ εἶναι τόδε
τι ἐστερημένη ἡ ὕλη πρὸ τοῦ λαβεῖν τὸ εἶδος καὶ γενέσθαι οὐσία B
καὶ τόδε τι, πῶς ἀγένητος ὁ κόσμος ἐκ τῆς τοιαύτης ὕλης γε-
γονώς; Εἰ ὁ ἐσχηκὼς [5] τὸν λόγον τοῦ ἑνὸς κόσμου οὗτος καὶ
πλειόνων κόσμων εἶχε τοὺς λόγους, καὶ μὴ τῷ ἀρεσκομένῳ τοῦ
κόσμου ἐποίει τὴν ποίησιν κατὰ τὴν οἰκείαν βούλησιν, ἀλλὰ τῇ
εὐπορίᾳ τῆς ὕλης ἴσχυσε ποιεῖν κόσμον ἕνα καὶ τῇ ἀπορίᾳ αὐ-
τῆς οὐκ ἴσχυσε ποιεῖν πλείονας κόσμους, πῶς οὐ δοκεῖ μάτην
ἐσχηκέναι πλειόνων κόσμων τοὺς λόγους, ὧν τὴν ποίησιν οὐκ
ἴσχυσε διὰ τὴν ἀπορίαν τῆς ὕλης; Εἰ ἐξ ἀγενήτου ἀδύνατον γε- C
νέσθαι ἀγένητον, πῶς, εἰ ἀγένητος μὲν ἡ ὕλη, ἀγένητος δὲ καὶ
ὁ κόσμος, γίνεται οὗτος ἐξ ἐκείνης; Εἰ μή, ὡς ἐποίησεν ὁ θεὸς
τὰ ἐκ τῆς ὕλης, οὕτως καὶ τὴν ὕλην ἐποίησεν, οὐκ ἄρα ποιεῖ
ὁ θεὸς ὅσα βούλεται, ἀλλ' ὅσα ἰσχύει. Εἰ δὲ ἴσην τῇ βουλή-
σει ἔχει τὴν ἰσχὺν ἐν πᾶσι, ποιητὴς ἄρα τῆς ὕλης ὁ θεός, ὥσπερ
καὶ τῶν ἐκ τῆς ὕλης. Εἰ ἡ ὕλη ὑποκειμένη θεῷ εἰς ποίησιν D
τῶν ἐξ αὐτῆς, [6] ἀνείδεος οὖσα καὶ ἀνούσιος, ἄποιός τε καὶ ἄπο-
σος, ὑπὸ τῆς τοῦ θεοῦ δυνάμεως μετεβλήθη εἰς ταῦτα πάντα
καὶ γέγονεν οὐσία πεποιωμένη καὶ πεποσωμένη, πῶς οὐκ ηὐξή-

1. Τὸ ... ἔστιν] Lib. I. c. 9. p. 278..
2. καλῶς λέγ.] Sylburg., Morell., Maran. καλῶς τε λέγ. ex Arist. dederunt.
3. πλ. γεν] Arist. γεν. πλ. inverso ordine.
4. ἐπείπερ] Arist. εἴπερ. —

dicimus illa artificis opera quae habent ligulam: cur non etiam corpora illa, quae secundum naturam proprios perficiunt cursus, dicimus Dei inventa et naturae?

50. Ex eodem libro.

Igitur aliam esse sine materia et aliam in materia rationem formae recte dicitur, et sit hoc verum. At nihilominus nulla idcirco necessitas plures esse mundos, nec plures esse possunt, siquidem iste ex tota est materia, sicut est.

Si immateriali et materiali continetur rationis a ratione discrimen, liquet posterius esse immateriali materialem rationem. Quomodo ergo ingenitus mundus, qui ex posteriori ratione constitutionem habet? Si sine forma et substantia est neque id habet materia ut certum quid sit, antequam formam suscipiat fiatque substantia et certum quid: quomodo ingenitus mundus, qui ex ejusmodi materia factus est? Si qui habuit unius mundi rationem is etiam plurium mundorum habuit rationes, nec tamen mundum, quia ei placebat, ad arbitrium suum condidit, sed suppetente materia potuit condere unum mundum, deficiente autem plures mundos condere non potuit: quomodo non videtur frustra habuisse plurium mundorum rationes, quos condere non potuit ob materiae penuriam? Si ex ingenito ingenitum fieri non potest: quomodo, si ingenita materia, ingenitus vero etiam mundus, hic ex illa fit? Si non fecit Deus, ut ea quae sunt ex materia, ita etiam materiam: non ergo facit Deus quaecunque vult, sed quaecunque potest. Sed si parem habet voluntati potestatem in omnibus: conditor ergo materiae Deus, quemadmodum et eorum quae ex materia facta sunt. Si materia subjecta Deo ad effectionem eorum quae ex illa facta sunt, quum esset sine forma et substantia, sine qualitate et quantitate, Dei potestate mutata est in haec omnia atque substantia qualitatem et quantitatem habens facta

Mox editt. ante Maran. οὕτως pro οὗτος exhibuerunt. — Tum ille habet ἐξ ἁπάσης.

5. τ. λόγου] H. e. ideam. Sic et deinceps.

6. ἀνείδεος] Stephan. ἀνειδίος.

θη ὑπὸ τῆς αὐτῆς τοῦ θεοῦ δυνάμεως τὰς τοσαύτας ἐν αὐτῇ
ἐργασαμένης μεταβολὰς εἰς τοσοῦτον, ὥστε καὶ πλείονας κόσμους
γενέσθαι ἐξ αὐτῆς, ἀλλ' εἰς γένεσιν ἑνὸς κόσμου ἀναλωθεῖσα E
ἄκοντα τὸν θεὸν ἔπαυσε τοῦ ποιεῖν πλείονας κόσμους;

51. Ἐκ τοῦ αὐτοῦ λόγου.

[1]Ὁ δὲ οὐρανὸς ἔστι μὲν τῶν καθ' ἕκαστα καὶ τῶν ἐκ τῆς
ὕλης· ἀλλ' εἰ μὴ ἐκ μορίου αὐτῆς συνέστηκεν ἀλλ' ἐξ ἁπάσης,
τὸ μὲν εἶναι αὐτῷ οὐρανῷ καὶ τῷδε τῷ οὐρανῷ ἕτερόν ἐστιν, 146
οὐ μέντοι [2]οὔτε εἴη ἂν ἄλλος οὔτ' ἂν ἐνδέχοιτο γενέσθαι πλεί-
ους διὰ τὸ πᾶσαν τὴν ὕλην περιειληφέναι τοῦτον.

Εἰ ἔστιν ὁ οὐρανὸς τῶν καθ' ἕκαστα καὶ τῶν τῆς ὕλης
καὶ [3]λόγου συγκειμένων, ὥστε τὸ μὲν εἶναι οὐρανῷ, τῷ ἀΰλῳ
δὲ λόγῳ εἶναι ἕτερον, πῶς οὐκ ἔστι γενητὸς ἀρχὴν ἔχων τῆς
οἰκείας οὐσίας, τὴν σύνθεσιν ὕλης τε καὶ λόγου ἐξ ὧν ἔστιν;
Εἰ ἡ ὕλη καθ' ἑαυτὴν οὔτε βαρύτητα ἔχει οὔτε κουφότητα (ἔστι B
γὰρ ταῦτα τῶν ἐξ αὐτῆς γινομένων σωμάτων πάθη), εἰ ἐκ πά-
σης τῆς τοιαύτης ὕλης γέγονεν ὁ οὐρανὸς ὁ μήτε βαρύτητα ἔχων
μήτε κουφότητα, πόθεν γέγονε τὰ ἄλλα πάντα, τῆς ὕλης ἀνα-
λωθείσης πάσης εἰς τὴν τοῦ οὐρανοῦ ποίησιν; Εἰ πρὸ τοῦ εἰ-
δοποιηθῆναι τὴν ὕλην τῷ εἴδει τοῦ οὐρανοῦ οὕτως οὐκ εἶχε
βαρύτητα καὶ κουφότητα, ὡς νῦν οὐκ ἔχει μετὰ τὸ εἰδοποιη-
θῆναι αὐτήν, πῶς οὐκ ἐκινεῖτο πρὸ τῆς εἰδοποιήσεως, ὡς νῦν C
κινεῖται μετὰ τὴν εἰδοποίησιν; Εἰ τὸ κινεῖσθαι οὐσίας ἐστί, καὶ
τὸ μὴ ἔχειν βαρύτητα καὶ κουφότητα ὕλης ἐστὶ καὶ οὐκ οὐσίας,
κινεῖται δὲ ὁ οὐρανὸς τὴν κύκλῳ κίνησιν διὰ τὸ μὴ ἔχειν βαρύ-
τητα καὶ κουφότητα, δῆλον ὅτι διὰ τὴν ὕλην τὸ κινεῖσθαι οὕ-
τως ἔχει ὁ οὐρανὸς καὶ οὐ διὰ τὸ εἶδος. Πῶς οὖν ἀκίνητος ἡ
ὕλη πρὸ τοῦ εἴδους κατὰ τὴν κύκλῳ κίνησιν, οὔτε βαρύτητα
ἔχουσα οὔτε κουφότητα;

52. Ἐκ τοῦ δευτέρου λόγου περὶ Οὐρανοῦ. D

[1]Ἕκαστόν ἐστιν, ὧν ἐστὶν ἔργον, ἕνεκα τοῦ ἔργου. Θεου

1. Ὁ...τοῦτον] Lib. I. c. 9. p. 278. — Cf. Gass. l. c. p. 132. 2. οὔτε ε. ἂν ἄ.] Arist. οὔτ' ἂν εἴη ἄλλος.

est: quomodo non eadem Dei potestate, quae tot ac tantas in illa mutationes effecit, ita adaucta est, ut etiam plures ex illa mundi fierent, sed in effectionem unius mundi consumta Deum invitum coërcuit quominus plures crearet mundos?

51. Ex eodem libro.

Coelum ex iis quidem est quae singularia sunt et ex iis quae ex materia facta sunt; sed si non ex parte illius factum est sed ex tota, alia quidem ipsi coelo et alia huic coelo essentia, attamen neque aliud est coelum neque plures esse possunt, quia universam istud materiam complexum est.

Si coelum est ex iis quae singularia sunt et ex iis quae ex materia et forma constant, ita ut alia sit ipsi coelo, alia immateriali formae essentia: quomodo non genitum est coelum principium substantiae suae habens, conjunctionem materiae et formae ex quibus constat? Si materia per seipsam nec gravitatem habet nec levitatem (haec enim sunt eorum, quae ex illa fiunt, corporum affectiones), si ex universa ejusmodi materia factum est coelum, quod nec gravitatem habet nec levitatem: unde facta sunt caetera omnia, quum universa in coeli effectionem consumta fuerit materia? Si ante, quam formaretur materia hac coeli forma, nec gravitatem habuit nec levitatem, quemadmodum nunc non habet post formam ab ea susceptam: quomodo non movebatur ante susceptam formam, quemadmodum nunc movetur post susceptam formam? Si moveri substantiae est, gravitatem autem et levitatem non habere materiae est neque substantiae, movetur autem coelum motu circulari, quod non habet gravitatem et levitatem: liquet coelum ita moveri propter materiam ac non propter formam. Quomodo ergo materia ante formam, quum nec gravitatem habeat nec levitatem, minime mobilis est motu circulari?

52. Ex secundo libro de Coelo.

Unumquodque eorum, quorum est aliquod opus, pro-

3. λόγου] Vid. c. 50. not. 5.. 3. p. 286..
1. Ἕκαστόν ... ἀεί] Lib. II. c.

δ' ἐνέργεια ἀθανασία· τοῦτο δ' ἐστὶ ζωὴ ἀΐδιος. Ὥστε ἀνάγκη [2] τῷ θεῷ κίνησιν ἀΐδιον ὑπάρχειν. Ἐπεὶ δὲ [3] ὁ οὐρανὸς τοιοῦτον (σῶμα γάρ τι θεῖον), διὰ τοῦτο ἔχει [4] ἐγκύκλιον σῶμα, ὃ φύσει κινεῖται ἀεί.

Εἰ τοῦ μὲν ἀγενήτου καὶ ἀϊδίου οὐδέν ἐστι τοῦ εἶναι αἴτιον, E
ὧν δ' ἐστὶν ἔργον, [5] ταῦτα ἕνεκεν τοῦ ἔργου ἐστίν, οὐκ ἄρα ἀΐδια ὧν τὰ ἔργα τοῦ εἶναί ἐστιν αἴτια. Εἰ ἀψύχων ἐστὶ τὸ τῇ παρουσίᾳ μόνον ἐνεργεῖν τὰς κατὰ φύσιν ἐνεργείας, λογικῶν δὲ τὸ τῇ βουλήσει, πῶς ἐστὶ θεὸς ὁ οὐρανός, ὁ μὴ βουλήσει τὴν ἀθανασίαν ἐνεργῶν, ἀλλὰ τῇ κινήσει τε καὶ τῇ μεταστάσει τῶν
ἑαυτοῦ μερῶν; Εἰ τὸ ἀγένητον οὔτε πρὸς τὸ εἶναι οὔτε πρὸς τὸ 147
ποιεῖν χρήζει τινὸς ἤ τινων τῶν ἔξωθεν τῆς συνεργείας, πῶς ὁ οὐρανός, καὶ πρὸς τὸ εἶναι αὐτὸν κινητὸν χρήζων τῆς γῆς, περὶ ἣν κινεῖται, καὶ πρὸς τὸ ποιεῖν τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν λοιπῶν ἄστρων, ἐστὶν ἀγένητος; Εἰ τοῦ ἀγενήτου οὐκ ἔστι λόγος
ἐν τῷ ποιοῦντι, πῶς, εἰ ἀγένητος ὁ οὐρανός, ἔχει λόγον ἄϋλον ἐν B
τῷ ποιοῦντι καὶ λόγον ἔνυλον ἐν τῇ ὕλῃ, δι' ὃν ἕτερον τὸ οὐρανῷ εἶναι τῷ τόδε οὐρανὸν εἶναι; Εἰ οὐ δύναται ὁ οὐρανὸς ποιῆσαι τῇ βουλήσει ἃ ποιεῖ τῇ κινήσει, πῶς θεὸς οὗτος ἀΐδιος, ἀΐδιον ἐνεργῶν ζωὴν ἀβουλήτως; Εἰ ἐν τοῖς ἀϊδίοις οὐκ ἐνεργεῖ ὁ οὐρανὸς τὴν αἰώνιον ζωήν (ἔχουσι γὰρ ταύτην ἐκ τῆς οἰκείας φύσεως), τὰ γενητὰ δὲ καὶ φθαρτὰ αἰωνίως οὐ ζῶσι, ποῦ ἡ αἰώνιος ζωή,
ἣν ἐνεργεῖ ὁ οὐρανός; Εἰ μὴ μόνον πρὸς γένεσιν τῶν γινομένων, C
ἀλλὰ καὶ πρὸς τὴν τῶν φθειρομένων [6] φθορὰν χρησίμη ἡ τοῦ οὐρανοῦ κίνησις, πῶς θεὸς ὁ οὐρανὸς καὶ ἡ ἐνέργεια αὐτοῦ ζωὴ αἰώνιος, δι' ἧς φθείρεται τὰ φθαρτά; Εἰ ἐκ τῆς ὕλης συναγένητον τῇ ὕλῃ οὐ δυνατὸν εἶναι, πῶς ἀγένητος ὁ οὐρανὸς ὁ ὢν ἐκ τῆς ὕλης; Εἰ τὸ ἐξ ἀμφοτέρων ὕστερον ἀμφοτέρων, πῶς ὁ οὐρανὸς ὁ ὢν ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους συναΐδιός ἐστιν ἀμ-
φοτέροις; Εἰ τὸ εἶδος οὐκ ἐκ τῆς ὕλης, ἀλλὰ ἐκ τοῦ ποιοῦν- D

2. τῷ θεῷ] Arist. τῷ θείῳ.

3. ὁ] Maranus male praetermisit. Statim Arist. τοιοῦτος.

4. ἐγκύκλ. σῶμα] Sylburg., Morell., Maran. τὸ ἐγκύκλ. σῶμα ex Arist.. — Mox ex eodem illi dederunt κινεῖται κύκλῳ: *movetur in orbem.*

5. ταῦτα] Reg. 2. atque edito-

pter opus est. Dei autem opus est immortalitas: id est vita aeterna. Quare necesse ut Deo motus insit aeternus. Quoniam autem coelum est ejusmodi (est enim divinum quoddam corpus), propterea rotundum habet corpus, quod natura semper in orbem movetur.

Prima quidem, quum una sit, multa movet divina corpora, istae vero, quum plures sint, unum tantummodo singulae; errantium enim quaelibet pluribus agitur motibus. Sic igitur adaequat natura et ordinem quemdam instituit, uni quidem motioni plura attribuens corpora, uni autem corpori plures motiones; pluribus enim sphaeris una sphaera alligata fertur, unaquaeque autem sphaera corpus est.

Si ingenitarum et aeternarum substantiarum nullus est conditor: quomodo aeterna haec et ingenita, quorum ordinis natura est opifex, uni quidem motioni attribuens plura corpora, uni autem corpori plures motiones, numerum unius corporis motionum adaequans numero corporum. Si ingenita haec

ἕκαστον γὰρ τῶν πλανωμένων.

5. Ταύτῃ] Editores, Sylburgium secuti, ταύτῃ τε — ex Aristotele.

6. μιᾷ] Scil. φορᾷ. Hanc vocem (infra quoque omissam) Sylburg., Morell., Maran. ex Arist. textui inseruerunt. Mox is ἀποδοῦσα.

7. φορᾶς] Nonnulla hic exciderunt.

8. μία] Arist. τελευταία.

9. μιᾷ] Vid. not. 6..

ἀποίητα, πῶς ἐνδέχεται ἐν τοῖς ἀγενήτοις πεποιημένην εἶναι τά- E *ξιν φυσικήν; [10] Σφαῖρα σφαίρᾳ ἐνδεδεμένη, τὴν αὐτὴν ἔχουσα οὐσίαν ἣν ἔχει ἡ σφαῖρα ᾗ ἐνδέδεται, πῶς οὐ φαίνεται ἀμφοτέρας ἔχουσα τὰς ἀτοπίας [11] τὰς ἐν τοῖς ἀϊδίοις μὴ ὑπαρχούσας, τὸ μάτην ἔχειν τὴν κινητὴν οὐσίαν καθ' ἣν οὐ κινεῖται, καὶ τὸ* 158 *παρὰ φύσιν κινεῖσθαι κατὰ συμβεβηκός;*

62. *Ἐκ τοῦ τρίτου λόγου περὶ Οὐρανοῦ.*

[1] *Τῶν φύσει* [2] *λεγομένων τὰ μέν εἰσιν οὐσίαι, τὰ δ' ἔργα καὶ πάθη τούτων· λέγω δὲ οὐσίας μὲν* [3] *τὰ ἁπλᾶ σώματα, οἷον πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτοις, καὶ* [4] *ὅσα ἐκ τούτων,* [5] *τόν τε σύνολον οὐρανὸν καὶ τὰ μόρια* [6] *τούτου, πάλιν τὰ ζῶα καὶ* B *τὰ φυτὰ καὶ τὰ μόρια τούτων.*

Ὁ εἰρηκὼς τὸν οὐρανὸν εἶναι ἐξ ἁπλοῦ τινος στοιχείου ἑτέρου ὄντος παρὰ τὰ ἐνταῦθα στοιχεῖα, καὶ ὅτι οὐκ ἐνδέχεται οὐρανὸν ἄλλον γενέσθαι διὰ τὸ τοῦτον πᾶσαν περιειληφέναι τὴν ὕλην, πῶς νῦν λέγει ἐκ τῶν αὐτῶν εἶναι στοιχείων τὸν οὐρανόν, ἐξ ὧν καὶ τὰ ζῶα καὶ τὰ φυτά; Ἀλλ' εἰ μὲν ἄλλον οὐρανὸν λέγει ἐξ ἄλλων στοιχείων γενέσθαι, πῶς οὐ ψεύδεται λέγων· Οὐκ ἐνδέχεται ἄλλον οὐρανὸν εἶναι πλὴν ἑνός; Εἰ δὲ τὸν C *αὐτὸν λέγει οὐρανόν ποτε μὲν ἐξ ἄλλου θειοτέρου στοιχείου παρὰ τὰ ἐνταῦθά ποτε δὲ ἐκ τῶν αὐτῶν στοιχείων, πῶς οὐκ ἔστι θατέρως ψευδόμενος;*

63. *Ἐκ τοῦ αὐτοῦ λόγου.*

*) *Περὶ μὲν οὖν τοῦ πρώτου τῶν στοιχείων εἴρηται, καὶ ποῖόν τι τὴν φύσιν, καὶ ὅτι ἄφθαρτον καὶ ἀγένητον.*

Εἰ στοιχεῖόν ἐστι τὸ ἐξ οὗ γίνεται τὸ γινόμενον ἐνυπάρχον D *αὐτῷ, πῶς ἐνδέχεται τὸ αὐτὸ καὶ στοιχεῖον εἶναι καὶ ἀγένητον; Εἰ πρῶτον τὸ στοιχεῖον καὶ ὕστερον τὸ ἐκ τοῦ στοιχείου, πῶς ἀγένητον τὸ στοιχεῖον, ἐξ οὗ ὁ οὐρανός, καὶ συναγένητος αὐτῷ*

10. *Σφαῖρα*] Fortasse *Εἰ σφαῖρα* etc..

11. *τὰς*] Maranus mendose omisit.

1. *Τῶν ... τούτων*] Lib. III. c. 1. p. 298..

2. *λεγομένων*] Maran. male *γενομένων*.

3. *τὰ ἁπλᾶ*] Sic codd. msti et Stephan.; caeteri *τά τε ἁπλᾶ*.

4. *ὅσα*] Maran. praetermisit perperam.

etiam infecta sunt: quomodo potest in rebus ingenitis institutus esse ordo naturalis? Sphaera sphaerae alligata, eamdem habens substantiam ac sphaera cui alligata est, quomodo non videtur duplicem habere absurditatem in rebus aeternis non occurrentem, et quod frustra mobilem habeat substantiam secundum quam non movetur, et quod praeter naturam moveatur per accidens?

62. Ex tertio libro de Coelo.

Eorum quae natura esse dicuntur alia sunt substantiae, alia opera et operationes earum; substantias autem dico corpora simplicia, ut ignem et terram et quae cum his sunt ejusdem seriei elementa, et quaecunque ex his orta sunt, totum coelum et partes hujus, item animantes et plantas et harum partes.

Qui dixit coelum esse e simplici quodam elemento a terrenis elementis diverso, nec posse coelum aliud fieri quia universam id circumplexum sit materiam, quomodo nunc dicit coelum ex iisdem esse elementis, ex quibus et animantia et plantae? Sed si aliud coelum dicit ex aliis elementis factum esse: quomodo non mentitur dum ait: *Non potest aliud coelum esse praeter unum?* Sin autem idem coelum dicit nunc ex alio diviniore his terrenis elemento nunc ex iisdem elementis: quomodo non in alterutro mentitur?

63. Ex eodem libro.

De primo igitur elemento dictum est, et quale id sit natura, et incorruptibile atque ingenitum esse.

Si elementum est id ex quo gignitur quod in eo exsistens gignitur: quomodo potest idem esse et elementum et ingenitum? Si prius elementum et posterius id quod ex elemento: quomodo ingenitum est elementum, ex quo coelum, et cum eo

5. τόν τε] Arist. et inde Sylburg., Morell., Maran. οἷον τόν τε sine necessitate.

6. τούτου] Arist. αὐτοῦ. — Tum ex eodem reposuerunt Sylburg. et duo reliqui editores καὶ πάλιν τά τε ζῷα.

*) Περὶ ... ἀγένητον] Lib. III. c. 1. p. 298.

ὁ οὐρανός; Εἰ διὰ τοῦτο ἀγένητον τὸ στοιχεῖον ὅτι οὐκ ἐκ στοιχείου, πῶς ἀγένητος ὁ οὐρανὸς ὁ ὢν ἐκ στοιχείου;

64. Ἐκ τοῦ αὐτοῦ λόγου. E

[1] Ἀΐδια μὲν οὖν εἶναι ἀδύνατον· ὁρῶμεν γὰρ καὶ πῦρ καὶ ὕδωρ καὶ ἕκαστον τῶν ἁπλῶν σωμάτων διαλυόμενον. [2] Ὥστ' ἀνάγκη [3] γενητὰ καὶ φθαρτὰ εἶναι τὰ στοιχεῖα τῶν σωμάτων.
Εἰ στοιχεῖον τῶν σωμάτων ἐστὶ καὶ ἡ γῆ, πῶς τὴν μὲν 159
γῆν συναΐδιόν τε καὶ συναγένητον εἴρηκας τῷ οὐρανῷ, τὰ δὲ ἄλλα στοιχεῖα γενητὰ καὶ φθαρτά;

65. Ἐκ τοῦ αὐτοῦ λόγου.

*) Τῶν στοιχείων ἡ γένεσις ἐξ ἀλλήλων.

Πῶς γίνεται ἐξ ἀλλήλων τὰ στοιχεῖα πρῶτον μὴ γινομένων B
κατὰ τὴν γένεσιν τὴν ἐξ ἀλλήλων; Ταύτην γὰρ τὴν γένεσιν ἀνάγκη προηγεῖσθαι ἐκείνης τῆς γενέσεως· ὄντων γὰρ αὐτῶν μεταβάλλεται εἰς ἄλληλα καὶ γίνονται ἐξ ἀλλήλων.

[1] ΠΡΟΣ ΤΟΥΣ ΕΛΛΗΝΑΣ.

α'. [2] Ἡ φύσις ἡ ποιοῦσα τὰ φυσικά, ἐὰν μὴ προηγουμέ- 196
νως γίνηται ὑπὸ τοῦ μὴ κατὰ φύσιν ποιοῦντος, οὔτε ὑπάρχει B
οὔτε ποιεῖ.

β'. [3] Ὅτι οὐχ ἁπλῶς πᾶν πρᾶγμα γενητόν τε καὶ φθαρτὸν ἐν τῇ γενέσει [4] ἔχει τὸν τετραμερῆ χρόνον, ἀρχὴν καὶ ἐπίδοσιν, ἀκμὴν καὶ παρακμήν, ἀλλὰ τὸ φύσει ἢ τέχνῃ γινόμενον.

γ'. Εἰ τοῖς ἡμετέροις ὀνόμασι καλεῖται [5] ὁ θεός, πᾶν εἴ τι C
καλεῖται, οὐκ ἔστιν ἀνάγκη ἕπεσθαι τῷ θεῷ διὰ τὸ ὄνομα ὅσα ἕπεται τῷ ἡμετέρῳ ὀνόματι. Καλεῖται δὲ ὁ θεὸς καὶ ἀλήθεια καὶ ἀγαθός· καὶ τῇ μὲν ἀληθείᾳ ἀντίκειται τὸ ψεῦδος, τῷ δὲ

1. Ἀΐδια...σωμάτων] Lib. III. c. 6. p. 304. sq..

2. Ὥστ' ἀνάγκη etc.] Ante haec verba sunt permulta a Pseudo-Justino praetermissa.

3. γενητὰ κ. φθαρτὰ] Arist. inverso ordine φθαρτὰ κ. γενητά.

*) Τῶν...ἀλλήλων] Aristotelis non verba sed sententiam Pseudo-Justinus exhibet; nam lib. III. c. 6. extr. sic ille habet: λείπεται ἐξ ἀλλήλων γίνεσθαι, et c. 7. init.: πάλιν οὖν ἐπισκεπτέον τίς ὁ τρόπος τῆς ἐξ ἀλλήλων γενέσεως. — Sit ne autem hic Confutationis dogmatum Aristotelicorum finis, dubium est Perionio, propterea quod nihil exstet quod librum conclusum esse declaret.

coelum ingenitum? Si ideo ingenitum est elementum quia non est ex elemento: quomodo ingenitum coelum quod est ex elemento?

64. Ex eodem libro.

Aeterna igitur esse elementa non possunt; videmus enim et ignem et aquam et unumquodque corporum simplicium dissolvi. Quare necesse est genita et corruptioni obnoxia esse elementa corporum.

Si ex corporum elementis unum quoque est terra: quomodo terram quidem coaeternam et coingenitam coelo dixisti, alia vero elementa genita et corruptioni obnoxia?

65. Ex eodem libro.

Elementa alia ex aliis generantur.

Quomodo generantur alia ex aliis elementa, quum prima eorum generatio non sit ex se invicem? Hanc enim generationem necesse est illi praeire; nam quum sint, mutantur alia in aliud et alia ex aliis fiunt.

ADVERSUS GENTILES.

1. Natura quae facit naturalia, nisi prius ab eo facta sit qui ex natura non agit, neque exsistit neque facit.

2. Non simpliciter quaelibet res genita et corruptibilis in generatione quadripartitum habet tempus, ortum et auctum, vigorem et senectam, sed ea quae natura vel arte fit.

3. Si nominibus nostris appelletur Deus, quidquid tandem appelletur, necesse non est ut quaecunque nostro adjuncta sunt nomini ea Deo propter nomen adjungantur. Vocatur autem Deus et veritas et bonus; ac veritati opponitur

1. *ΠΡΟΣ Τ. ΕΛΛΗΝΑΣ*] Vid. Prolegg. p. XVII. sq..

2. *Ἡ φύσις* etc.] Stephanus loco posteriori (ex Reg. 450.): *Ἡ * ποιοῦσα τὰ φυσικά, ἐὰν μὴ προηγουμένως * τὸ* (sic) *τοῦ μὴ κατὰ φύσιν ποιοῦντος, οὔτε * ει οὔτε ποιεῖ.*

3. *Ὅτι οὐχ* etc.] Stephan. l. post.: *Ὅτι οὐχ ἁπλῶς πᾶν * γενητόν τε καὶ φθαρτὸν* etc..

4. *ἔχει*] Stephan. l. post. *κατά.*

5. *ὁ*] Stephan. l. post. hunc articulum omisit. — Mox *εἴ τι* pro *ὅ τι* dictum est.

ἀγαθῷ τὸ κακόν, τῷ δὲ θεῷ οὐδὲν ἀντίκειται. Τοῦτο μὴ νοήσας ὁ Πλάτων ὑπεναντίον τι ἐδογμάτισε [6] τῷ θεῷ, κακὸν ἀναγκαῖόν τε καὶ ἀΐδιον.

δ΄. Οὐκ ἔστι τι ὂν μὴ [7] τόδε τι ὄν, οἷον οὐκ ἔστι σῶμα D
[8] μὴ τόδε σῶμα ὄν. Ἀλλ' εἰ ἡ ὕλη τὸ εἶναι τόδε οὐκ ἔχει, οὐδ' ἄρα τὸ εἶναι ἔχει· ἀχώριστον γὰρ [9] τοῦ εἶναι τὸ τόδε εἶναι.

ε΄. Ἡ φύσις καὶ ἡ τέχνη ἐκ τῶν οὐσιῶν ποιοῦσιν ἅπερ ποιοῦσιν, οἷον ἐκ σπέρματος ποιεῖ ἡ φύσις τὸν ἄνθρωπον καὶ ἐξ ἀνθρώπου τὸ σπέρμα· οὐσίαι δ' εἰσὶ τό τε σπέρμα καὶ ὁ ἄνθρωπος. Ὡσαύτως καὶ αἱ τέχναι ποιοῦσιν ἐκ τοῦ χαλκοῦ ἀνδριάν- E
τα καὶ ἐκ πλίνθων οἰκίαν· οὐσίαι δ' εἰσὶν ὅ τε χαλκὸς καὶ αἱ πλίνθοι. [10] Τοίνυν τῆς ὕλης οὐκ οὔσης οὐσίας, τίς ἐστιν ὁ ποιήσας ἐξ αὐτῆς [11] τὰ γεγονότα ἐξ αὐτῆς, τῆς φύσεώς τε καὶ [12] τῆς τέχνης ἀδυνατούσης ποιεῖν τι ἐκ μὴ οὐσίας;

ϛ΄. Εἰ, καθώς φησιν Ἀριστοτέλης, ἔστι σῶμα μήτε βαρὺ 197
μήτε κοῦφον μήτε ἓν τῶν τεσσάρων στοιχείων μήτε ἐκ τῶν τεσσάρων στοιχείων, δῆλον ὅτι, εἰ ἀληθὲς τοῦτο, [13] ἔσται σῶμα μήτε θερμὸν μήτε ψυχρὸν μήτε κατὰ φύσιν μήτε κατὰ πάθος· τὸ γὰρ κατὰ φύσιν ἢ κατὰ πάθος θερμὸν ἢ ψυχρὸν [14] ἢ τῶν τεσσάρων στοιχείων ἐστὶν ἢ ἐκ τῶν τεσσάρων ἐστὶ στοιχείων. Εἰ δὲ σῶμα οὐκ ἔστι μήτε κατὰ φύσιν θερμὸν ἢ ψυχρὸν μήτε κατὰ πάθος, [15] οὐδ' ἄρα ἐστὶ σῶμα μήτε βαρὺ μήτε κοῦφον μήτε [16] ὂν B
τῶν τεσσάρων στοιχείων [17] μήτε ὂν ἐκ τῶν τεσσάρων στοιχείων. Πῶς οὖν λέγει θερμὸν εἶναι τὸν αἰθέρα διὰ τὴν κίνησιν τοῦ οὐρανίου σώματος καὶ τῶν [18] ἐν αὐτῷ κινουμένων σωμάτων; Τὰ γὰρ ταῖς κινήσεσι [19] θερμαίνοντα σώματα [20] πρὸ τῶν θερμαινο-

6. τῷ θεῷ, κακὸν ἀναγκαῖόν] Stephan. loco priori (ex Reg. 450. = Reg. 2.), Sylburg. et Morell. sic distinxerunt: τῷ θεῷ κακόν, ἀναγκαῖόν etc..

7. τόδε] Maran. τὸ δὲ male.

8. μὴ] Stephan. l. post., Sylburg., Morell. ἀλλ' ἤ.

9. τοῦ εἶναι τὸ] Stephan. l. priori τὸ εἶναι τοῦ.

10. Τοίνυν] Insolenter initio periodi collocatur: Quaestt. et Respp. ad Orth. 73. p. 435. C. Cf. Lobeck. ad Phryn. p. 342. — Mox pro οὐκ οὔσης οὐσίας Steph. l. post. caeterique editt. οὐσίας οὐκ οὔσης.

11. τὰ γεγονότα ἐξ αὐτῆς] Haec ap. Stephan. l. post. desunt. In causa est αὐτῆς iteratum.

12. τῆς] Stephan. l. priori non habet.

13. ἔσται] Stephan. l. post. at-

falsum, bono malum: Deo autem nihil opponitur. Hoc quia Plato ignoravit, contrarium quoddam Deo statuit, nempe malum necessarium et aeternum.

4. Non est quidquam quod sit quin aliquid sit: veluti corpus non est quin tale corpus sit. At si materia, ut tale quidpiam sit, non habet, neque ut sit habet; nam aliquid esse separari ab esse non potest.

5. Natura et ars ex substantiis faciunt quae quidem faciunt: veluti natura ex satu creat hominem et satum ex homine; substantiae autem sunt et satus et homo. Similiter et artes ex aere faciunt statuam et ex lateribus domum; substantiae autem sunt et aes et lateres. Quare si materia substantia non sit, quis est qui ex ipsa facit ea quae ex ipsa fiunt, quum natura et ars aliquid ex eo quod non est substantia facere nequeant?

6. Si, ut ait Aristoteles, corpus exstat neque grave neque leve neque unum ex quatuor elementis neque ex quatuor elementis constans, liquet, si hoc verum est, corpus futurum esse nec calidum nec frigidum vel natura vel perpessione; nam quod vel natura vel perpessione calidum aut frigidum est vel unum ex quatuor elementis est vel ex quatuor constat elementis. Quodsi corpus non est nec natura uec perpessione calidum aut frigidum, neque etiam corpus erit nec grave nec leve quodque nec quatuor elementorum unum sit nec constet ex quatuor elementis. Quomodo ergo calidum dicit aetherem ob motum coelestis corporis et eorum quae in illo moventur corporum? Quae enim motionibus calefaciunt corpora prius

que Sylburg. et Morell. ἐστι.

14. ἢ τ. τεσσ. στ. ἐστὶν ἢ ἐκ] Haec verba Stephan. l. post. omisit.

15. οὐδ' ἄρα] Stephan. l. post., Sylburg., Morell. οὐκέτι.

16. ὂν] Editores cum Stephano l. post. ἕν. Sed recepta a me lectio infra quoque repetitur.

17. μήτε ὂν ἐκ τῶν τ. στοιχ.] Haec verba a Stephano l. post. et a reliquis editoribus perperam praetermissa sunt.

18. ἐν αὐτῷ] Stephan. l. priori ἐν αὐτῇ, scil. κινήσει.

19. θερμαίνοντα] Maran. θερμαίνον vitiose.

20. πρὸ ... δῆλον ὅτι] Stephan. l. post., Sylburg., Morell. εἰ πρὸ τῶν θερμ. ὑπ' αὐτῶν θερμαίνεται, δῆλον ὅτι etc.. Arcerius mutata

μένων ὑπ᾽ αὐτῶν [21] θερμαίνεται· ἀλλ᾽ εἰ θερμαίνεται, δῆλον ὅτι κατὰ πάθος θερμαίνεται· εἰ δὲ κατὰ πάθος, δῆλον [22] ὅτι κατ᾽ ἀλλοίωσιν· εἰ δὲ κατ᾽ ἀλλοίωσιν, δῆλον ὅτι κατὰ μεταβολήν· εἰ δὲ κατὰ μεταβολήν, δῆλον ὅτι ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον [23] μεταβλήσεται. Ἐναντίον δὲ τῷ [24] ψυχρῷ τὸ θερμόν· ἐκ τοῦ C
ψυχροῦ ἄρα εἰς τὸ θερμὸν μεταβλήσεται. Ἀλλ᾽ ἐπειδὴ οὐκ ἔστι σῶμα ἐκ τοῦ ψυχροῦ εἰς τὸ θερμὸν κατὰ πάθος μεταβαλλόμενον, μὴ ὂν μήτε τῶν τεσσάρων στοιχείων μήτε ἐκ τῶν τεσσάρων στοιχείων, διὰ τοῦτο οὐκ ἔστι τὸ οὐράνιον σῶμα ἕτερον στοιχεῖον παρὰ τὰ τέσσαρα στοιχεῖα· θερμαίνεται γὰρ κατὰ πάθος ἐκ τοῦ ψυχροῦ εἰς τὸ θερμὸν μεταβαλλόμενον.

ζ'. Εἰ τὰ ἐκ τῆς κινήσεως θερμαινόμενα σώματα τῷ πλείονι D
τῆς κινήσεως πλειόνως θερμαίνεται, πῶς, [25] εἰ κατὰ τὸν Ἀριστοτέλην σῶμά ἐστιν ὁ ἥλιος οὐ κατὰ φύσιν θερμὸν ἀλλὰ κατὰ κίνησιν, [26] τῷ πλείονι τῆς κινήσεως πλειόνως οὔτε θερμαίνεται οὔτε θερμαίνει, ἀλλ᾽ ἀεὶ τῷ ἀνίσῳ τῆς κινήσεως τὸ ἴσον ἔχει τῆς θερμότητος;

η'. Εἰ κατὰ τὸν Ἀριστοτέλην ὅρος τῆς οὐσίας ἐστὶ τὸ τῶν ἐναντίων ἀνὰ μέρος δεκτικόν, πῶς λέγει πάλιν ὁ αὐτὸς Ἀριστο- E
τέλης τὴν ὕλην μὴ [27] εἶναι οὐσίαν, οὖσαν τῶν ἐναντίων ἀνὰ μέρος δεκτικήν, τῆς στερήσεως γὰρ καὶ ἕξεως;

[28] Εἰ ὁ στερούμενος τοῦ εἶναι τόδε οὗτος καὶ τοῦ εἶναι ἐστέρηται, πῶς λέγει ὁ Ἀριστοτέλης ἀδύνατον ἐκ τοῦ [29] πάντη μὴ ὄντος γενέσθαι τι, τῆς ὕλης κατ᾽ αὐτὸν ἀμφοτέρων στερουμένης, καὶ τοῦ εἶναι καὶ τοῦ τόδε εἶναι;

θ'. Εἰ ἐκ τοῦ πάντη μὴ ὄντος οὐ γίνεταί τι, δῆλον ὅτι ἐκ 198

praepositione voluit legi πρὸς τῶν θερμαινομένων: *calefiunt ab iis quae ab ipsis calefiunt.* Huic lectioni (Sylburg.) patrocinantur quae mox sequuntur §. 7. initio.

21. θερμαίνεται] Stephan. l. priori θερμαίνονται minus recte.

22. ὅτι] Stephan. l. post. caeterique editores ὅτι καί. Sic etiam paullo infra: δῆλον ὅτι καὶ κατὰ μεταβολήν.

23. μεταβλήσεται] Stephan. l. priori hîc et paullo post μεταβλήσκεται, id quod est prorsus insolens. Habet ille l. post. ut caeteri editores μεταβάλλεται. Scriptura mea §. 11. (not. 35.) firmatur.

24. ψυχρῷ τὸ θερμόν] Stephan.

incalescunt quam ea quae ab ipsis calorem concipiunt: quodsi incalescunt, liquet ea perpessione incalescere; si perpessione, liquet alteratione; si alteratione, liquet mutatione; si mutatione, liquet contrarii in contrarium mutatione. Contrarium vero frigori est calor: quocirca ex frigido mutabuntur in calidum. Sed quia nullum corpus est quod ex frigido in calidum perpessione mutetur, nec tamen quatuor elementorum unum sit aut ex quatuor constet elementis: propterea corpus coeleste non aliud est elementum ab elementis quatuor; calefit enim perpessione, dum e frigido in calidum mutatur.

7. Si quae motu calefiunt corpora majore motu magis calefiunt: quomodo, si secundum Aristotelem sol corpus est non natura calidum sed motu, non majore motu magis calefit vel calefacit, sed semper in motus inaequalitate aequalem retinet calorem?

8. Si secundum Aristotelem definitio substantiae est ut contrariorum per vices sit capax: quomodo rursus idem dicit Aristoteles materiam non esse substantiam, quum sit contrariorum per vices capax, nempe privationis et habitus?

Si qui non habet ut tale aliquid sit neque etiam esse habet: quomodo dicit Aristoteles fieri non posse ut ex eo quod omnino non est fiat aliquid, quum secundum illum materia neutrum habeat, neque ut sit neque ut tale aliquid sit?

9. Si ex eo quod omnino non est nihil gignitur, certum

l. post. et caeteri editores θερμῷ τὸ ψυχρόν.

25. εἰ] Omisit Stephan. l. post..

26. τῷ πλείονι] Stephan. l. post., Sylburg., Morell. inepte εἰ τὸ πλεῖον. — Mox πλειόνως apud illum l. priori praetermissum est, videlicet ob similitudinem ultimae praecedentis vocis syllabae.

27. εἶναι] Maran. omisit errore. — Tum articulus τῆς ante στερήσεως ap. Stephan. l. post. non reperitur.

28. Εἰ] Stephan. l. post. εἰ δέ. Sic etiam Sylburg. et Morell.. — Dein Maran. contra codd. mstos οὕτως pro οὗτος.

29. πάντῃ] Ita etiam infra §. 9. et 13.. Male igitur deest ap. Stephan. l. priori.

τοῦ ὄντος γίνεταί τι. Ἀλλ' [30]εἰ ἡ ὕλη τοῦτο, πῶς ἀληθεύει Ἀριστοτέλης λέγων τὴν ὕλην οὐκ ὄν;

ι'. Εἰ μὴ ἀλλοιοῦται ἡ ὕλη, [31]οὐ δυνατὸν γενέσθαι τι ἐξ αὐτῆς. Ἀλλ' εἰ πᾶν τὸ ἀλλοιούμενον ἐκ τοῦδε εἰς τόδε ἀλλοιοῦται, οὐκ ἔστι δὲ ἡ ὕλη τόδε, οὐκ ἄρα ἀλλοιοῦται· διὸ [32]οὐδὲ γίνεταί τι ἐξ αὐτῆς.

ια'. [33]Εἰ ἐκ τοῦ τυχόντος εἰς τὸ τυχὸν οὐ γίνεται μετα- B
βολή, ἀλλ' εἰς τὸ ἐναντίον ἐν τῷ αὐτῷ γένει, οἷον ἐν τῇ ποιότητι οὐ γίνεται μεταβολὴ ἐκ τοῦ λευκοῦ [34]εἰς τὸ μέγα ἀλλ' εἰς τὸ μέλαν, κατὰ τί οὖν [35]μεταβλήσεται ἡ ὕλη ἐν τῇ γενέσει τῶν ἐξ αὐτῆς γινομένων οὐσιῶν, [36]μηδὲν ἔχουσα δυνάμενον μεταβάλλεσθαι;

ιβ'. Εἰ, ὥσπερ ἐν τοῖς ζωϊκοῖς τὸ ζῶον καὶ ἐν τοῖς χρωϊκοῖς τὸ χρῶμα, οὕτως καὶ ἐν τοῖς ὑλικοῖς ἡ ὕλη, πῶς ἀναιρουμένων τῶν ζωϊκῶν συναναιρεῖται [37]τὸ ζῶον καὶ ἀναιρουμένων C
τῶν χρωϊκῶν ἀναιρεῖται τὸ χρῶμα, καὶ ἀναιρουμένων τῶν ὑλικῶν οὐκ ἀναιρεῖται ἡ ὕλη; [38]Εἰ δὲ συναναιρεῖται τοῖς ὑλικοῖς ἡ ὕλη, πῶς προϋπάρχει τῶν ὑλικῶν ἡ ὕλη;

ιγ'. Εἰ τὸ ἀπέχειν καὶ τὸ μετέχειν τῶν ὄντων ἐστί, δῆλον ὅτι τὸ πάντῃ μὴ ὂν οὔτε ἀπέχει τινὸς οὔτε μετέχει. Πῶς οὖν μετέχει ἡ ὕλη τῆς στερήσεως, [39]καὶ τῶν ὄντων οὐκ ἔστιν;

ιδ'. Εἰ ἀδύνατον τὸ αὐτὸ ἐν τῷ αὐτῷ ἀμφοτέρας κινεῖσθαι D
τὰς κινήσεις, τήν τε κατὰ φύσιν καὶ τὴν παρὰ φύσιν, πῶς ὁ ἥλιος κατὰ φύσιν μὲν κινεῖται [40]ἀπὸ τῆς ἀνατολῆς εἰς δύσιν, παρὰ φύσιν δὲ ἀπὸ τῆς δύσεως εἰς ἀνατολὴν διὰ τὴν σφαῖραν;

30. *εἰ ἡ ὕλη*] Sic recte Stephan. l. priori. Cf. §. 6.: *ἀλλ εἰ θερμαίνεται* — et §. 10.: *ἀλλ' εἰ πᾶν*. Sed l. post. ille cum eoque Sylburg. ac Morell. *ἐπεὶ ὕλη*.

31. *οὐ δυνατὸν*] Stephan. l. post. *ἀδύνατον*.

32. *οὐδὲ*] Maran. *οὐ δὲ* perperam. Stephan. autem l. post., Sylburg., Morell. merum *οὐ* praebent.

33. *Εἰ*] Haec particula, qua incipiunt omnia haec commatia, ap. Stephan. l. priori excidit.

34. *εἰς τὸ μέγα*] Stephan. l. post. et reliqui editores excepto Marano perverse *εἰς ἄλλο τι*.

35. *μεταβλήσεται*] Fut. tempus ap. Stephan. l. priori recte. Caeteri editores temere *μεταβάλλεται*, quod

est ex eo quod est gigni aliquid. Quodsi id materia est: quomodo Aristoteles vera loquitur materiam non esse ens pronuntians?

10. Si materia non immutatur, fieri nequit ut ex ea fiat aliquid. Quodsi quidquid immutatur ex tali aliquo in tale aliquid immutatur, non est autem tale aliquid materia, non ergo immutatur: quare etiam nihil fit ex ea.

11. Si ex quolibet non fit in quodlibet mutatio, sed in id quod eodem in genere contrarium, velut in qualitate non fit mutatio candidi in magnum sed in nigrum: qua igitur re materia in generatione earum quae ex ipsa fiunt substantiarum mutabitur, quum nihil habeat quod mutari possit?

12. Si, quemadmodum in animalibus animans, et in coloratis color, ita etiam in materialibus materia: quî fit ut, quum sublatis animalibus simul tollatur animans et sublatis coloratis tollatur color, materialibus sublatis non tollatur materia? Si cum materialibus simul materia tollitur: quomodo prius exsistit materia quam materialia?

13. Si carere et recipere entium est, liquet id quod omnino non est neque carere ulla re neque eam recipere. Quomodo igitur privationem recepit materia, quae ex entibus non est?

14. Si impossibile est ut idem in eodem utroque incitetur motu, et eo qui juxta naturam et eo qui praeter naturam est: quomodo sol juxta naturam quidem ab oriente movetur in occidentem, praeter naturam autem ab occidente in orientem

ille l. post. suppeditat.

36. μηδὲν] Stephan. l. post. οὐδέν, idque omnes editores receperunt.

37. τὸ ζῶον etc.] Editt. c. Stephano l. post. καὶ τὸ ζῶον ... καὶ τὸ χρῶμα ... ἀναιρεῖται καὶ ἡ ὕλη; Vid. not. 22..

38. Εἰ ... ὕλη] Exciderunt haec loco ap. Stephan. priori: causam cernis in repetitis verbis ἡ ὕλη.

39. καὶ] Stephan. l. post., Sylburg., Morell. ἐπεί.

40. ἀπὸ τῆς ἀνατ. εἰς δύσιν] Stephan. l. post. congruenter ἀπὸ τῆς δύσεως εἰς ἀνατολήν — deinde ἀπὸ ἀνατολῆς εἰς δύσιν. Sic etiam Langus interpres.

Οὐ γὰρ δυνατὸν τὸ αὐτὸ ἐν τῷ αὐτῷ τὰς ἐναντίας κατὰ φύσιν κινεῖσθαι κινήσεις.

ιε΄. Τοῦ ἡλίου μὴ ὄντος περιττὸς ἦν ὁ ὀφθαλμός, καὶ τοῦ ὀφθαλμοῦ μὴ ὄντος περιττὸς ἦν ὁ ἥλιος. Ἀλλ' ἐπειδὴ δι' ἑκά- E
τερον ἀναγκαῖος ἑκάτερος, γενητὸς ἄρα ἑκάτερος· τὸ γὰρ ἀγένητον δι' οὐδέν ἐστιν ἀγένητον, [41] ἀλλὰ δι' αὐτὸ μόνον, μᾶλλον δὲ οὐ δι' αὐτό· ἀναίτιον γὰρ τὸ ἀναίτιον.

ις΄. Εἰ ἀδύνατον χρόνου ὄντος τὸ γενόμενον γενέσθαι μὲν κατ' αἰτίαν, οὐ κατὰ χρόνον δέ, πῶς λέγουσιν οἱ Ἕλληνες τὸν 199
κόσμον γεγενῆσθαι κατ' αἰτίαν καὶ οὐ κατὰ χρόνον;

ιζ΄. Εἰ ἀδύνατον τὸν κόσμον εἶναι χωρὶς ἐνιαυτοῦ, πῶς ἀΐδιος καὶ ἀγένητος ὁ κόσμος, τοῦ ἐνιαυτοῦ οὐκ ὄντος ἀϊδίου ἀλλ' [42] ἐκ περιόδου πλειόνων ἡμερῶν τὸ εἶναι ἔχοντος;

ιη΄. [43] Εἰ γενητὸς ὁ ἐνιαυτός, πῶς [44] ἀΐδια καὶ ἀγένητα τὰ ἐν τῷ ἐνιαυτῷ;

41. ἀλλὰ ... ἀναίτιον] Haec l. priori ap. Stephan. non leguntur.

42. ἐκ περιόδου] Stephan. l. post. ἐκ τῆς περιόδου. Abest τῆς etiam a Reg. 1..

43. Εἰ ... ἐνιαυτῷ] Haec verba in Reg. 1. desiderantur.

44. ἀΐδια κ. ἀγένητα] Editores

— propter globum? Fieri enim nequit ut idem in eodem natura contrariis concitetur motibus.

15. Si sol non esset, supervacaneus esset oculus; et si oculus non esset, supervacaneus esset sol. Sed quum uterque propter utrumque sit necessarius, genitus profecto uterque; nam id quod ingenitum est nullius gratia ingenitum est, sed propter seipsum dumtaxat, ac potius ne propter seipsum quidem: praeter causam enim est cujus causa non est.

16. Si fieri non potest tempore exstante ut id quod gignitur gignatur quidem secundum causam, non vero secundum tempus: quomodo Graeci dicunt mundum genitum esse secundum causam ac non secundum tempus?

17. Si fieri non potest ut mundus sit absque anno: quomodo aeternus est et ingenitus mundus, quum annus non sit aeternus sed ex circuitu dierum complurium constet?

18. Si genitus annus: quomodo aeterna et ingenita quae sunt in anno?

lectionem receperunt a Stephano l. post. datam: ἀγένητα καὶ ἀΐδια. Recte ille legit l. priori cum Reg. 2.; is tamen codex articulum τά, qui sequitur, aperto librarii errore non habet.

PARIS chez A. FRANCK.

CORPUS
APOLOGETARUM CHRISTIANORUM
SAECULI SECUNDI.

EDIDIT

IOANN. CAROL. THEOD. OTTO.

VOLUMEN V.

S. IUSTINI
PHILOSOPHI ET MARTYRIS
OPERA.

TOMI III. PARS II.

OPERA IUSTINI SUBDITICIA.

EDITIO SECUNDA.

CUM ADDITAMENTIS AD OMNES IUSTINI TOMOS.

LONDRES chez D. NUTT et WILLIAMS et NORGATE.

MILAN chez TENDLER et COMP. et MEINERS et FILS.

IENAE

PROSTAT APUD FRIDER. MAUKE.

MDCCCL.

TRIESTE chez FAVARGER.

Voir le revers.

CORPUS
APOLOGETARUM CHRISTIANORUM
SAECULI SECUNDI.

EDIDIT

IOANN. CAROL. THEOD. OTTO.

VOLUMEN V.

IUSTINUS PHILOSOPHUS ET MARTYR.

IENAE

PROSTAT APUD FRIDER. MAUKE.

MDCCCL.

S. IUSTINI
PHILOSOPHI ET MARTYRIS
OPERA
QUAE FERUNTUR OMNIA.

AD OPTIMOS LIBROS MSS.
PARTIM NONDUM COLLATOS RECENSUIT
PROLEGOMENIS ADNOTATIONE VERSIONE INSTRUXIT
INDICES ADIECIT

IOANN. CAROL. THEOD. OTTO

PHILOSOPHIAE ET THEOLOGIAE DOCTOR
THEOLOGIAE IN ACADEMIA IENENSI PROFESSOR P. E. SOCIETATIS
LATINAE IENENSIS SOCIETATIS HISTOR.-THEOLOGICAE LIPSIENSIS
SOCIETATIS HAGANAE PRO VINDICANDA RELIGIONE CHRISTIANA
SODALIS.

BIBLIOTHECA
CIVITATIS
BABENBERGENSIS.

TOMI III. PARS II.

OPERA IUSTINI SUBDITICIA.

EDITIO ALTERA IMMUTATA.
ACCEDUNT FRAGMENTA INDICES NOVI ADDITAMENTA.

IENAE

PROSTAT APUD FRIDER. MAUKE.

MDCCCL.

JUSTINI PHIL. ET MART.

OPERA SUBDITICIA.

TOM. III. P. II.

QUÆSTIONES ET RESPONSIONES AD ORTHODOXOS.
QUÆSTIONES CHRISTIANORUM AD GENTILES.
QUÆSTIONES GENTILIUM AD CHRISTIANOS.

ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

ΑΠΟΚΡΙΣΕΙΣ ΠΡΟΣ ΤΟΥΣ ΟΡΘΟΔΟΞΟΥΣ ΠΕΡΙ ΤΙΝΩΝ ΑΝΑΓΚΑΙΩΝ ΖΗΤΗΜΑΤΩΝ.

Ἐρώτησις α΄.

Εἰ τὴν ἀρχαίαν μὲν λατρείαν ἀνεῖλεν ὁ θεὸς [1] ὡς αὐτὴν μὴ P. 391
ἀρεσκόμενος, τὴν δὲ τῶν Χριστιανῶν ὡς ἀρεστὴν αὐτῷ ἀντεισ- ed.
ήγαγεν, οἱ δὲ ὀρθόδοξοι οἱ μόνοι θεῷ ἀρέσκοντες [2] τῶν Ἑλ- Mor et
λήνων τε καὶ Ἰουδαίων καὶ πάντων τῶν αἱρετικῶν οὐκ ἴσοι τὸν Col.
ἀριθμὸν τυγχάνουσιν ἀλλ᾽ ἥττονες, τίς ἡ ἀπόδειξις τοῦ μὴ κατὰ πτωχείαν δυνάμεως τοῦ ταύτην ἀντ᾽ ἐκείνης ἑλομένου τὴν λα- C
τρείαν μένειν ἀνεκρίζωτον τὴν πλάνην; Πῶς δὲ οὐκ ἀνωφελὴς ἡ ἐκείνης τῆς λατρείας λύσις, πλάνης ἔτι πολλῆς κατεχούσης τὸν κόσμον;

Ἀπόκρισις ἤτοι λύσις τῆς ἐρωτήσεως.

Τὴν ἀρχαίαν τοῦ θεοῦ λατρείαν λύσαντος, τὴν νέαν δὲ ἀντεισαγαγεῖν διὰ τῆς παλαιᾶς διαθήκης [3] προθεμένου, [4] εἰ μὲν ἀντεισήγαγε ταύτην ἀντ᾽ ἐκείνης, πρῶτον μὲν κηρυττομένην λόγοις D
θείαις δυνάμεσι μαρτυρουμένοις, ἀνεῖλεν ἰουδαϊσμόν τε καὶ ἑλληνισμόν· ὕστερον δὲ ἔργοις θείαις ὡσαύτως δυνάμεσι γινομένοις πάσης τῆς ἐν ἀνθρώποις τε καὶ δαίμοσι πλάνης ποιεῖ τὴν ἐκρίζωσιν, σὺν ταύτῃ δὲ καὶ πάντων τῶν ἐν τῷ κόσμῳ κακῶν αἱρέσεων [5] ἀνεῖλε τὴν λατρείαν [καὶ πονηρίαν] πίστεώς τε καὶ

1. ὡς αὐτὴν μὴ ἀρεσκ.] Usitatius Quaest. 24.: μὴ ἠρέσκετο ὡς φαύλῳ.

2. τ. Ἑλλήνων] Hac voce Patres saepenumero uti solent ad designandas gentes infideles. Item ἑλληνισμὸς paulo infra dicitur pro gentilismo; cf. Quaest. 24. 74. 126.. Sic adj. ἑλληνικὸν (ξίφος) Quaest. 79. legitur.

3. προθεμένου] Clar. προσιεμένου. Veram lectionem in marg. praebet.

4. εἰ μὲν ἀντ. τ. ἀντ᾽ ἐκείνης,

SANCTI JUSTINI PHILOSOPHI ET MARTYRIS

RESPONSIONES AD ORTHODOXOS DE QUIBUSDAM NECESSARIIS QUAESTIONIBUS.

Quæstio 1.

Si antiquum cultum sustulit deus ut sibi non placentem, ejus autem loco christianum ut sibi gratum introduxit, nec tamen orthodoxi soli deo accepti gentilibus et Judaeis et omnibus haereticis numero pares sunt sed pauciores: ecquod argumentum non illius, qui hunc isti cultum praetulit, penuriâ potestatis fieri ut maneat error non eradicatus? Quomodo autem non inutilis istius cultus abrogatio, multa adhuc seductione mundum detinente?

Responsio sive solutio quæstionis.

Quum antiquum deus cultum abrogaverit ac novum per vetus foedus introducere statuerit, quandoquidem hunc, primum quidem verbis divinarum virtutum testimonio confirmatis praedicatum, illius loco introduxit, abolevit judaismum et gentilismum; postea autem operibus per divinas similiter virtutes editis omnem in hominibus et daemonibus errorem eradicat, atque simul cum isto pravarum in mundo haeresium tollit cultum [ac nequitiam] fidei et vitae. Quodsi non omnes, qui cul-

πρῶτον etc.] Ita emendavi vitiosam codd. mstorum et editorum scripturam εἰ μὴ ἀντεισήγαγε, ταύτην ἀντ' ἐκείνης ἀντεισαγαγών, πρῶτον etc.. Maranus vero vult legi εἰ μὲν ταύτην ἀντ' ἐκείνης ἀντεισαγαγών, κηρυττομένην ... μαρτυρουμένοις, πρῶτον μὲν ἀνεῖλεν ἰουδ. etc..

5. ἀνεῖλε] Notus (cv. Joann. XV. 6.) temporis praeteriti usus; Maran. perperam conjecit ἀναιρεῖ. — Mox in codd. mstis et editis exstat λατρείαν * πίστεως. Sylburg. supplevit praepositionem διά, Lang. plenius διὰ τῆς τῶν ὀρθοδόξων, melius Maran. id quod in textu dedi.

ποιήσεως. Εἰ μὴ πάντες οἱ δεξάμενοι [6] τὴν λατρείαν τὴν αὐ-
τὴν δόξαν περὶ τῶν αὐτῶν πραγμάτων τηροῦσι καὶ ἔχουσιν,
ἀλλ' οἱ μὲν ὀρθῶς, ἄλλοι δὲ οὐκ ὀρθῶς, τοῦτο οὐκ ἔστι [7] κα- 392
τηγόρημα τοῦ θεοῦ ἐπὶ πτωχείᾳ δυνάμεως τὸ ἐκείνους ἐκ τῆς
οἰκείας ἀμελείας ἢ ἑτέρας ἀσθενείας ὀρθῶς μὴ νοεῖν τὰ ὑπ' αὐ-
τῶν πιστευόμενα, ἀλλὰ τῆς ἐκείνων ἀμελείας. Εἴρηται δὲ ἐν
τῇ εἰσαγομένῃ λατρείᾳ περὶ τῆς τῶν ὀρθοδόξων ὀλιγότητος ποτὲ
μέν· [8] Πολλοὶ μέν εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί· ποτὲ δέ· [9] Ὅτι
στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ
ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν. Ὡσαύτως καὶ περὶ τῶν αἱ-
ρέσεων, ἃς ὁ κύριος [10] ἐν ταῖς ἑαυτοῦ παραβολαῖς ζιζάνια καὶ
σαπροὺς καλεῖ ἰχθύας. Εἰ τοίνυν μηδὲν ἐψευσμένον ἐστὶν ἐν B
τῇ τῶν Χριστιανῶν λατρείᾳ, ὡς ἡ τῶν πραγμάτων μαρτυρεῖ ἀλή-
θεια, ἐκ τῶν προλαβόντων πεπιστευμένα ποιοῦσα τὰ μέλλοντα,
οὐδαμῶς ἄρα ὑπολέλειπται πρόφασις τοῦ διαβάλλειν τὸν θεὸν
ἐπὶ πτωχείᾳ δυνάμεως ἢ τοῦ ἀνωφελῆ λέγειν τὴν ἀντὶ λατρείας
λατρείαν εἰσαγομένην, τὴν νῦν μὲν λυτικὴν οὖσαν ἰουδαϊσμοῦ
τε καὶ ἑλληνισμοῦ, ὕστερον δὲ καὶ τῶν αἱρέσεων.

Ἐρώτησις β'.

Εἰ τὰ μέλλοντα γίνεσθαι, οἷον πολέμων τρόπαια, ἐχθρῶν C
[1] ἔφοδον καὶ πόλεων ἀναιρέσεις διὰ τῶν ἐπιτιθεμένων αὐταῖς,
προειρήκασι προφῆται καὶ ἀπόστολοι, προεῖπον δὲ καὶ παρ' Ἕλ-
λησι [2] χρησμῶν λόγοι, πόθεν οἱ τούτων κρείττους γνωρίζονται
τῶν ἔξωθεν, παρ' ἑκατέρου μέρους τῆς τῶν ἐσομένων γεγενημένης
προῤῥήσεως;

Ἀπόκρισις.

Τοῦ αὐτοῦ θεοῦ ἐστι πάντα ταῦτα, καὶ ἡ πρόῤῥησις τῶν
λόγων καὶ ἡ ἔκβασις τῶν ἔργων, τοῦ καὶ διὰ τῶν προφητῶν τε D
καὶ ἀποστόλων προμηνύσαντος ἃ ἔμελλε ποιεῖν· ὡσαύτως δὲ καὶ
διὰ τῶν ἔξωθεν τῆς εὐσεβείας αὐτὸς προεμήνυσεν ἃ ἔμελλε ποι-

6. τὴν λατρ.] H. e. christianam religionem.

7. κατηγόρημα] Vulgo mendose παρηγόρημα, id quod jam Wolfius notavit. Infra: διαβάλλειν τὸν θεὸν ἐπὶ πτωχείᾳ δυνάμεως. Etiam Quaestt. Christt. ad Gent. 1. *Resp.* κατηγ. τοῦ θεοῦ.

tum susceperunt, eamdem de iisdem rebus opinionem servant et tenent, sed alii quidem recte, alii autem non recte sentiunt: nequaquam id deo vertendum est ad potestatis penuriam, quod quae illi crediderunt ea vel ob propriam negligentiam vel ob aliam imbecillitatem non recte intelligant, sed illorum negligentiae tribuendum. Dictum est autem in eo qui introductus est cultu de orthodoxorum paucitate nunc quidem: *Multi sunt vocati, pauci vero electi* — nunc vero: *Quod angusta est et arcta via, quae ducit ad vitam, et pauci sunt qui eam inveniunt.* Similiter etiam de haeresibus, quas dominus in suis parabolis *lolium* vocat et *pisces putres.* Si igitur nihil falsi est in Christianorum cultu, ut rerum testatur veritas, quae ex praeteritis fidem facit futurorum: nihil profecto relictum est causae cur deo affingatur potestatis penuria aut inutilis dicatur cultus cultui substitutus, qui nunc quidem judaismum et gentilismum solvit, postea autem etiam haereses solvet.

Quæstio 2.

Si res futuras, ut bellicos triumphos, hostium incursus et urbium per eos qui illas impugnarunt eversiones, praedixerunt prophetae et apostoli, praedixerunt etiam oraculorum apud gentiles responsa: unde cognosci potest nostra exterorum oraculis esse praestantiora, quum ex utraque parte futurorum facta sit praedictio?

Responsio.

Ejusdem dei sunt haec omnia, et per verba praedictio et rerum eventus, qui quidem et per prophetas et apostolos praedixit quae facturus erat; et similiter per eos qui a vera religione alieni sunt ipse praesignificavit quae facturus erat.

8. *Πολλοὶ ... ἐκλεκτοί*] Ev. Matth. XX. 16. XXII. 14..

9. *Ὅτι ... αὐτήν*] Ev. Matth. VII. 14..

10. *ἐν τ. ἑ. παραβ.*] Cf. ev. Matth. XIII..

1. *ἔφοδον*] Fortasse *ἐφόδους*. Maran. *ἔφοδοι* vitiose.

2. *χρησμῶν λόγοι*] Sylburg. composite scribi posse existimat *χρησμολόγοι*. At sequentia id non patiuntur; nam subintelligitur *λόγοι* post *οἱ τούτων*. *Maranus.*

εἶν. Ὥσπερ γὰρ διὰ τοῦ μάντεως [3] Βαλαὰμ τὸν μὲν Ἰσραὴλ εὐλόγησε, τοὺς δ' ἐχθροὺς αὐτοῦ κατηράσατο, ἑκάτερον δὲ ποιήσας διὰ τῆς προμηνύσεως τῶν ἐσομένων, ὡσαύτως δὲ καὶ διὰ μαντείας τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος τὴν ἅλωσιν [4] τῆς Ἱερουσαλὴμ προεμήνυσε, καθά φησιν ὁ προφήτης Ἰεζεκιήλ· [5] Καὶ στήσεται βασιλεὺς Βαβυλῶνος ἐπὶ τὴν ἀρχαίαν ὁδόν, ἐπ' ἀρχῆς 393
[6] τῶν δύο, τοῦ μαντεύσασθαι μαντείαν καὶ τοῦ ἀναβρᾶσαι ῥάβδον καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς [7] καὶ κατασκοπήσασθαι ἐκ δεξιῶν αὐτοῦ· καὶ ἐγένετο ἐπὶ Ἱερουσαλήμ, καὶ τὰ ἑξῆς. Οὕτως καὶ διὰ τῶν παρ' Ἕλλησι μάντεων ὅσα διὰ τῶν ἔργων τὴν ἔκβασιν ἐδέξατο αὐτὸς προεμήνυσε. Διαφορὰ δὲ τῶν προφητῶν καὶ τῶν μάντεων πολλή· πρῶτον μὲν ὅτι [8] θεόν, οὗ τῷ ὀνόματι προεφήτευσαν οἱ προφῆται καὶ οἱ ἀπόστολοι, τούτου ἐσχήκασι τὴν γνῶσιν καὶ τὴν πίστιν καὶ τὴν λατρείαν, καὶ πάντα ὅσα πε- B
ρί τε τῆς τῶν ἑλληνικῶν θεῶν τε καὶ μαντείων καθαιρέσεως καὶ τῆς τῶν χριστιανικῶν πραγμάτων συστάσεως προεῖπον οἱ προφῆται τὴν ἔκβασιν ἐδέξατο· ἔπειτα δὲ οὐδὲν ὧν προεῖπον οἱ μάντεις, ἢ κατὰ τοῦ τῆς ἀληθείας θεοῦ καὶ τῶν σεβομένων αὐτὸν ἢ ὑπὲρ τῆς συστάσεως τῶν ἑλληνικῶν πραγμάτων, τὴν ἔκβασιν ἐδέξατο. Καὶ τούτων μάρτυς [9] ἡ τῶν Ἀσσυρίων ἀναίρεσις, οἳ ἀπὸ τῆς οἰκείας μαντείας ὁρμώμενοι ἔλεγον μὴ ἄνευ κυρίου ἀναβῆναι ἐπὶ τὴν γῆν ταύτην τοῦ ἐρημῶσαι αὐτήν· [10] Κύριός μοι εἶπεν Ἀνάβηθι καὶ ἐρήμωσον αὐτήν· καὶ ἀναβὰς παρὰ τὴν μαν- C
τείαν ἠρημώθη.

Ἐρώτησις γ'.

Εἰ πάντες μὲν ἐν τῇ ἀναστάσει οἱ ἡμαρτηκότες κολάζονται, πλέον δὲ οἱ ἐγνωκότες τὸ τοῦ θεοῦ θέλημα καὶ μὴ ποιήσαντες, [1] τί τὸ κέρδος τοῦ Χριστιανοῦ καὶ τοῦ Ἕλληνος, τοῦ βαπτισθέντος καὶ τοῦ μὴ βαπτισθέντος, τοῦ ὀρθοδόξου καὶ τοῦ μὴ ὀρθοδόξου;

3. *Βαλαάμ*] Cf. Num. XXIV..

4. *τ. Ἱερουσαλήμ*] Vulgo male *τ. Ἰσραήλ*.

5. *Καὶ ... Ἱερουσαλήμ*] Ezech. XXI. 21. sq..

6. *τῶν δύο*] Sc. *ὁδῶν*. Vulgo *τῶν β'*. Sylburg. et Morell. cum Septuaginta *τῶν β'* [*ὁδῶν*]. Tum praebent [*καὶ*] *τοῦ ἀναβρᾶσαι*.

7. *καὶ κατασκ.* etc.] Langus interpres legit *καὶ ἠπατοσκοπήσασθαι*. Mox Sylburg. et Morell. *καὶ ἐγένετο* [*μαντεῖον*] *ἐπὶ Ἱερ.*. Septuaginta *καὶ κατασκοπήσασθαι . ἐκ*

Quemadmodum enim per vatem Balaamum Israeli quidem benedixit, hostes autem ejus exsecratus est, et utrumque per futurorum praedictionem perfecit: ita etiam per vaticinium Nabuchodonosori regi Babylonis expugnationem Hierosolymae praesignificavit, quemadmodum ait propheta Ezechiel: *Et insistet rex Babylonis in viam antiquam, in capite duarum viarum, ut quaerat vaticinium et concutiat virgam et interroget sculptilia et speculetur a dextris suis; et factum est super Hierosolymam,* et quae sequuntur. Sic etiam per gentilium vates quaecumque revera ad eventum perducta sunt ea ipse praemonstravit. Plurimum autem prophetarum et vatum discrimen: primum quidem quod dei, in cujus nomine prophetae et apostoli futura praedixerunt, habuere cognitionem et fidem et cultum, et quaecumque de gentilium deorum et oraculorum eversione et de christianarum rerum constitutione praedixerunt prophetae ea omnia eventum sortita sunt; deinde autem quod nihil eorum quae praedixerunt vates, vel contra veritatis deum ejusque cultores vel de statu rerum gentilium, ad eventum perductum est. Atque horum testis Assyriorum caedes, qui proprio fulti vaticinio dicebant se non sine domino adscendisse in terram hanc ut eam vastarent: *Dominus mihi dixit Adscende et vasta eam;* et quum adscendisset, praeter vaticinium concisus est.

Quæstio 3.

Si in resurrectione omnes quidem qui peccaverunt puniuntur, gravius autem qui cognoverunt dei voluntatem nec fecerunt: ecquod lucrum Christiani et gentilis, baptizati et non baptizati, orthodoxi et non orthodoxi?

δεξιῶν αὐτοῦ ἐγένετο τὸ μαντεῖον ἐπὶ Ἱερ..

8. *θεόν ... τούτου*] Anacoluthon.

9. *ἡ*] Hunc articulum Maran. male omisit. — Dein codd. msti et Stephan. *Ἀσυρίων*.

10. *Κύριος ... αὐτήν*] 2. Regg. XVIII. 25. (Jesai. XXXVI. 10.). Cf. Quaest. 146..

1. *τί τὸ κέρδος*] Reg. in marg. *τί τὸ διαλλάττον* (*ecquod discrimen*). Maranus ex Clar. dedit *τί τὸ διαλλάττον, τί τὸ κέρδος*.

Ἀπόκρισις.

Εἰ κατὰ τὸν ἀπόστολον [2] Παῦλον ὁ πιστὸς ὁ μὴ προνοῶν D
τῶν ἰδίων [3] ἀρνησίθεός ἐστι καὶ τῶν ἀπίστων χείρων, [4] ὁ μὴ σὺν τῇ γνώσει καὶ πίστει καὶ τῷ βαπτίσματι καὶ τὸν τρόπον ἐπαγόμενος χαρακτηριστικὸν τῆς τοῦ Χριστοῦ μαθητείας, ἀλλὰ μόρφωσιν μὲν ἔχων εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένος, χείρων ἐστὶ τῶν ἀπίστων. Οὕτως τοσοῦτον χεῖρόν ἐστι τὸ μετὰ γνώσεως ἁμαρτάνειν τοῦ ἄνευ γνώσεως, ὅσον τὸ ἀναπολόγητον ἁμάρτημα τοῦ ἀπολογίαν ἔχοντος ἁμαρτήματος.

Ἐρώτησις δ΄. 394

Εἰ πάσῃ δυνάμει ἔσπευσαν οἱ αἱρετικοὶ γνῶναι καὶ φυλάξαι τὴν τῶν δογμάτων ἀλήθειαν καὶ οὐκ ἴσχυσαν, πῶς οὐκ ἄδικον τὸ τούτους ὡς ἀποσφαλέντας τῆς ἀληθείας ὑποβάλλειν κολάσεσιν;

Ἀπόκρισις.

Τοσοῦτον οὐκ ἐζήτησαν οἱ αἱρετικοὶ πάσῃ δυνάμει τὴν ἀλήθειαν, ὅτι καὶ ἀποδεικνυμένην αὐτοῖς παρὰ τῶν ταύτην εὑρηκότων [1] οὔτε ἤκουσαν οὔτε ἠνέσχοντο δέξασθαι αὐτήν. Καὶ εἰ μὲν B
ἀληθὴς αὕτη ἡ ἀπολογία, ἐχρῆν [2] αὐτοὺς ἀλλήλοις συγγινώσκειν σφαλλομένοις, ὡς ἀσθενείᾳ δυνάμεως καὶ οὐ πονηρίᾳ γνώμης τὰς αἱρέσεις συστησαμένοις μαχομένας ἑαυταῖς τε καὶ τῇ ἀληθείᾳ. Νῦν δὲ καθὰ κατακρίνουσιν ἀλλήλους ἐπὶ τῷ ἀλλοτρίῳ τοῦ φρονήματος, δῆλοί εἰσιν ὅτι [3] ἐκ φιλοδοξίας ἢ ἀντιπαθείας τῶν αἱρεσιαρχῶν πᾶσαι [4] αἱ αἱρέσεις τὰς ἀφορμὰς ἐσχήκασι τῆς συστάσεως αὐτῶν· δι' ἣν αἰτίαν λύκοι βαρεῖς [5] ὑπὸ τοῦ ἀποστόλου ὠνομάσθησαν οἱ τῶν αἱρέσεων ἀρχηγοί. Ὅτι δὲ ἀδύνατόν ἐστι μὴ τυ- C
χεῖν τῆς εὑρέσεως τῷ ἐν ὅλῃ καρδίᾳ τε καὶ δυνάμει ἐπιζητοῦντι τὴν ἀλήθειαν, μαρτυρεῖ ὁ κύριος λέγων· [6] Πᾶς ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

Ἐρώτησις ε΄.

Εἰ ἐν ταῖς ἐκκλησίαις τῶν αἱρετικῶν [1] δυνάμεις ἐνεργοῦνται,

2. Παῦλον] Ep. 1. ad Tim. V. 8..

3. ἀρνησίθεος] Vulgo ἀρνησόθεος.

4. ὁ] Vulgo ὡς. Id in ὁ mutandum esse jam Maran. observavit.

1. οὔτε ἤκουσαν] Ita conjecit Maran. pro vulgata scriptura οὔτε ἴσχυσαν, quae prorsus est contra nexum sententiarum. — Illud autem εὑρηκότων non excogitatam (Maran.) ab orthodoxis sed ab iis cognitam indicat veritatem.

Responsio.

Si secundum apostolum Paulum fidelis, qui suorum curam non habet, deum abnegavit et infidelibus deterior est: qui cognitioni et fidei et baptismo non eam adjungit vitam quae Christi disciplinae indicium est, sed formam quidem habet pietatis, virtutem autem ejus abnegat, is deterior est infidelibus. Itaque tanto pejus est cum cognitione peccare quam sine cognitione, quanto peccatum inexcusabile gravius est eo quod habet excusationem.

Quæstio 4.

Si totis viribus conati sunt haeretici cognoscere et servare dogmatum veritatem nec potuerunt: quomodo non iniquum eos ut a veritate aberrantes poenis subjicere?

Responsio.

Adeo non quaesiverunt haeretici totis viribus veritatem, ut etiam sibi ab iis quibus ea obtigit demonstratam neque audierint neque suscipere dignati sint. Atque haec quidem si vera esset excusatio, oportebat ut sibi invicem labentibus ignoscerent, ut virium infirmitate neque animi pravitate haereses secum et cum veritate pugnantes conflantibus. Nunc autem dum se invicem condemnant alienae sententiae nomine, manifestum est ex gloriae studio aut mutuis haeresiarcharum odiis haereses omnes consistendi causas habuisse; quapropter *lupi graves* ab apostolo vocati sunt haeresium duces. Fieri autem non posse ut veritatem non inveniat qui eam toto corde et totis viribus quaerit, testis est dominus dicens: *Omnis qui petit accipit*, *et qui quaerit inveniet*, *et pulsanti aperietur*.

Quæstio 5.

Si in ecclesiis haereticorum potenter facta eduntur, velut

2. αὐτοὺς] Vulgo αὐτοῖς.

3. ἐκ φιλοδοξίας] Jam Clemens Alex. Strom. VII. c. 16. §. 103. ex gloriae studio natas esse haereses contendit.

4. αἱ] Morell. errore omisit.

5. ὑπὸ τ. ἀποστ.] Actt. apostt. XX. 29..

6. Πᾶς . . . ἀνοιγήσεται] Ev. Matth. VII. 8..

1. δυνάμεις ἐνεργοῦνται] Conceditur id in responsione; sed vid. Quaest. 100..

οἷον νοσημάτων ἰάσεις καὶ πνευμάτων διωγμοὶ ἀκαθάρτων, καρπῶν γῆς φορὰ καὶ ἐλαίου ἀναβλύσεις, πῶς οὐκ ἀνάγκη ἐκ τούτων ἐν τῇ πλάνῃ βεβαιοῦσθαι ἐκείνους;

Ἀπόκρισις. D

Ὥσπερ [2] τὸ ἀνατέλλειν τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχειν ἐπὶ δικαίους καὶ ἀδίκους οὐκ ἔστι βεβαιωτικὸν πονηρῶν καὶ ἀδίκων ἐν τῇ πονηρίᾳ καὶ ἀδικίᾳ ἀλλὰ παρασκευαστικὸν εἰς δικαίαν τιμωρίαν, οὕτως οὐκ ἔστι βεβαιωτικὸν τῶν αἱρετικῶν ἐν τῇ πλάνῃ τὸ ἐνεργεῖν τινας ἐν αὐτοῖς δυνάμεις. Εἰ γὰρ ἦν ἀπόδειξις καὶ σημεῖον εὐσεβείας τὸ ἐνεργεῖν δυνάμεις, οὐκ ἂν ὁ κύριος ἀδοκίμους τε καὶ ἀναξίους τῆς πρὸς αὐτὸν 395 οἰκειώσεως [3] ἀπεφαίνετο τοὺς εἰρηκότας· [4] Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; λέγων πρὸς αὐτούς· Οὐδέποτε ἔγνων ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Οὐκ [5] εἰπών, διδάξας ἡμᾶς, [6] ψωμίζειν καὶ ποτίζειν τὸν πεινῶντα καὶ διψῶντα, πολὺ μᾶλλον αὐτὸς τὰ ὅμοια ὧν ἐδίδαξεν ἡμᾶς ποιεῖ, σωρεύων πῦρ ἐπὶ τὰς κεφαλὰς [7] αὐτῶν τῶν B ἀξίως τὸν σωτῆρα τῆς πίστεως οὐκ ἐγνωκότων;

Ἐρώτησις ς'.

Εἰ ἐν τοῖς ἀλγοῦσι καὶ ἡδομένοις τὸ παθητικὸν διαδείκνυται, [1] τούτου δὲ οἱ ἁμαρτωλοὶ κἀκείνου οἱ δίκαιοι ἐν τῇ κρίσει, πῶς ἀληθεύει ὁ λέγων ἀπάθειαν [2] τοῖς ἀνθρώποις μετὰ τὴν ἀνάστασιν κομίζεσθαι;

Ἀπόκρισις. C

Ἀπαθεῖς λέγομεν ἀναστήσεσθαι, ὅτι ἀφ' ὧν ἐσμὲν κατὰ φύσιν τροπὴν οὐ δεχόμεθα, οὔτε εἰς τὰ ἀντικείμενα κατὰ τὸ ὂν καὶ μὴ ὄν, οὔτε εἰς τὰ ἐναντία κατὰ τὸ μᾶλλον καὶ ἧττον· οἷον

2. τὸ ἀνατέλλειν ... ἀδίκους] Cf. ev. Matth. V. 45..

3. ἀπεφαίνετο] Vulgo ἀποφαίνεται.

4. Κύριε ... ἀνομίαν] Ev. Matth. VII. 22. sq..

5. εἰπών, δ. ἡμᾶς] Vulgo εἶπον, δ. ὑμᾶς — signo interrogationis post διψῶντα collocato. Jam Maran. censuit εἰπὼν reponendum esse.

6. ψωμίζειν etc.] Verba ex ep. ad Rom. XII. 20. desumta.

7. αὐτῶν τῶν] Deest vulgo τῶν. Videlicet ob similitudinem cum ultima praecedentis vocis syllaba facile po-

morborum sanationes et spirituum impurorum expulsiones, fructuum terrae proventus et olei scaturigines: quomodo ex his necesse non est illos in errore confirmari?

Responsio.

Quemadmodum id quod sol oritur super malos et bonos et quod pluit super justos et injustos nequaquam confirmatio est malorum et injustorum in malitia et injustitia sed praeparatio justi supplicii, ita non est haereticorum in errore confirmatio quod nonnulli apud eos potenter facta edunt. Nam si argumentum et signum pietatis esset edere potenter facta, nequaquam dominus reprobos et indignos qui secum sint pronuntiasset eos qui dicunt: *Domine, nonne in tuo nomine prophetavimus et in tuo nomine daemonia ejecimus et in tuo nomine multa potenter facta edidimus?* dicens iis: *Nunquam novi vos, discedite a me qui operamini iniquitatem!* Nonne quum edixerit, docens nos, ut cibum et potum demus ei qui esurit et sitit, multo magis ipse similia facit iis quae nos docuit, coacervans ignem in capita eorum qui non digne donatorem fidei cognoverint?

Quæstio 6.

Si in iis qui dolent et laetantur perpessio ostenditur, illud autem peccatores et hoc justos in judicio manet: quomodo vera loquitur qui statum perpessionis expertem hominibus post resurrectionem dicit conferri?

Responsio.

Perpessionis expertes resurrecturos dicimus, quia ab iis quae secundum naturam sumus mutationem non accipiemus, neque in opposita secundum id quod est et quod non est, neque in contraria secundum magis et minus: exempli gratia

tuit interire.

1. *τούτου...κἀκείνου*] Exspectabas *ἐκείνου ... καὶ τούτου*. Ex antecedentibus autem suppleas *παθητικοὶ ἔσονται* aut (Maran. c. Sylburgio) *ἀντιλήψονται* vel simile quidpiam.

2. *τοῖς ανθρώποις*] Etiam accus. casu *τοὺς ἀνθρώπους* legi potest, si *κομίζεσθαι* active capiamus pro *accipere*, ut infra Quaest. 84.. *Sylburgius*.

ἐκ τῆς χαρᾶς οὐ τρεπόμεθα εἰς τὴν λύπην, οὔτε χαίρομεν ἐπὶ τοῦ αὐτοῦ ἀγαθοῦ ποτὲ μὲν μᾶλλον, ποτὲ δὲ ἧττον, κἂν ἐπὶ μείζονος ἀγαθοῦ μᾶλλον χαίρομεν, ἐπὶ ἐλάττονος δὲ ἧττον· ἀλλὰ καὶ οὕτως κατὰ τὴν ἀναλογίαν τῶν ἀγαθῶν [3] μένει τὸ ποσὸν D
τῆς χαρᾶς ἄτρεπτον. Καὶ τοῦτο μὲν ἐπὶ τῶν εἰς ζωὴν ἀνισταμένων· ἐπὶ δὲ τῶν εἰς κρίσιν ἀνισταμένων ὁ αὐτὸς λόγος, ὅταν ἀπαλλάττωνται ὥσπερ τοῦ θανάτου κρίσεως· [4] καὶ γὰρ τῶν ἀνισταμένων οἱ μὲν εἰς ζωήν, οἱ δὲ εἰς κρίσιν ἀνίστανται.

Ἐρώτησις ζ΄.

Εἰ τροπῆς γνώρισμα τὸ τὰ καλὰ καὶ τὰ φαῦλα λαμβάνειν εἰς ἔννοιαν, πῶς ἄτρεπτοι οἱ κολαζόμενοι καὶ τὴν τῶν δικαίων λογιζόμενοι ἄνεσιν, ἢ πάλιν οἱ ἐν ἀνέσει τυγχάνοντες καὶ τὴν 396
τῶν ἁμαρτωλῶν ἐνθυμούμενοι κόλασιν; Τότε γὰρ ἑκάτερον ἐν θατέρῳ δίδωσι πλείονα τὴν αἴσθησιν, ὅτε τῶν ἐναντίων ἡ παράθεσις γίνεται.

Ἀπόκρισις.

Ἐν τῷ μέλλοντι αἰῶνι τὸ ποσὸν τῆς αἰσθήσεως τιμῆς τε καὶ τιμωρίας *) ἐν τῷ μέτρῳ κεῖται, καὶ οὐκ ἐνδέχεται τῇ παραθέσει τῶν ἀντικειμένων δέξασθαι τὴν αἴσθησιν τὴν αὔξησιν ἢ τὴν μείωσιν· ἄτρεπτα γὰρ τὰ ἐκεῖ πάντα, ὥσπερ κατὰ τὸ ποιὸν B
οὕτως καὶ κατὰ τὸ ποσόν.

Ἐρώτησις η΄.

Εἰ τὴν γνῶσιν καλοῦ τε καὶ κακοῦ παρὰ τοῦ θεοῦ καὶ [1] τὸ εἶναι εἰλήφαμεν, πῶς οὐκ ἔστιν αἴτιος ἑκατέρου ὁ καὶ τὴν γνῶσιν ἀμφοτέρων καὶ δύναμιν ἐγκαταβεβλημένος τῇ φύσει πρὸς τὴν ἐκείνων ἐκπλήρωσιν;

Ἀπόκρισις.

Οὐ μόνον [2] τοῦ εἶναι ἡμᾶς καὶ τοῦ γινώσκειν τε καὶ πράτ- C
τειν τὸ καλόν τε καὶ τὸ κακὸν δέδωκεν ἡμῖν τὴν δύναμιν ὁ θεός, ἀλλὰ καὶ τὸ αὐθαίρετον ἡμῖν ἐχαρίσατο καὶ τοῦ κατὰ προτίμησιν αἱρεῖσθαι τῶν γινωσκομένων τὸ δοκοῦν κατέστησεν ἡμᾶς κυ-

3. μένει] Fortasse μενεῖ.

4. καὶ γὰρ τῶν] Ita Sylburg. et Morell., emendata Stephani lectione (ex Reg.) κατὰ γὰρ τῶν. Maran. vero scripsit κατὰ γὰρ θάτερα τῶν — (Clar. κατὰ τέρατα γὰρ τῶν et ad marg. θάτερα). Respicit scriptor ad ev. Joann. V. 29..

*) ἐν τῷ μ. κ.] Stephanus apposuit τιμῆς τε καὶ τιμωρίας, quae

ex gaudio non vertemur in tristitiam, neque gaudebimus in eodem bono nunc quidem magis, nunc autem minus, quamvis in majore bono magis gaudeamus, in minore minus; sed sic quoque pro bonorum ratione manet immutabilis mensura gaudii. Atque id quidem de iis qui in vitam resurgent: de iis autem qui in judicium resurgent eadem est ratio, quum judicio veluti quadam morte defuncti fuerint; etenim resurgentium alii in vitam, alii in judicium resurgent.

Quæstio 7.

Si mutationis signum est bona et mala cogitatione intueri: quomodo immutabiles qui puniuntur et justorum considerant requiem, aut rursus qui in requie sunt et peccatorum supplicia cogitant? Tunc enim utrumque in altero acriorem sensum efficit, quum contrariorum fit comparatio.

Responsio.

In futuro saeculo quantus sit sensus praemii et supplicii, in mensura positum est, nec potest eorum quae opposita sunt comparatione sensus augeri aut minui; immutabilia enim illic omnia, ut secundum qualitatem ita etiam secundum quantitatem.

Quæstio 8.

Si cognitionem boni et mali et ut simus a deo accepimus: quomodo non est utriusque causa qui et utriusque cognitionem et facultatem naturae indidit utriusque implendi?

Responsio.

Non solum esse nobis dedit deus et facultatem cognoscendi et faciendi bonum et malum, sed etiam liberum arbitrium nobis largitus est atque ex iis quae cognoscimus id quod nobis videtur optione eligendi dominos nos constituit;

quidem verba codd. mstis haud probata Maranus recte expunxit.

1. τὸ εἶναι] Sic Maran. scite (vid. initium responsionis) monuit legendum esse; vulgata lectio τοῦ εἶναι fluxit a voce praecedente θεοῦ.

2. τοῦ εἶναι] Conjeceris τὸ εἶναι, sed vulgaris scriptura retineri potest ideoque debet.

ρίους· καὶ τὸ ἀγαθοὺς ἡμᾶς εἶναι ἢ κακοὺς οὐκ ἐν τῇ γνώσει ἔθη-
κε τῶν γινωσκομένων, ἀλλ' ἐν τῇ αἱρέσει τῶν αἱρουμένων. [3] Οὐκ
ἄρα ὁ θεός ἐστιν αἴτιος τοῦ εἶναι ἡμᾶς ἀγαθοὺς ἢ κακούς, ἀλλ'
ἡ προαίρεσις. Ὥσπερ γὰρ ὁ ὁρῶν γυναῖκα πόρνην καὶ γινώσκων
ταύτην εἶναι πόρνην οὐκ ἔστι πόρνος ἀπὸ τῆς γνώσεως, ἀλλ' οὔ-
τε εἰ ἡ γνῶσις [4] ἐξυπνίσει τὸ τῆς ἐπιθυμίας πάθος οὐδ' οὕτως D
πόρνος ἐστίν, ἐὰν δὲ συγκατατίθηται τῷ πάθει ἡ προαίρεσις τότ'
ἔστι πόρνος ἢ κατὰ τὴν πρᾶξιν ἢ κατὰ τὴν διάθεσιν, οὕτως καὶ
τῶν ἀγαθῶν καὶ κακῶν ἀνθρώπων οὐχ ἡ γνῶσίς ἐστιν αἰτία τοῦ
ἀγαθοὺς αὐτοὺς εἶναι ἢ κακούς, ἀλλ' ἡ προαίρεσις κατὰ προτί-
μησιν τὸ δοκοῦν αἱρησαμένη.

Ἐρώτησις θ'.

Εἰ τὰ προλεχθέντα δέδωκεν ὁ θεός, στεφανοῖ δὲ καὶ κο-
λάζει πρὸς τὴν πρᾶξιν τῶν ἀνθρώπων ἕκαστον, πῶς δικαίως ποι- 397
εῖται ἀμφότερα, ἑκάτερα παρ' [1] αὐτοῦ τοῦ ἀνθρώπου ἔχοντος;

Ἀπόκρισις.

[2] Τὸ ἡμῖν καὶ τὸ ἐφ' ἡμῖν ἀλλήλων διαφέρει· ἡμεῖς μὲν ἄῤῥε-
νες καὶ θήλειαί ἐσμεν, ἐφ' ἡμῖν δὲ τὸ εἶναι σώφρονας ἢ πόρ-
νους. Στεφανούμεθα οὖν ἢ κολαζόμεθα διὰ τὸ ἐφ' ἡμῖν· ἐφ'
ἃ γὰρ ἡ προαίρεσις ἡμῶν ἄγει ἡμᾶς, διὰ ταῦτα ἢ στεφανούμε-
θα ἢ κολαζόμεθα. Καὶ γὰρ πρὸς τὸ πράττειν δέδωκεν ἡμῖν ὁ B
θεὸς δυνάμεις, ἀλλὰ ταύτας ὑπέταξε τῇ ἐξουσίᾳ τῆς προαιρέσεως,
καὶ πρὸς τὴν προαίρεσιν ἔχει ὁ θεὸς τὴν δίκην, κυβερνητικὴν
τῶν ἐν ἡμῖν προαιρετικῶν δυνάμεων, καὶ οὐ πρὸς τὴν φύσιν.
Ἐλάβομεν δὲ παρὰ τοῦ θεοῦ τοῦ πράττειν καὶ τοῦ μὴ πράττειν
τὴν δύναμιν· πράττειν μὲν τὰ δίκαια, οὐ πράττειν δὲ τὰ ἄδικα.
Ὅταν οὖν οὕτως πράττωμεν καὶ μὴ πράττωμεν, δικαίως στεφα-
νούμεθα· μετατιθέντες δὲ τὸ πράττειν καὶ τὸ μὴ πράττειν εἰς τὸ C
ἀντικείμενον, δικαίως κολαζόμεθα.

Ἐρώτησις ι'.

Εἰ τὰ σωματικὰ περὶ τῶν ἐν Ἕλλησι θεῶν παρὰ τῶν ποιη-
τῶν καὶ περὶ τοῦ θεοῦ παρὰ τῶν προφητῶν εἰρημένα κατ' ἀλ-

3. Οὐκ ... προαίρεσις] Videtur respicere ad illud Platonis (cf. Just. Apol. I. c. 44.): Αἰτία ἑλομένου, θεὸς ἀναίτιος.

4. ἐξυπνίσει] Arcerius vult ἐξυπνίσειε.

atque ut boni simus vel mali non in cognitione posuit eorum quae cognoscimus, sed in electione eorum quae eligimus. Non igitur deus causa est cur boni simus vel mali, sed liberum arbitrium. Quemadmodum enim qui videt mulierem meretricem eamque meretricem esse cognoscit nequaquam ex cognitione fornicator est, atque etiamsi cognitio motum exsuscitet libidinis ne sic quidem fornicator est, sed si motui liberum arbitrium assentiatur tunc fornicator est vel facto vel animi affectione: ita etiam bonis et malis hominibus non cognitio causa est cur boni sint aut mali, sed liberum arbitrium quod optione id quod ipsi visum est elegit.

Quæstio 9.

Si ea quae dicta sunt donavit deus, coronat autem et punit pro factis unumquemque hominum: quomodo juste utrumque facit, quum utrumque homo ab eo acceperit?

Responsio.

Differunt inter se *id quod in nobis est* et *id quod in nobis situm est;* nos quidem mares aut feminae sumus, in nobis autem situm est ut casti simus aut fornicatores. Coronamur igitur aut punimur propter id quod in nobis situm est; ad quae enim nos ducit liberum arbitrium nostrum, propter ea aut coronamur aut punimur. Etenim agendi dedit nobis deus facultates, sed eas summisit potestati liberi arbitrii, et judicium exercet deus in liberum arbitrium, quod liberas in nobis facultates gubernat, non in naturam. Accepimus autem a deo faciendi et non faciendi facultatem: faciendi quidem justa, non faciendi autem injusta. Quando igitur sic agimus et non agimus, merito coronamur; sed si utrumque in opposita transferimus, merito punimur.

Quæstio 10.

Si corporea, quae a poetis de gentilium diis et a prophetis de deo dicta sunt, secundum allegoriam alium ha-

1. *αὑτοῦ*] Stephan. male *αὐτοῦ*.

2. *Τὸ ... διαφέρει*] Videlicet *τὸ ἡμῖν* est naturae, *τὸ ἐφ' ἡμῖν* liberi arbitrii.

ληγορίαν ἑτέραν ἔχει τὴν νόησιν, πῶς οὐ μῦθος ἀμφότερα δείκνυται;

Ἀπόκρισις.

Τὰ ἀλληγορικῶς παρὰ τῶν προφητῶν περὶ τοῦ θεοῦ λεχθέντα κατ' ἀναφορὰν ἐλέχθη ἐκ τῶν φύσει εἰς τὸ οὐ φύσει, οἷον ὡς τὸ *) Ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας. Ἐπὶ μὲν τῶν ἀνθρώπων ὠσφράνθη κατὰ φύσιν, ἐπὶ δὲ τοῦ θεοῦ καταχρηστικῶς καὶ οὐ φύσει. Τὰ δὲ παρὰ τῶν ποιητῶν μυθικῶς περὶ τῶν θεῶν λεγόμενα οὐ λέγεται κατ' ἀναφορὰν ἐκ τῶν φύσει εἰς τὸ μὴ φύσει· οὐ γὰρ καταπίνει ἄνθρωπος ἄνθρωπον κατὰ φύσιν, ἵνα κατ' ἀναφορὰν νοήσωμεν καὶ τὸν Κρόνον καταπιόντα τὸν Δία· ἔστι δὲ ὁ περὶ τοῦ καταποθῆναι τὸν Δία μῦθος πλὴν τοῦ ψεύδους οὐκ ἔχων ἄλλο τι. D

Ἐρώτησις ια'.

Εἰ τὸ περιέχον μεῖζον μέν ἐστι τοῦ περιεχομένου κατ' οὐ- 398
σίαν, ἧττον δὲ κατ' ἀξίαν, οἷον οὐρανὸς καὶ γῆ ἀγγέλων [1] καὶ ἀνθρώπων, οἶκος οἰκούντων, σῶμά τε ψυχῆς, περιέχει δὲ τὸ πᾶν ὁ θεός, πῶς οὐκ ἔστιν ἥττων τοῦ παντὸς τῷ λόγῳ τῆς ἀναξίας;

Ἀπόκρισις.

Ὁ λόγος οὗτος οὐκ ἔστι καθόλου· διὸ οὔτε ὑγιῶς ἠρωτήθη. [2] Ὧν γὰρ τὸ ἐναντίον διὰ τῶν αὐτῶν ἐνδέχεται εὑρεθῆναι, ταῦτα ὡς μὴ ἔχοντα τὸ ἀναγκαῖον οὐδὲ τὸ πιστὸν ἔχει. Ἔστι B
γάρ τινα περιεχόμενα ἥττονα ὄντα τῶν περιεχόντων, καὶ τῇ οὐσίᾳ καὶ τῇ ἀξίᾳ, ὡς τὰ γίγαρτα τῶν ὀπωρῶν. Ἔτι δὲ τὰ λεχθέντα περιεκτικὰ τῷ εἶναι περιέχει [3] τὰ περιεχόμενα· μόνος δὲ ὁ θεὸς περιέχει τῇ βουλήσει τὸ πᾶν. Καὶ τὰ μὲν ἄλλα περιέχοντα χρῄζουσι καὶ αὐτὰ τοῦ περιέχοντος· ὁ δὲ θεὸς οὐ χρῄζει τοῦ περιέχοντος αὐτόν. Καὶ τοῖς μὲν ἄλλοις περιεχομένοις τὸ εἶναι

*) Ὠσφράνθη ... εὐωδίας] Genes. VIII. 21..

1. καὶ ἀνθρώπων] Haec in codd. mstis errore omissa sunt: causa cernitur in ultima vocum ἀγγέλων et ἀνθρώπων syllaba. Itaque reposui; jam Langus interpres supplevit. Mox pro τε vulgo τι legitur. — Calculo autem critico prorsus indigna est haec correctio a Sylburgio commendata: οὐρανὸς ἀγγέλων οἶκος, καὶ γῆ ἀνθρώπων ἐνοικούντων, σῶμά τε ψυχῆς.

2. Ὧν γὰρ ... ἀναγκαῖον] Ste-

bent sensum: quomodo non fabulam utraque esse ostenditur?

Responsio.

Quae per allegoriam a prophetis de deo dicta sunt ea per translationem dicta sunt ab iis quae natura ita se habent ad id quod non natura ita se habet, velut illud *Odoratus est dominus odorem suavitatis.* De hominibus quidem *odoratus est* secundum naturam, de deo autem per abusum ac non secundum naturam dicitur. Quae vero a poetis fabulose de diis dicuntur ea non dicuntur per translationem ab iis quae natura sic se habent ad id quod non natura sic se habet; non enim absorbet homo hominem secundum naturam, ut per translationem intelligamus etiam a Saturno absorptum fuisse Jovem: haec autem Jovis absorpti fabula nihil aliud habet praeter mendacium.

Quæstio 11.

Si id quod continet majus est secundum substantiam eo quod continetur, minus vero secundum dignitatem, velut coelum et terra angelis et hominibus, domus incolentibus, corpus anima, continet autem deus omnia: quomodo dignitate non minor est universo?

Responsio.

Ratio haec non est generalis; quare nec recte se habet interrogatio. Quorum enim contrarium per eadem potest inveniri, ea ut necessariam consequutionem non habent ita nec fidem faciunt. Sunt enim nonnulla quae continentur minora iis quae ipsa continent, et substantia et dignitate, ut grana pomis. Praeterea quae continentia dicuntur substantia continent ea quae continentur: solus vero deus voluntate continet universum. Et caetera quidem continentia indigent ipsa quoque alio quod ea contineat: deus vero non indiget alio a quo contineatur. Atque aliis quidem quae continentur esse et per-

phan. verba ista perverse uncinis inclusit.

3. τὰ περιεχόμενα] Sic dedi pro vulg. τὰ περιέχοντα. Jam Lang. recte: *substantiâ continent ea quae continentur.*

καὶ τὸ διαμένειν οὐκ ἔστιν ἐκ τῶν περιεχόντων αὐτά· τῷ δὲ παντὶ ἀμφότερα ὑπάρχει ἐκ τοῦ θεοῦ. Καὶ τὰ μὲν λεχθέντα πε-
ριεκτικὰ διὰ τὰ περιεχόμενα ὑπάρχουσιν· ὁ δὲ θεὸς οὐ διὰ τὸ C
πᾶν ὑπάρχει. Διὸ μείζων ὁ θεὸς τοῦ παντός, ὥσπερ τῇ οὐσίᾳ [4]οὕτως καὶ τῇ ἀξίᾳ.

Ἐρώτησις ιβ'.

Εἰ τὸ περιέχον ἐπὶ φρουρᾷ καὶ συντηρήσει ἐστὶ τοῦ περιεχομένου, πῶς ὁ θεὸς περιέχων τὸ πᾶν οὐκ ἐπὶ φρουρᾷ τοῦ κακοῦ καὶ διαμονῇ περιέχει τὸ πᾶν; Καὶ γὰρ ἐν τῷ μέρει τοῦ παντὸς τὸ κακὸν θεωρεῖται.

Ἀπόκρισις. D

Τὸ πᾶν ἔργον ἐστὶ τοῦ θεοῦ, καὶ τηρῶν ὁ θεὸς τὸ πᾶν τὸ ἔργον ἑαυτοῦ τηρεῖ· καὶ ὥσπερ οὐκ ἐποίησεν ὁ θεός τι φύσει κακόν, οὕτως οὐδὲ τηρεῖ τι φύσει κακόν.

Ἐρώτησις ιγ'.

Εἰ γίνεται ἡ ἀνάστασις διὰ τὴν τῶν βεβιωμένων ἑκάστῳ ἀν-
τίδοσιν, [1]πῶς τὰ βρέφη ἢ καὶ τὰ ἐν γαστρὶ τελευτήσαντα περιτ-
τῶς οὐκ ἀνίστανται, οὔτ' ἔργων ἀμοιβὰς κομιζόμενα οὔτ' ἀνέ- 399
σεως ἢ θλίψεως διὰ τὸ τῆς ἡλικίας ἄωρον λαβεῖν δυνάμενα αἴσθησιν;

Ἀπόκρισις.

Τῷ πιστεύοντι ἀληθὲς εἶναι τὸ [2]Σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει, τούτῳ δυνατὸν καὶ πρέπον ἐστὶ τὸ πιστεύειν καὶ τῶν βρεφῶν τὴν ἀνάστασιν. Ὁ γὰρ τὴν ἀφθαρσίαν αὐτοῖς παρέχων δύναται καὶ τὴν αἰσθητικὴν τῶν [3]προσόντων ἀγαθῶν
χαρίσασθαι αὐτοῖς δύναμιν. Ὧν εἰ μὴ γίνεται ἀνάστασις, εὑρε- B
θήσεται ὁ θεὸς μάτην πλασάμενος αὐτά· εἰ δὲ μάτην ποιεῖ ὁ θεὸς οὐδέν, ἀνάγκη ἄρα καὶ τὰ βρέφη εἰς τὸ εἶναι παραγενέσθαι διὰ τῆς ἀναστάσεως. Πῶς δ' οὐκ ἄκαιρον τὸ πρὸς τὴν ἐκδίκησιν [4]τῆς τῶν βρεφῶν ἀναιρέσεως κατακρίνειν τὸν Ἡρώδην,

4. οὕτως] Mon. οὕτω.

1. πῶς τὰ βρέφη etc.] Cfr. Gregorius Nyss.: Περὶ τῶν πρὸ ὥρας ἀφαρπαζομένων νηπίων.

2. Σπείρεται ... δυνάμει] Ep. 1. ad Cor. XV. 42..

severare minime evenit ab iis a quibus continentur: universo autem utrumque a deo praestatur. Et quae continentia dicuntur exsistunt propter ea quae continentur: deus vero propter universum non exsistit. Quare major deus universo, ut substantia ita etiam dignitate.

Quæstio 12.

Si id quod continet ei quod continetur custodiae est et conservationi: quomodo deus, qui continet universum, non ad custodiam et conservationem mali continet universum? Etenim in parte universi malum perspicitur.

Responsio.

Universum opus est dei, et dum conservat deus universum, opus suum conservat; et quemadmodum deus nihil facit quod natura malum est, ita nec quidquam conservat quod natura malum est.

Quæstio 13.

Si resurrectio propter vitae ab unoquoque actae remunerationem fit: quomodo infantes vel qui in ipso etiam utero mortui sunt non frustra resurgunt, quum neque operum mercedem reportent neque requiei aut afflictionis sensum propter immaturam aetatem percipere possint?

Responsio.

Qui credit verum esse illud *Seminatur in infirmitate, resurgit in virtute*, is potest et debet infantium quoque resurrectionem credere. Nam qui immortalitatem iis praestat potest etiam sentiendi praesentia bona facultatem iis praestare. Si illorum non fit resurrectio, invenietur deus frustra eos formasse; sed si nihil frustra facit deus, necesse est profecto etiam infantes ad esse perduci per resurrectionem. Quomodo autem non absurdum fuerit infantium caedis ulciscendae causa Herodem damnare, si infantes qui vindicandi sunt non ex-

3. προσόντων] Nempe in vita post resurrectionem futura.

4. τῆς τ. βρ. ἀναιρ.] Cf. ev. Matth II. 16..

τῶν βρεφῶν οὐκ ὄντων τῶν ἐκδικουμένων; Μαρτυρεῖ δὲ τούτοις τὰ τοῦ βαπτιστοῦ Ἰωάννου [5] ἐν τῇ κοιλίᾳ τῆς μητρὸς τῆς ἀγαλλιάσεως σκιρτήματα καὶ [6] ὁ ὕμνος τῶν νηπίων καὶ θηλαζόντων.

Ἐρώτησις ιδʹ. C

Εἰ ἐψευσμένον τυγχάνει καὶ μάταιον τὸ ὑπὸ τῶν αἱρετικῶν διδόμενον βάπτισμα, διὰ τί οἱ ὀρθόδοξοι τὸν προσφεύγοντα τῇ ὀρθοδοξίᾳ αἱρετικὸν οὐ βαπτίζουσιν, ἀλλ' ὡς ἐν ἀληθεῖ τῷ νόθῳ ἐῶσι βαπτίσματι; Εἰ δὲ καὶ χειροτονίαν τύχοι παρ' ἐκείνων δεξάμενος, καὶ ταύτην ὡς βεβαίαν αὐτοὶ [1] ἀποδέχονται. Πῶς οὖν ὁ δεχθεὶς καὶ οἱ δεξάμενοι τὸ ἄμεμπτον ἔχουσιν;

Ἀπόκρισις.

[2] Τοῦ αἱρετικοῦ ἐπὶ τὴν ὀρθοδοξίαν ἐρχομένου τὸ σφάλμα D
διορθοῦται τῆς μὲν κακοδοξίας τῇ μεταθέσει τοῦ φρονήματος, τοῦ δὲ βαπτίσματος τῇ ἐπιχρίσει τοῦ ἁγίου μύρου, τῆς δὲ χειροτονίας τῇ χειροθεσίᾳ· καὶ οὐδὲν τῶν πάλαι μένει ἄλυτον.

Ἐρώτησις ιεʹ.

Εἰ οὐχ ἥμαρτεν ὁ Ἰὼβ [1] ἀρασάμενος τὴν ἡμέραν, δῆλον
ὅτι ὡς δίκαιος ἠκούσθη. Καὶ εἰ μὲν ἠκούσθη, τὸν οἰκεῖον ὁ 400
θεὸς ἀνέτρεψεν ὅρον, καὶ ἀνάγκη ζητεῖν ἐν τῇ θείᾳ γραφῇ τὴν ἐκείνης τῆς ἡμέρας ἀπώλειαν. Εἰ δὲ οὐκ ἠκούσθη, πῶς οὐ δεῖ λέγειν ὅτι ἁμαρτωλὸς ὢν παρηκούσθη; [2] Θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιήσει ὁ θεός. Περὶ δὲ τῶν ἁμαρτωλῶν εἴρηται ὅτι [3] Ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι [4] ὑμῶν.

Ἀπόκρισις.

Ὁ σκοπὸς τοῦ Ἰὼβ οὗτος ἦν ἐν τῇ προκειμένῃ κατάρᾳ ὡς
εἰ ἔλεγεν· Εἴθε ἦν ἡ ἡμέρα ἐκείνη, ἐν ᾗ ἐγεννήθην, κατὰ τὴν B
κατάραν ταύτην κεκατηραμένη. [5] Διὰ τί; Ἵνα ἐγώ, φησί, μὴ

5. ἐν ... σκιρτήματα] Cf. ev. Luc. I. 44..

6. ὁ ὕμνος τ. νηπ. κ. θηλ.] Cf. Ps. VIII. 2..

1. ἀποδέχονται. Πῶς οὖν] Editt. ante Maran. minus recte: ἀποδέχονται, πῶς οὖν.

2. Τοῦ αἱρετ. etc.] Cfr. Guil. Gassii commentatio de hoc Pseudo-Justini scripto, in *Illgeni Zeitschrift für die histor. Theologie* (Lips.) 1842. Fasc. 4. p. 120. sqq..

1. ἀρασάμενος τ. ἡμέραν] Cf. Job. III. 1.. Illud ἀρασ. dictum est

stent? His testimonium perhibent et Joannis Baptistae in utero matris laetitiae exsultatio et hymnus infantium ac lactentium.

Quæstio 14.

Si falsus et vanus est baptismus, qui ab haereticis datur: quare orthodoxi confugientem haereticum ad coetum orthodoxorum non baptizant, sed in spurio eum tamquam in vero relinquunt baptismate? Si forte etiam ordinationem ab illis acceperit, eam quoque ut firmam et stabilem recipiunt. Quomodo ergo et qui admittitur et qui admittunt extra reprehensionem sunt?

Responsio.

Haeretici ad coetum orthodoxorum venientis lapsus emendatur: pravae quidem opinionis mutatione sententiae, baptismi autem unctione sancti unguenti, ordinationis vero manuum impositione; nec quidquam ex prioribus superest quod non solutum sit.

Quæstio 15.

Si non peccavit Jobus maledicens diei nativitatis, patet eum tamquam justum exauditum esse. Ac si quidem exauditus est, propriam deus evertit legem, et quaerere necesse est in divina scriptura illius diei interitum. Sin exauditus non est: quomodo non dicendum erit eum exauditum non fuisse quia peccator erat? Nam *voluntatem timentium ipsum faciet deus.* De peccatoribus autem dictum est: *Si multiplicaveritis orationem, non exaudiam vos.*

Responsio.

Propositum Jobi in ea, quae proponitur, maledictione tale exstitit quasi diceret: Utinam dies illa, in qua natus sum, maledicta secundum hanc maledictionem fuisset! Quare?

pro *καταρασάμενος*, ut ex Resp. patet. Similiter apud scriptores posterioris aetatis *κρίνειν* usurpatur pro *κατακρίνειν*.

2. *Θέλημα . . . θεός*] Ps. CXLIV. 19..

3. *'Εὰν . . . ὑμῶν*] Jesai. I. 15..

4. *ὑμῶν*] Stephan. mendose *ἡμῶν*.

5. *Διὰ τί*; etc.] Sine distinctione Stephanus: *διὰ τί ἵνα ἐγὼ, φησὶ, μὴ ἐγεννήθην* — quasi dice-

ἐγεννήθην. Οὐ γὰρ ἐνδέχεταί τινα γεννηθῆναι ἐν τῇ τοιαύτῃ ἡμέρᾳ τῇ οὕτως κεκατηραμένῃ. Οὐκ ἔστιν οὖν ἡ κατάρα αὕτη οὕτως κεκατηραμένη ὡς ἀναμένουσα τὴν ἔκβασιν· εἰ γὰρ ἦν οὕτως γεγενημένη ἡ κατάρα ὡς ἀναμένουσα τὴν ἔκβασιν, ἀνεκαλέσατο ἂν τὴν ἰδίαν φωνήν, ἀπαλλαγέντος αὐτοῦ τῶν θλίψεων καὶ ἐν τοῖς κρείττοσι γενομένου. Διὰ γοῦν τὴν ὑπερβολὴν τῆς αὐτοῦ θλίψεως τὰ τῆς καρδίας ἐφθέγξατο ῥήματα· [6] ἧς ἀπ' αὐτοῦ, δῆλον ὅτι οὐκέτι τὴν αὐτὴν περὶ τῆς αὐτῆς ἡμέρας ἔσχε τὴν C γνώμην.

Ἐρώτησις ιϛ'.

[1] Εἰ κατὰ τὴν ἡμετέραν φύσιν, εἴ τι γέννημα, τοῦτο τῷ γεννήσαντι ὁμοούσιον, πῶς οὐχὶ κατὰ ταύτην, εἴ τι γεγέννηται, μεθυπάρχει τοῦ γεννήσαντος; Εἰ δὲ μὴ τὸ δεύτερον, οὐδ' ἄρα τὸ [2] πρῶτον ὁμοίως ἡμῖν ἐπὶ τῆς θείας γεννήσεως νοηθήσεται.

Ἀπόκρισις.

Ἡμεῖς, ὡς προηγουμένην τῆς γεννήσεως ἔχοντες τὴν ὕπαρξιν, μετὰ τὴν ὕπαρξιν [3] γεννῶμεν· ὁ δὲ θεὸς ἅμα τῷ ὑπάρχειν ἐγέννησε. Διὸ οὐκ ἔστι παρὰ τῷ θεῷ μεθύπαρξις γεννήματος, D ἐπειδὴ οὐδὲ προὕπαρξις γεννήσεως.

Ἐρώτησις ιζ'.

Εἰ τῶν θείων ὑποστάσεων ἡ ἕνωσίς ἐστιν ἀδιαίρετος, πῶς δύνανται τρεῖς ὑποστάσεις καὶ τρία ὀνομάζεσθαι πρόσωπα καὶ οὐχὶ μᾶλλον μία ὑπόστασις τριώνυμος ἢ τριπρόσωπος;

Ἀπόκρισις.

Τῶν θείων ὑποστάσεων τὸ μὲν τῆς οὐσίας ἕν ἐστιν ἀδιαίρετον, τὸ δὲ αὐτῶν τρεῖς ἐστι διαιρετόν. Διὸ αἱ τρεῖς ὑποστάσεις ἰδιάζουσιν ὀνόμασίν εἰσι τρεῖς· καὶ τὴν ὑπόστασιν, ἣν καλοῦμεν πατέρα, οὐκέτι τὴν αὐτὴν ὑπόστασιν καλοῦμεν καὶ *) υἱὸν 401

re velit (Sylburg.): *Unde factum ut ego non sim natus?*

6. ἧς ἀπ' αὐτοῦ] Subaudiendum, ut observavit Sylburgius, γενομένης, ἀρθείσης vel simile quid.

1. Εἰ κατὰ τ. ἡμ. φύσιν etc.] De Quaestt. 16.—18. cfr. Gass. l. c. p. 57. sqq..

2. πρῶτον ὁμοίως] Sic Maran. pro vulgari interpunctione: πρῶτον. ὁμοίως etc..

Ut ego, inquit, natus non essem. Non enim fieri potest ut quisquam nascatur in ejusmodi die, quae ita sit maledicta. Non est igitur maledictio ista sic concepta ut exitum exspectaret; etenim si sic facta maledictio fuisset ut exitum exspectaret, revocasset propriam vocem, postquam ab afflictionibus liberatus et rebus prosperioribus usus est. Haec ergo verba ob magnitudinem afflictionis ex corde protulit; qua quidem ab eo remota patet eum non jam de eadem die idem sensisse.

Quæstio 16.

Si secundum nostram naturam, si quid genitum est, id genitori consubstantiale est: quomodo non secundum eam, si quid genitum est, post genitorem exsistit? Si secundum de divina generatione non intelligemus, neque primum pari ratione.

Responsio.

Nos, qui priorem generatione exsistentiam habemus, post exsistentiam gignimus; deus autem simul est et gignit. Ideo non est apud deum postexsistentia geniti, quia neque exsistentia ante generationem.

Quæstio 17.

Si divinarum hypostasium conjunctio divelli non potest: quomodo possunt tres hypostases et tres nominari personae ac non potius una hypostasis in tribus nominibus et tribus personis?

Responsio.

Divinarum hypostasium essentiae quidem unitas distinctionem non admittit, trinitas autem earum distinctionem capit. Ideo tres hypostases singularibus nominibus sunt tres; et hypostasin, quam nominamus patrem, non jam eamdem hy-

3. *γεννῶμεν*] In codd. mstis et editis legitur *γενομένης*. Pravam lectionem jam Petavius (Theolog. dogmatum T. II. Par. 1644. Fol. p. 532.) emendavit. Sed quae praecedunt sic male correxit: *ὡς προηγουμένην ἔχοντες τῆς ὑπάρξεως τὴν γέννησιν.*

*) *υἱὸν*] Maran. mavult *υἱοῦ*: *non jam eamdem filii etiam hypostasin dicimus.*

ἀλλ' ἄλλην. Τὴν γὰρ τριάδα τῶν ὀνομάτων τῆς τριάδος λέγομεν εἶναι τῶν ὑποστάσεων, οὐχὶ τῆς μονάδος αὐτῶν. Διὸ εἷς ἐστιν ὁ θεὸς τῷ ἑνὶ καὶ ἀδιαιρέτῳ τῆς οὐσίας, τρία δὲ τὰ πρόσωπα τῇ διαιρέσει τῶν ὑποστάσεων. B

Ἐρώτησις ιη'.

*) Εἰ τὸ μὲν θεὸς τῆς οὐσίας, τὸ δὲ πατὴρ τοῦ προσώπου ἐστὶ δηλωτικόν, πῶς ταὐτὸν τὸ λέγειν υἱὸν θεοῦ τῷ λέγειν υἱὸν τοῦ πατρός;

Ἀπόκρισις.

Ἐὰν διεζευγμένως λέγωμεν τὸν υἱόν, ποτὲ μὲν υἱὸν τοῦ πατρὸς ποτὲ δὲ υἱὸν τοῦ θεοῦ, ἀλλὰ διεζευγμένως αὐτὸν οὐδέποτε νοοῦμεν. Υἱὸς οὖν ἐστι τοῦ πατρὸς ὁ υἱὸς τοῦ κατ' οὐσίαν θεοῦ. Ταὐτὸν δὲ τὸ λέγειν υἱὸν τοῦ πατρὸς τῷ λέγειν υἱὸν τοῦ θεοῦ, ἐπειδή, εἴ τί ἐστι τοῦ προσώπου, τοῦτό ἐστι καὶ C
τῆς τοῦ προσώπου οὐσίας.

Ἐρώτησις ιθ'.

[1] Εἰ ἐν τοῖς ἀπηγορευμένοις ὑπὸ τῶν εὐσεβῶν ἡ τῶν παλμῶν ἐστι παρατήρησις, διὰ τί οἱ εὐσεβεῖς πάσῃ δυνάμει ταύτην ἀπωθεῖν βουλόμενοι οὐκ ἰσχύουσιν, ἢ φαιδρὸν ἢ σκυθρωπὸν μηνυούσης ταύτης; Καὶ εἰ μὲν φαῦλον τοῦτο, πῶς παρὰ τὴν ἡμετέραν ἐπιγίνεται πρόθεσιν; Εἰ δὲ ἀγαθόν, ὅπερ οὐκ οἶμαι, τίνος ἕνεκεν ἀπηγόρευται;

Ἀπόκρισις. D

Ἡ μὲν πρόγνωσις τῶν μελλόντων τῆς ψυχῆς ἐστιν ὑπὸ τοῦ θείου πνεύματος φωτιζομένης πρὸς τὴν εἴδησιν τῶν τέως ἀδήλων, καὶ οὐχ ὑπὸ τῆς ἀβουλήτου κινήσεως τοῦ σώματος. Ὁ δὲ παλμὸς πάθος ἐστὶ σωματικὸν ἐκ τῆς διαδρομῆς τοῦ φυσικοῦ πνεύματος ἐν τῷ σώματι ὑφισταμένου πάντων τῶν ζώων· διὸ ἀνάξιον ἔκρινον οἱ ἅγιοι εἶναι κριτήριον τῶν μελλόντων τὸ τοιοῦτον σωματικὸν κίνημα· καὶ καθάπερ [2] οἱ πταρμοὶ ῥινῶν καὶ οἱ 402
ἦχοι ὤτων παρὰ τὴν ἡμετέραν ἐπιγίνονται πρόθεσιν, οὕτως καὶ

*) Εἰ τὸ μὲν θεὸς τῆς οὐσίας etc.] Nomen θεοῦ substantiam designare docet etiam Expos. rect. fidei c. 3. et 8..

1. Εἰ ἐν τοῖς etc.] Hanc fortuitarum membrorum humanorum palpitationum observationem scriptores veteres saepe commemorant; Suidas

postasin etiam filium nominamus sed aliam. Trinitatem enim nominum esse dicimus trinitatis hypostasium, non unitatis earum. Itaque unus est deus essentiae unitate distinctionem non capiente, tres autem personae distinctione hypostasium.

Quæstio 18.

Si deus quidem substantiam, pater autem personam designat: quomodo idem est dicere filium dei et filium patris?

Responsio.

Si disjunctim dicamus filium, nunc quidem filium patris nunc filium dei dicimus: at disjunctim eum nunquam cogitamus. Filius ergo patris est filius ejus qui secundum essentiam deus est. Idem autem est dicere filium patris et filium dei, quia, si quid ad personam pertinet, id etiam ad personae essentiam pertinet.

Quæstio 19.

Si in rebus, quas pii interdicunt, palpitationum est observatio: quare hanc pii totis viribus repellere volentes non possunt, sive laetum quiddam sive triste indicet? Atque id quidem si malum est: quomodo praeter nostram voluntatem fit? Si vero bonum, quod non puto: quare interdictum est?

Responsio.

Futurorum praecognitio animae est a divino spiritu ad cognitionem rerum latentium illuminatae, minime vero ex involuntario corporis motu. Palpitatio autem est perpessio corporea ex cursu naturalis spiritus, qui corpori inest omnium animalium: quare sancti indignum esse ejusmodi corporis motum decreverunt, penes quem judicium esset futurorum; et quemadmodum sternutatio narium et tinnitus aurium praeter

s. v. *οἰωνιστική*: *Παλμικὸν δέ*, inquit, *τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον, οἷον, εἰ ἐπάλθη ὁ δεξιὸς ἢ ἀριστερὸς ὀφθαλμὸς ἢ ὦμος ἢ μηρὸς ἢ κνησμὸς ἐν τῷ ποδὶ ἢ πρὸς τὸ οὖς ἦχος ἐγένετο, τόδε συμβαίνει.* Observatio autem ista palpitationum ex iisque futurarum rerum praedictio jam in Constitt. apostt. VIII. 32. interdicta est.

2. *οἱ*] Maran. male omisit.

ὁ παλμός. Ἔτι δὲ τοῖς εἰληφόσι τῆς μελλούσης καταστάσεως τὴν ἐλπίδα, καὶ ἕνα ἔχουσι τὸν σκοπὸν τὸ πρὸς ἐκείνην διὰ παντὸς παρεσκευασμένως ἀποβλέπειν, περιττόν ἐστι τὸ φαιδρὸν ἢ σκυθρωπὸν ἐνταῦθα διὰ παλμῶν προγινώσκειν. Καὶ εἰ ὁ αὐτὸς παλμὸς ὁ προμηνύων πλοῦτον προσγίνεται τῷ βιωτικῷ ἀνθρώπῳ καὶ τῷ ἀσκητῇ, πῶς οὐ διέψευσται ἡ διὰ παλμοῦ προμήνυσις τοῦ B πλούτου τῆς προαιρέσεως τοῦ ἀσκητοῦ, [3] οὐ μόνον τὴν ἐπίκτησιν τῶν οὐ παρόντων οὐχ αἱρουμένης ἀλλ' οὐδὲ τὴν κτῆσιν τῶν παρόντων;

Ἐρώτησις κ'.

Εἰ πρὸς θάνατον καὶ φθορὰν οἱ ἁλιεῖς τοὺς ἰχθύας ἀπὸ τῶν ὑδάτων λαμβάνουσι, πῶς εἰς ζωὴν αἰώνιον ὁ δεσπότης Χριστὸς μέλλων διὰ τῶν ἀποστόλων τοὺς ἀνθρώπους εἰσαγαγεῖν ἁλιέας αὐτοὺς ποιεῖν ἀνθρώπων ἐπηγγείλατο;

Ἀπόκρισις. C

[1] Ἐπειδὴ ἐχρῆν τοὺς ὑπὸ τῶν ἀποστόλων ἀγρευομένους ἀνθρώπους τῇ σαγήνῃ τῆς βασιλείας ἀποθανεῖν ἀπὸ τῆς προτέρας αὐτῶν ἐν [2] ἁμαρτίαις ζωῆς, διὰ τοῦτο τῇ ἄγρᾳ τῶν ἰχθύων παρείκασεν ὁ κύριος τὴν ἄγραν [3] τῶν ἀνθρώπων· [4] προσέθηκε δὲ τὸ εἰς ζωήν, τὸ ἐλλεῖπον τοῦ ὑποδείγματος [5] τῷ ὑποδεικνυμένῳ προσθέμενος.

Ἐρώτησις κα'.

[1] Εἰ σώφρονι λογισμῷ κατεχόμενοι οἱ μοναχοὶ τὰς γαμικὰς D ἡδονὰς ἀπεστράφησαν, διὰ τί ἐν ταῖς καθ' ὕπνον φαντασίαις τὰ ἀβούλητα πάσχουσι, καὶ οὐ μόνον εἰς τὰς τυχούσας, ἀλλ' ἔστιν ὅτε καὶ μητράσι καὶ ἀδελφαῖς ὁμιλεῖν ἐν τῇ φαντασίᾳ νομίζουσι;

3. οὐ μόνον] Si ante οὐ μόνον inseras articulum τῆς, concinnior erit membrorum cohaerentia. *Sylburgius.*

1. Ἐπειδὴ ἐχρῆν etc.] Hanc responsionem additamentis auctam Grabius Spicileg. SS. Patrum saec. II. p. 201. dedit ex Macarii Chrysocephali Orat. XI. in Matth. (Cod. Barocc. 156.) Fol. 131.b.

2. ἁμαρτίαις] Grab. ἁμαρτίᾳ. Post ζωῆς exhibet: ἐλθόντας πρὸς τὸ φῶς τῆς θεογνωσίας καὶ τὴν πνοὴν τοῦ παντοκράτορος, τὸ ζωοποιὸν καὶ πανάγιον πνεῦμα.

3. τῶν ἀνθρώπων] Grab. addidit: καὶ τοὺς ἀποστόλους ἐξ ἁλιέων τε ἐξελέξατο καὶ ἁλιέας ποιεῖν ἀνθρώπων ἐπηγγείλατο.

4. πρ. δὲ τὸ εἰς ζωήν] Grab.

nostram voluntatem fiunt, ita etiam palpitatio. Praeterea iis qui acceperunt spem futuri status, atque id unum sibi proponunt ut ad eum in omnibus praeparati respiciant, inutile est hîc laeta aut tristia per palpitationem praenoscere. Ac si eadem palpitatio divitias praenuntians evenit saeculari homini et ascetae: quomodo non mendax est illa per palpitationem praenuntiatio divitiarum in eo quod attinet ad ascetae institutum, quum id non modo acquisitionem absentium non admittat sed ne possessionem quidem praesentium?

Quæstio 20.

Si ad mortem et exitium a piscatoribus pisces ex aquis educuntur: quomodo in vitam aeternam dominus Christus homines per apostolos introducturus piscatores eos hominum se facturum promisit?

Responsio.

Quandoquidem homines sagena regni ab apostolis captos mori anteactae in peccatis vitae oportebat, idcirco capturae piscium comparavit dominus capturam hominum; addidit autem *in vitam*, id quod exemplo deerat adjiciens ei rei quae docebatur.

Quæstio 21.

Si casto animo adducti monachi conjugales voluptates repudiarunt: cur in oblatis per somnum imaginibus involuntaria patiuntur, ac non solum cum quibuslibet, sed etiam cum matribus et sororibus coire sibi in oblatis imaginibus videntur?

πρ. δὲ καὶ τὸ ζωγρῶν κατὰ Λουκᾶν — quae quidem lectio ex prava correctione nata est. Respicit autem Pseudo-Justinus ad locum ev. Luc. V. 10. *ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν* — et ad sententiam explicandam adhibet recte verba *εἰς ζωήν*, quae in versione N. T. syriaca (et persica) exstant; cf. Fr. Eberh. Boysen: *Krit. Erläuterungen d. Grundtextes d. N. T. aus d. syr. Uebersetzung* (Quedlinb. 1761.) P. I. p. 33..

5. *τῷ ὑποδεικν.*] Grab. *ἐπιδεικνυμένῳ.*

1. *Εἰ σώφρονι λογ.* etc.] Tales conscientiae casus in veteribus quaestionum christianarum collectionibus saepe tractantur. Cfr. Gass. l. c. p. 85. sqq..

Τίσιν οὖν χρηστέον πρὸς τὴν ἀπαλλαγὴν τοῦ τοιούτου πολέμου;
Καὶ εἰ τὸν πολεμηθέντα δεῖ τῶν μυστηρίων ἀπέχεσθαι, καί, εἰ
προσιέναι αὐτοῖς ἀναγκαῖον, ἢ λουσάμενον ἢ ἑτέρῳ τοιούτῳ τινὶ
χρησάμενον, ὥστε μὴ ἰουδαϊκῶς καθαίρεσθαι, δίδαξον· ἐπειδὴ 403
πολλή ἐστι περὶ τούτου καὶ παρ' αὐτῶν ἡ ζήτησις.

Ἀπόκρισις.

Ἐπειδὴ οἱ ἀνακείμενοι θεῷ [2] ἄγρυπνον ἔχουσιν ἀντίπαλον,
τὸν πᾶσι τοῖς δυνατοῖς αὐτῷ τρόποις μηχανώμενον θεῖναι τοῖς
εὐσεβέσι μῶμον, διὰ τοῦτο ἀβούλητα καθ' ὕπνους πάσχουσι. Καί-
τοι εἰδὼς ὁ ἀντίπαλος ὅτι ἐν τοῖς οὐκ ἐφ' ἡμῖν οὔτ' ἐπὶ τοῖς
σεμνοῖς ἐπαινούμεθα οὔτ' ἐπὶ τοῖς αἰσχροῖς ψεγόμεθα (οἱ γὰρ
ἔπαινοι καὶ οἱ ψόγοι τῶν μετὰ συγκαταθέσεως τοῦ λογισμοῦ ὑφ' B
[3] ἡμῶν πραττομένων εἰσί) καὶ ὅτι τὰ ἐνύπνια τῶν οὐκ ἐφ' ἡμῖν
ἐστιν, ἀλλ' ὅμως καὶ διὰ τῶν ἐνυπνίων κινεῖ ἐν ἡμῖν ἀμφοτέρων
τὰς πράξεις, καὶ τῶν σεμνῶν καὶ τῶν αἰσχρῶν, ταύτας ἔχων ἐν
αὐτῷ τὰς ἐλπίδας, μήπως ἢ τῇ τῶν σεμνῶν ἐργασίᾳ [4] ἐξεγείραι
ἡμᾶς εἰς ματαίαν καύχησιν τῶν ἡμῖν μὴ πεπραγμένων, ἢ [5] τῇ
τῶν αἰσχρῶν ἐργασίᾳ δυνηθείη εὑρεῖν ἡμᾶς ἐπὶ ἀνόμῳ πράξει
τερπομένους. Ἀλλὰ τὸ μὲν ἰδεῖν τὰ τοιαῦτα ἐνύπνια οὐκ ἔστιν
ἐφ' ἡμῖν, τὸ δὲ τερφθῆναι ἐπὶ τῇ οὕτω ἀβουλήτῳ πράξει ἢ λυ- C
πηθῆναι τοῦτο ἐφ' ἡμῖν ἐστι. Κἂν μὲν οὖν εὕρῃ ἡμᾶς ἐπὶ τῇ
ἀβουλήτῳ πράξει τερπομένους, καυχᾶται ὡς νικητὴς ὁ ἀντίπαλος,
ἐὰν δὲ λυπουμένους, ματαιοῦται τῇ βουλῇ ἡττώμενος. Ἱκανὸν
οὖν ὑπάρχει πρὸς τὴν ἀπαλλαγὴν τοῦ κακοῦ μηχανήματος τὸ λυ-
πηθῆναι ἐπὶ τῷ ἀβουλήτως συμβεβηκότι καὶ δάκρυσιν ἀποπλύ-
νειν τὸ μυσαρὸν τῶν οὕτως [6] ἀβουλήτως ἐν ἡμῖν ὑφισταμένων
φαντασιῶν. Ἀπέχεσθαι δὲ τοὺς οὕτως τὰ ἀβούλητα πάσχοντας
τῆς κοινωνίας τῶν θείων μυστηρίων, [7] οὐδόλως δίκαιόν ἐστιν· εἰ D
δὲ μή γε, ἀναιροῦμεν κατὰ τοῦτο τῶν βουλητῶν τε καὶ τῶν ἀβου-
λήτων κακῶν τὴν διαφοράν.

2. ἄγρ. ἔ. ἀντίπαλον] H. e. diabolum.

3. ἡμῶν] Stephan. male ὑμῶν.

4. ἐξεγείραι] Hoc Maran. bene conjecit pro vulg. ἐξεγείρας. At male censet Sylburg. scribendum ἐξεγείρας ... πεπραγμένων ἐ μ β ά λ η aut aliud hujusmodi verbum.

5. τῇ] Sylburg. opinatur aut

Quibus igitur rebus utendum est ad ejusmodi bellum propulsandum? Atque utrum is qui fuit oppugnatus debeat abstinere a mysteriis, aut, si necesse est ad ea accedere, utrum lotum an alia re ejusmodi utentem, ne judaico more expurgetur, edoce: quia ea de re apud ipsos quoque frequens est quaestio.

Responsio.

Quandoquidem qui deo consecrati sunt pervigilem habent adversarium, qui omnibus modis penes ipsum sitis machinatur ut piis maculam inurat, idcirco involuntaria in somnis patiuntur. Quamquam scit adversarius nos in iis quae sita in nobis non sunt neque laudem, si honesta sunt, neque vituperium, si turpia, reportare (laudes enim et vituperia eorum sunt quae a nobis cum rationis assensu peraguntur) atque somnia ex eo genere esse quod in nobis situm non est: tamen etiam per somnia commovet in nobis utrarumque rerum actiones, et honestarum et turpium, has in se spes habens, num forte aut rerum honestarum effectione ad inanem de iis quae non egimus gloriationem nos excitet, aut turpium actione de inique facto laetantes nos invenire possit. Sed ut haec quidem somnia videamus in nobis situm non est, ut autem involuntario ejusmodi facto laetemur aut doleamus in nobis situm est. Si igitur inveniat nos involuntaria actione laetantes, gloriatur adversarius ut victor, sin autem dolentes, debilitatur fracto consilio. Satis est igitur, ut a prava machinatione liberemur, de iis dolere quae nobis praeter voluntatem acciderunt et lacrimis piaculum abluere imaginum quae sic praeter voluntatem in nobis exstiterunt. Sed ut abstineant a communione divinorum mysteriorum qui ejusmodi involuntaria passi sunt, neutiquam aequum est: sin minus, tollimus per hoc voluntariorum et involuntariorum malorum discrimen.

ante articulum istum ponendam esse ἐν praepositionem aut post verba τῇ τῶν αἰσχ. ἐργασίᾳ participium ἐμβαλὼν subaudiendum vel aliud consimile.

6. ἀβουλήτως] Vulgo ἀβουλήτων.

7. οὐδόλως] Exspectabas οὐχ ὅλως vel οὐδαμῶς. Non muto.

Ἐρώτησις κβʹ.

Εἰ τῷ σίτῳ συναυξάνεσθαι τὰ ζιζάνια ὁ δεσπότης Χριστὸς [1] ἀπεφήνατο, πῶς τὰ μὲν ζιζάνια πεπλήθυνται, σχεδὸν δὲ ὁ σῖτος ἐξέλιπε; Καὶ τίς ἡ ἀπόδειξις τοῦ εἶναι σῖτον τὸν ἐκλείψαντα; Πῶς δὲ τῆς συναυξήσεως τούτων ἡ πρόῤῥησις οὐ διέψευσται;

Ἀπόκρισις.

Ἀπόδειξις τοῦ σῖτον εἶναι τὸν ἐκλείψαντα αὕτη ἐστὶν ἡ [2] παρ' 404
αὐτοῦ πρόῤῥησις λέγουσα· [3] Διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Καὶ πάλιν· [4] Ἐν ὑστέροις καιροῖς ἀφίστανταί τινες τῆς πίστεως καὶ προσέχουσι πνεύμασι πλάνοις καὶ διδασκαλίαις ἀνθρώπων. Καὶ πάλιν· [5] Ἀπὸ μὲν τῆς ἀληθείας ἀποστρέφονται, πρὸς δὲ τοὺς μύθους ἐκτραπήσονται. Καὶ πάλιν· [6] Εἰσελεύσονται εἰς ὑμᾶς λύκοι βαρεῖς, μὴ φειδό- B
μενοι τοῦ ποιμνίου, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. Ὅτι δὲ ἕως τῆς συντελείας τοῦ αἰῶνος οὐκ ἐκλείπει ὁ σῖτος, δηλοῖ ὁ κύριος λέγων· [7] Διὰ δὲ τοὺς ἐκλεκτούς, οὓς ἐξελέξατο ὁ πατήρ, κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. Ἀλλ' εἰ μὲν συνέβη τι τῷ σίτῳ τὸ μὴ εἰρημένον περὶ αὐτοῦ αὐξομένου τε καὶ ἐκλείποντος, δῆλον ὅτι διέψευσται ὁ περὶ αὐτοῦ λόγος· εἰ δὲ ἐξ ἀρχῆς τοῦ κηρύγματος ἕως τῆς συντελείας τοῦ αἰῶνος πάντα τὰ συμβησόμενα αὐτῷ διὰ τῶν προῤῥήσεων δέδοται, φανερὸν ὑπάρ- C
χει ὅτι οὐδαμῶς διέψευσται ὁ περὶ αὐτοῦ λόγος. Ἀλλ' εἰ μέν ἐστι τὰ ζιζάνια, ἀνάγκη εἶναι καὶ τὸν σῖτον· ἐκ γὰρ τῆς ἀλλήλων παραθέσεως ὁ μὲν σῖτος γνωρίζεται ὅπερ ἐστίν, ὡσαύτως καὶ τὰ ζιζάνια· καὶ θατέρου μὴ ὄντος οὐδὲ τὸ ἕτερον γνωρίζεται ὅπερ ἐστίν.

Ἐρώτησις κγʹ.

Εἰ πρὸ μὲν τοῦ πάθους ὁ κύριος ηὔχετο ἁγιασθῆναι ὑπὸ τοῦ πατρὸς τοὺς μαθητάς, μετὰ δὲ ταῦτα ὁ Ἰούδας ἀπώλετο, πῶς ἡ ὑπὲρ αὐτῶν προσενεχθεῖσα εὐχὴ φαίνεται δεδεγμένη; Πῶς D
δὲ δείκνυται ἀληθὲς καὶ τὸ [1] Οἶδα ὅτι πάντοτέ μου ἀκούεις;

1. ἀπεφήνατο] Cf. ev. Matth. XIII. 30..

2. παρ' αὐτοῦ] H. e. Christi. Maranus perperam conjecit περὶ αὐτοῦ.

3. Διὰ...πολλῶν] Ev. Matth. XXIV. 12..

4. Ἐν...ἀνθρώπων] Ep. 1. ad Tim. IV. 1..

Quæstio 22.

Si dominus Christus pronuntiavit fore ut una cum tritico lolium crescat: quomodo lolium quidem multiplicatum est, triticum autem paene defecit? Et quo argumento triticum esse patet id quod defecit? Quomodo autem non falsa praedictio fore ut una crescant?

Responsio.

Triticum esse id quod defecit argumento est haec illius praedictio quae dicit: *Propter auctam iniquitatem refrigescet caritas multorum.* Et rursus: *Ultimis temporibus discedunt quidam a fide et attendunt spiritibus erroris et doctrinis hominum.* Et rursus: *A veritate quidem avertentur, ad fabulas autem convertentur.* Et rursus: *Intrabunt in vos lupi rapaces, non parcentes gregi, ut discipulos avulsos reddant ipsorum sectatores.* Futurum autem ut usque ad consummationem saeculi triticum non deficiat, dominus declarat dicens: *Propter electos autem, quos elegit pater, abbreviabuntur dies illi.* Sed si quid evenit tritico quod de eo crescente et deficiente dictum non sit, patet falsum esse id quod de eo dictum est; sin autem quae ei ab initio praedicationis usque ad consummationem saeculi eventura erant omnia per praedictiones edita sunt, manifestum est minime falsum esse quod de eo dictum est. Porro si est lolium, necesse est etiam triticum esse: nam ex alterius cum altero comparatione triticum quid sit cognoscitur, consimiliter etiam lolium: et si alterum non sit, neque alterum quid sit cognoscitur.

Quæstio 23.

Si ante passionem dominus precatus est ut sanctificarentur a patre discipuli, postea autem Judas periit: quomodo oblata pro illis precatio videtur accepta fuisse? Quomodo autem verum ostenditur etiam illud *Scio te semper me audire?*

5. *Ἀπὸ...ἐκτραπήσονται*] Ep. 2. ad Tim. IV. 4..

6. *Εἰσελεύσονται ... αὐτῶν*] Actt. apostt. XX. 29. sq..

7. *Διὰ ... ἐκεῖναι*] Ev. Matth. XXIV. 22..

1. *Οἶδα ... ἀκούεις*] Ev. Joann. XI. 42..

Ἀπόκρισις.

Ἡ μὲν τοῦ Ἰούδα ἀπώλεια ἔκτοτε γεγένηται, ἐξ ὅτου λαβὼν ὁ Χριστὸς τὸ ψωμίον καὶ βάψας αὐτῷ δέδωκε· [2] καὶ λαβὼν τὸ ψωμίον ὁ Ἰούδας εἰσῆλθεν εἰς αὐτὸν ὁ σατανᾶς, καὶ ἐξελθὼν ἀπέῤῥηξεν ἑαυτὸν τῶν λοιπῶν μαθητῶν. Ἡ [3] δὲ ὑπὲρ τῶν μαθητῶν εὐχὴ μετὰ τὸν χωρισμὸν τοῦ Ἰούδα ἐγένετο· καὶ τοῦτο δείκνυται ἐξ αὐτῆς τῆς εὐχῆς, ὅτε εὐξάμενος ὁ κύριος ἔλεγεν· [4] Οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. Γέγονε μὲν 405
οὖν πρῶτον ἡ τοῦ Ἰούδα ἀπώλεια, ὕστερον δὲ ἡ ὑπὲρ τῶν μαθητῶν εὐχή, ἔπειτα δὲ τὸ πάθος τοῦ σωτῆρος.

Ἐρώτησις κδ΄.

Εἰ θεός ἐστι δημιουργὸς καὶ δεσπότης τῆς κτίσεως, πῶς τὰ Ἀπολλωνίου τελέσματα ἐν τοῖς μέρεσι τῆς κτίσεως δύνανται; Καὶ γὰρ θαλάττης ὁρμὰς καὶ ἀνέμων φορὰς καὶ μυῶν καὶ θηρίων ἐπιδρομάς, [1] ὡς ὁρῶμεν, κωλύουσι. Καὶ εἰ τὰ ὑπὸ τοῦ κυρίου μὲν γινόμενα θαύματα ἐν μόνῃ τῇ διηγήσει φέρεται, τὰ δὲ παρ' B
ἐκείνου πλεῖστα καὶ ἐπ' αὐτῶν τῶν πραγμάτων δεικνύμενα, πῶς οὐκ ἀπατᾷ τοὺς ὁρῶντας; Καὶ εἰ μὲν κατὰ θείαν τοῦτο συγχώρησιν γέγονε, πῶς ὁδηγὸς εἰς ἑλληνισμὸν οὐ γέγονεν ἡ τοιαύτη συγχώρησις; Εἰ δὲ μὴ τοῦτο, πῶς οὐ δυνάμει τῶν δαιμόνων ἐκεῖνα γεγένηνται; Πάλιν δὲ εἴπερ [2] ὡς ἀγαθῷ τῷ γινομένῳ ἡδόμενος ἐκείνῳ συνήργησε, διὰ τί μὴ διὰ προφητῶν ἢ ἀποστόλων τὰ τοιαῦτα γεγένηνται; Εἰ δὲ μὴ ἠρέσκετο ὡς φαύλῳ, τίνος ἕνεκεν τὸ φαῦλον ἢ εὐθὺς οὐκ ἐκώλυσεν ἢ μετὰ βραχὺ οὐ κατέλυσεν, ἀλλ' ἕως αἰῶνος τῶν ἡμερῶν τῆς κτίσεως κρατεῖν συνε- C
χώρησεν;

Ἀπόκρισις.

Ὁ μὲν Ἀπολλώνιος, ὡς ἀνὴρ ἐπιστήμων τῶν φυσικῶν δυνάμεων καὶ τῶν ἐν αὐταῖς συμπαθειῶν τε καὶ ἀντιπαθειῶν,

2. κ. λαβὼν τ. ψ. ὁ Ἰούδας] Nota nominativos absolute positos pro genitivis, ut infra quoque Quaest. 33. (πατάσσων αὐτόν). Regularis enim structura est: κ. λαβόντος τ. ψ. τοῦ Ἰούδα. *Sylburgius*. — Vid. ev. Joann. XIII. 30..

3. δὲ] Sylburg., Morell., Maran. δὴ contra codd. mstorum auctoritatem.

Responsio.

Judae perditio jam tum contigit, ex quo sumtum et intinctum frustulum Christus ei dedit: atque post quam Judas frustulum accepit intravit in eum satanas, et egressus abrupit se a caeteris discipulis. Precatio autem pro discipulis post discessum Judae facta est; idque ex ipsa ostenditur precatione, quum orans dominus dixit: *Quos dedisti mihi custodivi, et nemo ex iis periit, nisi filius perditionis, ut scriptura impleatur.* Itaque primum Judae perditio contigit, deinde precatio pro discipulis, denique servatoris passio.

Quæstio 24.

Si deus conditor est et dominus creaturae: quomodo Apollonii effectiones in partes creaturae robur obtinent? Etenim maris impetus et ventorum vim et murium ac ferarum incursiones, ut videmus, cohibent. Et si edita a domino miracula in sola feruntur narratione, Apollonii vero pleraque in ipsis quoque rebus ostenduntur: quomodo non decipiunt spectantes? Et si hoc divino permissu contigit: quomodo non dux fuit ad gentilismum ejusmodi permissio? Sin minus: quomodo non daemonum potestate haec facta sunt? Rursus autem si ea re deus ut bona delectatus adjutor fuit illius efficiendae: cur non per prophetas et apostolos similia edita sunt? Sin autem ut mala displicuit: quare malum aut non statim cohibuit aut non paulo post abolevit, sed ut usque ad finem dierum creaturae vigeat permisit?

Responsio.

Apollonius, ut naturae virium peritus et mutuarum quae illi insunt consensionum et dissensionum, hac scientia effectio-

4. *Οὓς ... πληρωθῇ*] Ev. Joann. XVII. 12..

1. *ὡς ὁρῶμεν*] Quid hoc? dicet fortasse quispiam. Facinora enim Apollonii Tyanaei, jam pridem quum essent edita, aequalis orthodoxi respondentis non poterat conspicari. Sed tamen, ut alia omittam, istud loquendi genus offensionem non habet; nos enim eodem uti solemus, si quid non sensu cernimus sed animo.

2. *ὡς ἀγαθῷ*] Videtur addendum esse *θεός*, quae quidem vox ob similitudinem syllabae praecedentis (— *θῷ*) facile poterat excidere.

κατὰ ταύτην τὴν ἐπιστήμην τὰ τελέσματα ἐποιεῖτο, οὐ κατὰ τὴν θείαν αὐθεντίαν· διὸ ἐν ἅπασι τοῖς ἀποτελέσμασιν ἐδεήθη τῆς τῶν ἐπιτηδείων ὑλῶν παραλήψεως, συνεργούσης αὐτῷ πρὸς τὴν τοῦ τελουμένου ἐκπλήρωσιν. Ὁ δὲ σωτὴρ ἡμῶν Χριστός, κατὰ τὴν θείαν αὐτοῦ αὐθεντίαν ποιῶν τὰ θαύματα, οὐδαμῶς ἐδεήθη ὕλης, ἀλλὰ τοῖς προστάγμασί τε καὶ προῤῥήσεσιν αὐτοῦ ἠκολούθει [3]καὶ D
ἀκολουθοῦσι τὰ πράγματα. Καὶ τὰ μὲν ὑπὸ τοῦ Ἀπολλωνίου γεγονότα τελέσματα, ἐπειδὴ κατὰ τὴν ἐπιστήμην γεγένηνται τῶν φυσικῶν δυνάμεων πρὸς τὴν σωματικὴν ἐργασίαν ἀνθρώπων, οὐκ ἀνέτρεψεν [4]ὁ κύριος· [5]αὐτὸν δὲ τὸν δαίμονα τὸν ἐν τῷ ἐκείνου ἀγάλματι ἱδρυμένον, τὸν ἐν ταῖς μαντείαις ἀπατήσαντα τοὺς ἀνθρώπους, ὡς θεὸν σέβειν καὶ τιμᾶν τὸν Ἀπολλώνιον, ἐφίμωσε, καταργήσας αὐτοῦ τὰς μαντείας. Σὺν αὐτῷ δὲ καὶ τῶν 406
λοιπῶν δαιμόνων τῶν ἐν τῷ θεῶν ὀνόματι ὑπὸ τῶν Ἑλλήνων τιμωμένων καθεῖλε τὴν δυναστείαν, καθὼς ὁρᾶται τὰ πράγματα. [6]Ἔχοντες δὲ ἐν τούτοις τῆς τοῦ Χριστοῦ θείας δυνάμεως τὰ γνωρίσματα, οὐ χρὴ λέγειν τὰ τοῦ Χριστοῦ θαύματα ἐν ψιλῇ κεῖσθαι διηγήσει.

Ἐρώτησις κε΄.

Εἰ ἐπαιδεύθη Μωυσῆς ἐν πάσῃ σοφίᾳ Αἰγυπτίων καὶ ἦν δυνατὸς ἐν ἔργοις καὶ λόγοις, καθώς φησιν [1]ἡ θεία γραφή, πῶς B
ἀστρονομίαν καὶ γεωμετρίαν καὶ ἀστρολογίαν καὶ τὰ τούτοις ἑπόμενα [2]μετῆλθεν ὁ αὐτὸς μακάριος προφήτης; Τῶν γὰρ Αἰγυπτίων τότε ἡ σοφία τὰ τῆς πλάνης ὑπῆρχε διδάσκουσα διδάγματα. Διὰ τί οὖν ἐπὶ τοιούτοις λόγοις ἢ ἔργοις ὑπὸ τῆς γραφῆς θαυμάζεται;

Ἀπόκρισις.

Θαυμάζει τὸν προφήτην ἡ θεία γραφὴ ἐπὶ τῇ [3]δυναστείᾳ τῶν λόγων καὶ τῶν ἔργων, οὐχ ἕνεκεν τῶν λόγων καὶ τῶν ἔρ- C
γων καθ' αὑτά· ἀνάξια γὰρ ἦν ἐκεῖνα καθ' αὑτὰ πρὸς τὰ ἐγκώμια τοῦ προφήτου. Ἀλλ' ἐπειδὴ δι' ἑκατέρας μὲν περίβλεπτος

3. κ. ἀκολουθοῦσι] Hoc potissimum ad praedictiones Christi spectat.

4. ὁ κύριος] H. e. deus.

5. αὐτὸν δὲ τὸν δαίμονα... ἐφίμωσε etc.] Haec accipit Gass. l. c. p. 48. de diruto aliquo templo.

6. Ἔχοντες etc.] Nominativus absolute positus est.

1. ἡ θεία γραφή] Actt. apostt.

nes edidit, non divina potestate; quapropter in omnibus effectionibus opus habuit idonea materia, quae ad effectionem adimplendam adjuvaret. Servator autem noster Christus, quum divina sua potestate miracula ederet, neutiquam opus habuit materia, sed ejus jussiones et praedictiones res sequebantur et sequuntur. Atque editas quidem ab Apollonio effectiones, quia scientia naturalium virium edebantur ad corporeum hominum usum, non abolevit dominus; sed ipsi daemoni Apollonii statuae insidenti, qui divinationibus homines seducebat, ut Apollonium tamquam deum colerent et venerarentur, os occlusit, divinationes ejus compescens. Simul autem cum eo caeterorum etiam daemonum, qui sub deorum nomine a gentilibus venerabantur, sustulit potentiam, ut ex rebus ipsis perspicitur. Quum autem his habeamus divinae Christi potentiae argumenta, nefas dicere Christi miracula in nuda posita esse narratione.

Quæstio 25.

Si *eruditus est Moses in omni sapientia Aegyptiorum atque erat potens in operibus et verbis*, ut ait divina scriptura: quomodo astronomiam et geometriam et astrologiam et quae ista consequuntur idem beatus propheta didicit? Tunc enim Aegyptiorum sapientia istas erroris edocebat disciplinas. Cur igitur illum scriptura ob ejusmodi verba et opera miratur?

Responsio.

Miratur prophetam divina scriptura ob potentiam verborum et operum, non ob verba et opera per seipsa; haec enim per seipsa indigna erant quae prophetam laudibus ornarent. Sed quandoquidem utroque conspicuus erat Aegyptiis prophe-

VII. 22..

2. *μετῆλθεν*] Vulgo negatio *οὐ* praecedit; quam Maranus recte censuit tollendam, sensus ut esset: Quomodo facere potuit Moses, ut his se disciplinis daret?

3. *δυναστείᾳ*] Maran. (ex Clar.) dedit *δυνάμει*, inutilem librarii emendationem. Respicit autem scriptor ad antecedens *δυνατός*.

ὑπῆρχε τοῖς Αἰγυπτίοις ὁ προφήτης, τῆς τε τοῦ λόγου παιδείας
καὶ τῆς τοῦ βίου κοσμικῆς λαμπρότητος, ἀμφοτέρων δὲ τὴν εἰς
θεὸν εὐσέβειαν [4]τιμήσας, διὰ τοῦτο αὐτὸν ἐθαύμασεν ἡ θεία
γραφή. Ἀστρονομία δὲ καὶ ἀστρολογία καὶ γεωμετρία παρ' Αἰ-
γυπτίοις τότε χυδαῖά τε καὶ πεζὰ καὶ ἀγοραῖα μαθήματα λελό-
γιστο. Τίμια δὲ ἦν τότε παρ' αὐτοῖς μαθήματα τὰ ἱερογλυφικὰ
καλούμενα, τὰ ἐν τοῖς ἀδύτοις οὐ τοῖς τυχοῦσιν ἀλλὰ τοῖς ἐγ- D
κρίτοις παραδιδόμενα· ὧν ὁ προφήτης εἰ καὶ τὴν εἴδησιν ἔσχεν,
ἀλλ' οὐκέτι καὶ τὴν χρῆσιν, ὡς ἀντικειμένην [5]τῇ κατὰ θεὸν πο-
λιτείᾳ τῶν Ἑβραίων, [6]δι' ἣν καταφρονήσας τῆς ἐν Αἰγύπτῳ πά-
σης βασιλικῆς δυναστείας εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ θεοῦ.

Ἐρώτησις κϛ'.

Εἰ πάντα τὰ ὕδατα αἷμα ὑπὸ [1]Μωυσέως γεγένηνται, πῶς
ἐπάγει ἡ γραφὴ τὸ [2]Ἐποίησαν δὲ καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων
ὡσαύτως; [3]Ἢ γὰρ ψευδὲς τὸ πάντα τὰ ὕδατα γενέσθαι αἷμα 407
ὑπὸ Μωυσέως, ἢ πάλιν τὸ τοὺς ἐπαοιδοὺς πεποιηκέναι ὡσαύτως.
Καὶ περὶ τῶν λοιπῶν τῶν κατ' αὐτοὺς θαυμάτων ὁ αὐτὸς λόγος.

Ἀπόκρισις.

Πάντων τῶν ὑδάτων τῶν ἐπάνω τῆς γῆς αἷμα γενομένων,
ἠναγκάζοντο οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ ὀρύττειν φρέατα
καὶ ἀντλεῖν ὕδωρ καὶ ποτίζειν ἐξ αὐτοῦ ἑαυτούς τε καὶ τὰ ζῶα
αὐτῶν καὶ τὰ θρέμματα. Ἐκ τούτου τοῦ ὕδατος τοῦ ἐκ τῶν
φρεάτων ἀντλουμένου ἐποίησαν οἱ ἐπαοιδοὶ τὸ αἷμα, καὶ οὐδα- B
μῶς διέψευσται ὁ λόγος. Καὶ τὰ μὲν ὑπὸ Μωυσέως γενόμενα
θαύματα, ἅτε κατὰ τὴν θείαν γεγενημένα ἐνέργειαν, κατὰ μετα-
βολὴν γεγένηνται φύσεως τοῦ προκειμένου εἰς τὴν φύσιν τοῦ ἐκ-
τελουμένου, τὰ δὲ ὑπὸ τῶν ἐπαοιδῶν γενόμενα κατὰ τὴν ἐνέρ-
γειαν ἐγένοντο τῶν δαιμόνων, τῶν φαντασάντων τὰς ὄψεις τῶν
ὁρώντων, [4]τὸν μὴ ὄφιν ὁρᾶν ὡς τὸν ὄφιν, καὶ τὸ μὴ αἷμα ὡς
αἷμα, καὶ τοὺς μὴ βατράχους ὡς βατράχους.

4. τιμήσας] Id positum pro composito προτιμήσας, aut subaudiendum adverbium μᾶλλον ut alibi saepe; praeterea subaudiendum etiam verbum substantivum ὑπῆρχεν. *Sylburgius.*

5. τῇ κ. θ. πολιτείᾳ] Maran.: *dei colendi rationi.*

6. δι' ἣν etc.] Cf. ep. ad Hebr. XI. 24. sq..

1. Μωυσέως] Vulgo Μωσέως. Illam vero formam hîc et deinceps

ta, eloquentiae institutione ac vitae saeculari splendore, et utrique pietatem in deum praetulit: idcirco illum mirata est divina scriptura. Astronomia autem et astrologia et geometria apud Aegyptios tunc viles et pedestres et vulgares disciplinae habebantur. At in pretio tunc erant disciplinae hieroglyphicae dictae, quae non quibuslibet sed selectis hominibus tradebantur in adytis; quarum propheta etsi cognitionem habuit, at nequaquam usum, utpote contrarium Hebraeorum vitae ex divino praescripto institutae consuetudini, ob quam omnem in Aegypto regiam potestatem aspernatus maluit affligi cum populo dei.

Quæstio 26.

Si aquae omnes sanguis a Mose factae: quomodo addit scriptura illud *Fecerunt autem et incantatores Aegyptiorum consimiliter?* Vel enim falsum est aquas omnes factas esse sanguinem a Mose, vel rursus incantatores fecisse consimiliter. Ac de caeteris eorum miraculis eadem ratio.

Responsio.

Quum aquae omnes super terram sanguis factae fuissent, cogebantur Aegyptii circa flumen fodere puteos et haurire aquam et seipsos ex ea et animalia et pecudes aquare. Ex hac aqua, quae ex puteis hauriebatur, fecerunt incantatores sanguinem: minimeque falsum quod dicitur. Et edita quidem a Mose miracula, utpote divina vi facta, per mutationem fiebant naturae rei ante oculos positae in naturam ejus quae efficiebatur: quae vero ab incantatoribus edita sunt fiebant operatione daemonum, qui praestigiis oculos deceperunt spectantium, ut quasi serpentem adspicerent qui non erat serpens, et quasi sanguinem qui non erat sanguis, et quasi ranas quae non erant ranae.

servavi utpote codicibus mstis probatam.

2. Ἐποίησαν . . . ὡσαύτως] Exod. VII. 22..

3. Ἢ] Stephan. εἰ mendose.

4. τὸν μὴ ὄφιν etc.] Sylburg. pro ὡς τὸν ὄφιν mallet ὡς ὄφιν, omisso articulo ut in sequentibus commatiis. Videtur autem Marano expungendum esse verbum ὁρᾶν, quum in Resp. ad Quaest. 52. diabolus dicatur eodem modo affe-

Ἐρώτησις κζʹ. C

[1] Εἰ ἐναντία ἑαυτῷ Μωυσῆς οὐκ ἐδίδασκε [2] τὰ μὲν ὀστέα τοῦ Ἰωσὴφ ἐπαγόμενος, τὸν δὲ ἁπτόμενον νεκροῦ ὡς ἀκάθαρτον μυσαττόμενος; Καὶ εἰ ἦν τις εὔλογος παρὰ τούτῳ αἰτία, ταύτην μὲν νυνὶ μάθωμεν. Τίνος δὲ ἕνεκεν ἡ γραφὴ οὐκ εἶπε, δι' ἣν αἰτίαν ἐκεῖνα ποιῶν Μωυσῆς ταῦτα ἐδίδασκεν;

Ἀπόκρισις.

Ἐπειδὴ τελευτῶν ὁ Ἰωσὴφ περὶ τῆς μετακομιδῆς τῶν ὀστέων D αὐτοῦ ὥρκισε τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἦν ἀμφότερα τῷ Μωυσῇ εἰς φυλακὴν προκείμενα, τὸ μὴ παραβαίνειν τὸν ὅρκον καὶ τὸ μὴ ἅπτεσθαι νεκροῦ, διὰ τοῦτο τῇ λύσει τοῦ νόμου λέγοντος μὴ ἅψασθαι νεκροῦ ἐφύλαξε τὸν ὅρκον ἀπαράβατον· ἀδύνατον γὰρ ἦν αὐτῷ ἀμφότερα φυλάξαι ἀπαράβατα, καὶ τὸν νόμον καὶ τὸν ὅρκον. Τῇ μείζονι οὖν φυλακῇ τοῦ ὅρκου ἔλυσε τὴν ἐλάττονα φυλακὴν τοῦ νόμου· πανταχοῦ γὰρ τὸ ἔλαττον κακὸν αἱρετώτερον [3] τοῦ μείζονος. Καὶ τοιαῦτα πολλὰ εὑρίσκεται ἐν τῇ θείᾳ γραφῇ, ἅτινα οὐ λογίζεται ὁ θεὸς εἰς ἁμαρτίαν τῶν παραβαινόντων 408 αὐτὰ διὰ τὴν ἐν αὐτοῖς συμβεβηκυῖαν ἀνάγκην, ὡς τὴν ὀκταήμερον περιτομὴν καὶ τὴν [4] ἑπταήμερον περικύκλωσιν τῆς Ἱεριχὼ καὶ τὴν ἐν σαββάτῳ προσαγωγὴν τῶν θυσιῶν, ἅτινα περιέχουσι τοῦ σαββάτου τὴν λύσιν. Ἔτι εἰ ἔταξεν ὁ προφήτης τοὺς ἐκ διαδοχῆς βαστάζοντας τοῦ Ἰωσὴφ τὰ ὀστέα [5] καὶ κατὰ [ἑπτὰ ἡμέρας ἀκαθάρτους ὄντας] διὰ τῆς ἐν τῷ καθα[ρσίῳ] κατὰ τὸν νόμον τοῦ Μωυσέως τούτου τοῦ ἀριθμοῦ [διατηρήσεως] καθαρίζεσθαι, B οὐδ' ἐναντίον ὧν εἶπέ τι διεπράξατο ὁ προφήτης. Τὸ δὲ ζητεῖν, διὰ τί οὐκ εἶπεν ὁ προφήτης [6] τούτων τὴν αἰτίαν, ὅμοιόν ἐστι

cisse oculos τῶν ὁρώντων τὸν οὐκ ὄντα Σαμουήλ. Sed etiam in Resp. ad Quaest. 81: φαντάζουσιν οἱ δαίμονες τὰς ὄψεις τῶν ὁρώντων, ὡς σώματα ὁ ρ ᾶ ν τὰ μὴ σώματα.

1. Εἰ] Fortasse Ἠ. Nam ΕΙ et Η in codd. saepe confunduntur; vid. Qu. 26. not. 3. Qu. 30. not. 4. Qu. 33. not. 2.. Sed scriptura vulgaris potest tolerari.

2. τὰ μὲν ὀστέα etc.] Cf. Exod. XIII. 19. et Num. XIX. 11..

3. τοῦ] Maran. οὐ errore.

4. ἑπταήμερον] Vulgo ὀκταήμερον — sed vid. Jos. VI. 4. et 15..

5. καὶ κατὰ... καθαρίζεσθαι] Codd. msti et editi καὶ κατὰ * διὰ τῆς ἐν τῷ καθα * κατὰ τὸν νόμον τοῦ Μωυσέως τούτου τοῦ ἀριθμοῦ

Quæstio 27.

Num contraria sibi ipse Moses non docuit, dum ossa quidem Josephi exportat, eum autem qui mortuum tangit ut impurum aversatur? Et si quae probabilis fuit hujus rei ratio, hanc nunc discamus. Cur autem scriptura non dixit, qua de causa Moses illa faciens haec docuerit?

Responsio.

Quandoquidem moriens Josephus adjuraverat filios Israelis ut ossa sua exportarent, et utrumque Mosi ut observaret propositum erat, nempe jusjurandum non transgredi et mortuum non tangere: idcirco solutione legis, quae mortuum vetat tangere, inviolatum servavit jusjurandum; fieri enim non poterat ut utrumque servaret inviolatum, et legem et jusjurandum. Observatione igitur jurisjurandi, quae gravior erat, solvit leviorem legis observationem; ubique enim minus malum praeferendum est majori. Ac multa ejusmodi reperiuntur in divina scriptura, quae deus in peccatum non imputat transgredientibus propter eam quae supervenit necessitatem, veluti octiduana circumcisio et septiduanus Jerichuntis circuitus et victimarum in sabbato oblatio, quae quidem sabbati solutionem prae se ferunt. Praeterea si jussit propheta ut qui ossa Josephi per vices portabant, per septem dies impuri manentes, per hujus numeri in purificationibus observationem secundum legem Mosis expiarentur: nihil fecit contrarium iis quae dixit. Quaerere autem, cur horum causam non attulerit propheta, idem est ac quaerere, cur non

* καθαρίζεσθαι. Defectum sic explevi ut Maranus commendavit. At Sylburgius vult legi: καὶ κατὰ [τὴν θεοῦ προσταγήν,] διὰ τῆς ἐν τῷ καθα[ρισμῷ ἀφαγνίσεως,] κατὰ τὸν νόμον τοῦ Μωυσέως, τούτου τοῦ ἀριθμοῦ [τῷ νομίμῳ ποσῷ] καθαρίζεσθαι — hoc sensu: *Si mandavit propheta ut qui Josephi ossa per successionem portabant, etiam secundum dei praeceptum per ordinatam in purificatione expiationem secundum legem Mosis, ejus numeri legitima quantitate purificarentur* — ut auctor significet eos qui Josephi ossa bajulabant, expletis sui muneris vicibus, etiam purificationis numerum ex legis praescripto explevisse, tertio nempe et septimo die peracta expiatione (Num. XIX. 11. sq.).

6. τούτων] Lang.: *dictorum factorumque suorum.*

τῷ λέγειν, διὰ τί μὴ πᾶσαι αἱ γραφαὶ ἡρμηνευμέναι παρεδόθησαν παρὰ τῶν ἐκτεθεικότων αὐτάς· ἐπειδὴ ἐν τῇ τοῦ πράγματος διηγήσει ἐμφαντικῶς περιέχεται ἡ τοῦ πράγματος ἔννοια, [7] διότι οὐκ ἐδοκίμασεν ἡ γραφὴ τὸ ἐκθετικῶς ταύτην δηλῶσαι.

Ἐρώτησις κη΄. C

Εἰ τὴν τῶν Φαρισαίων ἐσχηματισμένην εὐλάβειαν ἐλέγχων ὁ κύριος [1] ἔλεγεν ὅτι τάφοι κεκονιαμένοι εἰσίν, πεπληρωμένοι ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας, καὶ [2] ἐν τῷ νόμῳ ὁ ἁπτόμενος νεκροῦ ἀκάθαρτος ἐλογίζετο, ὡς ἄτοπον ἐργαζόμενός τι, τούς τε νεκροὺς καὶ τοὺς τούτων μυσαττόμεθα τάφους, [3] ὑπό τε παλαιᾶς καὶ καινῆς ἀκαθάρτου τοῦ νεκροῦ καλουμένου· πῶς ἀμφοτέρων ὁ Χριστὸς ἐναντίως οὐκ ἔπραξεν, [4] ὅτι τὸν υἱὸν τῆς χήρας ἀνιστῶν ἥψατο τῆς σοροῦ καὶ τὴν θυγατέρα τοῦ Ἰαείρου τῆς χειρὸς ἐκράτησεν; Εἰ γὰρ καὶ ἀμφότεροι τελευταῖον ἀνέστησαν, D
ἀλλὰ τὴν ἀφὴν τὰ νεκρὰ ἐδέξαντο σώματα.

Ἀπόκρισις.

Τῶν πτωμάτων τὰ νεκρὰ σώματα καὶ οἱ τούτων τάφοι [5] μυσάττονται διὰ τὴν ἑπομένην αὐτοῖς βαρεῖαν δυσωδίαν καὶ οὐ διὰ τὴν νέκρωσιν. Εἰ γὰρ ἁπλῶς διὰ τὴν νέκρωσιν ἐμυσάττοντο τῶν νεκρῶν τὰ σώματα, οὐκ ἄρα ἐχρῆν τοῖς τῶν ζώων νεκρῶν σωμάτων μέρεσι κεχρῆσθαι πρὸς τὴν τῶν ζώντων χρείαν, ὡς τοῖς δέρμασι καὶ τοῖς κέρασι [6] καὶ θριξὶ καὶ χολαῖς καὶ τοῖς στέασι 409
καὶ ταῖς σαρξίν, ἅτινα οὐδεὶς λόγος δύναται ὑπεξελεῖν τῆς προσούσης αὐτοῖς νεκρώσεως. Εἰ δὲ νεκρὰ μὲν καὶ ταῦτα, οὐ μυσαττόμενα δὲ διὰ τὴν ἐξ αὐτῶν χρείαν, πῶς οὐκ ἔστι τῶν ἀτοπωτάτων τὸ καθαρὰ μὲν ἡγεῖσθαι ταῦτα διὰ τὴν ἐξ αὐτῶν χρείαν, μυσάττεσθαι δὲ τῶν ἁγίων μαρτύρων τὰ σώματα καὶ τοὺς τάφους ὑπὸ Ἑλλήνων, φυλακτικὰ ὄντα ἀπὸ τῆς τῶν δαιμόνων ἐπιβουλῆς [7] καὶ ἰαματικὰ νοσημάτων τῶν κατὰ τὴν ἰατρικὴν τέχνην ἀνιάτων; Παρείκαζε δὲ ὁ κύριος τὴν τῶν Φαρισαίων ἐσχη- B

7. διότι] Exspectabas διὰ τοῦτο, quod praecedenti ἐπειδὴ responderet, ut supra et in Resp. ad Quæst. 20. 21. 25. 35. 45. 52. 105..

1. ἔλεγεν] Cf. ev. Matth. XXIII. 27..

2. ἐν τῷ νόμῳ] Cf. Num. XIX. 11..

3. ὑπό τε παλαιᾶς κ. καινῆς] Subaudiendum διαθήκης. Sic etiam

omnes scripturae addita interpretatione traditae sint ab iis qui illas ediderunt; quoniam ipsa rei narratione significanter continetur rei intelligendae ratio, propterea scriptura non judicavit illam cum explicatione declarandam.

Quæstio 28.

Si Pharisaeorum simulatam pietatem arguens dominus dicebat eos sepulcra esse dealbata, plena ossibus mortuis et omni impuritate, et in lege qui mortuum tangebat impurus habebatur, quasi piaculum admisisset, et nos etiam mortuos eorumque sepulcra aversamur, quippe quum in veteri et novo foedere impurum cadaver appelletur: quomodo contra utrumque dominus non fecit, quum viduae filium resuscitans tetigit loculum quumque Jairi filiae manum apprehendit? Etsi enim uterque postea resuscitatus est, tamen tactum mortua corpora exceperunt.

Responsio.

Mortuorum cadavera et eorum sepulcra aversamur propter haerentem iis graveolentiam, non propter mortalitatem. Nam si omnino propter mortalitatem aversaremur mortuorum corpora, non oporteret profecto ex mortuorum animalium corporibus partes adhibere ad viventium usum, ut pelles, cornua, pilos, bilem, adipem, carnes, quae quidem nulla ratio eximere potest ab insita iis mortalitate. Sed si haec quidem mortua, nec tamen ea aversamur ob utilitatem quam praestant: quomodo non absurdissimum est haec quidem pura existimari ob utilitatem quam praestant, abominationi autem gentilibus esse sanctorum martyrum corpora et sepulcra, quae vim habent custodiendi ab insidiis daemonum et sanandi morbos arti medicae insanabiles? Comparavit autem dominus

infra. Pro τε autem fortasse legendum τῆς.

4. ὅτι etc.] Cf. ev. Luc. VII. 11. sqq. et VIII. 49. sqq..

5. μυσάττονται] Μυσάττεσθαι in hac Quæst. ac Resp. (coll. Quæst. 27.) usurpatur et med. et pass. significatione.

6. κ. θριξὶ κ. χολαῖς] Congruentius κ. ταῖς θριξὶ κ. ταῖς χολαῖς.

7. καὶ ἰαματικὰ νοσημάτων] Miracula ad martyrum tumulos memorantur inde a quarto saeculo; cf. Gass. l. c. p. 106. sq..

ματισμένην εὐλάβειαν τάφοις κεκονιαμένοις, ὅτι ὥσπερ τῇ νοή-
σει τῶν ζώντων βδελυκτή ἐστι τῶν νεκρῶν σωμάτων ἡ δυσωδία
καὶ ἀκαθαρσία, οὕτως καὶ ἡ ἐκείνων ἀνομία βδελυκτή ἐστι τῇ
νοήσει τῶν εὐσεβῶν, τρόπον τινὰ οὖσα αὐτῶν ψυχῆς νέκρωσις
καὶ δυσωδία καὶ ἀκαθαρσία. Ὥσπερ γὰρ χωρισθείσης τῆς ψυχῆς
τοῦ σώματος νεκρὸν τὸ σῶμα καὶ δυσῶδες καὶ ἀκάθαρτον, οὕτως
χωρισθέντος τοῦ φόβου τοῦ θεοῦ τῆς ψυχῆς νεκρὰ ὑπάρχει ἡ
ψυχὴ καὶ δυσώδης καὶ ἀκάθαρτος. Κατ' ἐναντίωσιν δὲ ἔπραξεν
ὁ κύριος οὐδὲν οὔτε τῇ παλαιᾷ οὔτε τῇ καινῇ· οὐκ ἦν γὰρ ὑπὸ C
τὸν νόμον, ὅτε τοὺς ἐν τῇ ἐρωτήσει εἰρημένους νεκροὺς ἤγειρεν.
Ἀπὸ γὰρ τοῦ βαπτίσματος ἤρξατο ὁ κύριος τῆς εὐαγγελικῆς πο-
λιτείας, οὔσης ἔξωθεν τῆς τοῦ νόμου φυλακῆς· διὸ οὐκ ἐμιάνθη
ἁψάμενος τοῦ νεκροῦ. [8] Κατὰ δὲ τὴν καινὴν ἐκεῖνα μόνα ἦν
μιαντικὰ ἀνθρώπων τὰ ἐκ τῆς καρδίας ἐξερχόμενα κακά· τὸ δὲ
ἅπτεσθαι νεκροῦ οὐ μιαίνει τὸν ἄνθρωπον.

Ἐρώτησις κθ'.

[1] Εἰ πεπλήρωτο ὁ οἶκος, ἔνθα ὁ κύριος ἦν ὁπηνίκα ὁ πα- D
ράλυτος ἔμελλε θεραπεύεσθαι, καὶ διὰ τοῦτο ἠναγκάσθησαν οἱ
βαστάζοντες αὐτὸν καταλῦσαι τὴν ὀροφὴν καὶ δι' αὐτῆς καθεῖναι
τὸν ἀσθενοῦντα, πῶς οἱ ἐν τῷ οἴκῳ ἠθροισμένοι ὄχλοι οὐκ
ἐπλήγησαν τῆς ὀροφῆς λυομένης;

Ἀπόκρισις.

Αἰσθανόμενοι οἱ ἐν τῷ οἴκῳ μελλούσης τῆς ὀροφῆς ἀποστε-
γοῦσθαι πάντως ὑπεχώρησαν· οὐ γὰρ οὕτως ἦσαν ἀνόητοι οἱ τὴν
ὀροφὴν ἀποστεγοῦντες, ὥστε μὴ βοᾶν τοῖς ἐν τῷ οἴκῳ ὑποχω-
ρεῖν ἵνα μὴ πλήσσωνται. Οὐδὲ γὰρ [2] ὅλης τῆς ὀροφῆς ἦν χρεία 410
ἀποστεγοῦσθαι, ἀλλὰ τόσον ὅσον ἤρκει εἰς τὴν ὑποχάλασιν τοῦ
παραλύτου.

Ἐρώτησις λ'.

Εἰ ἑκάστῳ ἀνθρώπῳ ἄγγελος παρέπεται φύλαξ, καθὼς ἡ θεία
γραφὴ [1] λέγει, οἱ δὲ ἄνθρωποι ποτὲ μὲν αὔξησιν, ποτὲ δὲ μείω-

8. *Κατὰ δὲ τ. καινὴν*] Cf. ev. Matth. XV. 18..

1. *Εἰ* etc.] Cf. ev. Marc. II. 4. et Luc. V. 19..

2. *ὅλης τῆς ὀροφῆς*] Posset etiam accusativo casu legi *ὅλην τὴν ὀροφήν*, relatione ad infinitivum facta ut in sequenti membro; sed ex-

simulatam Pharisaeorum pietatem sepulcris dealbatis, quia quemadmodum viventium cogitatio foetorem et impuritatem aversatur corporum mortuorum, ita cogitatio piorum aversatur illorum iniquitatem, quae quodammodo eorum animae est mortalitas et foetor et impuritas. Quemadmodum enim discedente anima a corpore mortuum est corpus et foetidum et impurum, ita discedente ab anima timore dei mortua est anima et foetida et impura. Contrarium autem nihil fecit dominus neque veteri neque novo foederi; non enim erat sub lege, quum eos de quibus in interrogatione dictum est resuscitavit. Nam a baptismate auspicatus est dominus evangelicum institutum, quod a legis observatione liberum est; quare contaminatus non est mortuum tangens. In novo autem foedere ea tantum homines contaminant quae ex corde prodeunt mala: mortuum autem tangere non contaminat hominem.

Quæstio 29.

Si plena erat domus, in qua versabatur dominus tum quum paralyticum curaturus erat, atque idcirco coacti sunt qui eum portabant tectum solvere et per illud demittere infirmum: quomodo conferta in domo turba non percussa est tecto soluto?

Responsio.

Secesserunt profecto qui in domo erant, ubi tectum apertum iri animadverterunt; non enim adeo insani erant qui tectum aperiebant, ut non eos qui in domo erant clamore admonerent discedere ne percuterentur. Neque enim totum tectum opus fuit aperiri, sed quantum satis esset ad demittendum paralyticum.

Quæstio 30.

Si unumquemque hominem angelus assectatur custos, quemadmodum divina scriptura dicit, homines autem nunc

cusat tamen et genitivos illos partim nomen χρεία, partim verbum ἀποστεγοῦσθαι quatenus privationis significationem habet. *Sylburgius.*

1. λέγει] Cf. ev. Matth. XVIII. 10.

σιν, ὡς ἐπὶ τοῦ κατακλυσμοῦ καὶ τῶν λοιπῶν συμφορῶν, διὰ τὰς ἑαυτῶν πράξεις ὑπέμειναν, [2] οἱ τῆς αὐξήσεως καὶ μειώσεως ὄντες ἀνεπίδεκτοι ποίαν τότε λειτουργίαν ἐπλήρουν, ἑκάστου τῶν ἀγγέλων παρὰ θεοῦ λειτουργίαν ἐξ ἀρχῆς εἰληφότος; B

Ἀπόκρισις.

Οἱ μὲν ἄγγελοι πάντες, ἄρχοντές τε καὶ ἀρχόμενοι, λειτουργίαν ἐκπληροῦσι χρειώδη τοῖς οὐρανοῖς καὶ [3] τοῖς διὰ τὸν ἄνθρωπον· οἱ δὲ λειτουργεῖν εἰληφότες τὸ παρέπεσθαι τοῖς ἀνθρώποις φύλακες ἀεὶ μὲν αὔξονται, μειοῦνται δὲ οὐδέποτε. [4] Ἢ γὰρ παρέπονται τῷ συναμφοτέρῳ, ψυχῇ λέγω καὶ σώματι, ἢ παρέπονται τῇ ψυχῇ μετὰ τὴν ἐκ τοῦ σώματος ἔξοδον τῆς ψυχῆς ἕως τοῦ καιροῦ τῆς τοῦ κόσμου ἀνακτίσεως. Πρὶν ἢ δὲ ταγῶσι C παρέπεσθαι τοῖς ἀνθρώποις καὶ φυλάττειν αὐτούς, ἐν ταῖς ἄλλαις ὑπὲρ ἀνθρώπων λειτουργίαις λειτουργοῦσι τοῖς οἰκείοις ἄρχουσιν.

Ἐρώτησις λα΄.

Εἰ νεύματι θείῳ αἱ νεφέλαι τὸν ὑετὸν τῇ γῇ καταπέμπουσι, διὰ τί τὰς νεφέλας οἱ καλούμενοι [1] νεφοδιῶκται ἐπαοιδίαις τισὶ κατασκευάζονται, ἔνθα βούλονται, χαλάζας καὶ ἀμέτρους ὑετοὺς ἀκοντίζειν;

Ἀπόκρισις.

Τοῦτο ἐπειδὴ [2] κατὰ τὰς ἁγίας γραφὰς μαρτυρεῖς, τοὺς ὑετοὺς εἶναι ἐκ τῶν ἐπαοιδῶν ἄπιστον. Καὶ γὰρ αὐτὸς ὁ ταύτην D περὶ τούτου ἐρωτήσας τὴν ἐρώτησιν οὐκ ἀφ᾽ ὧν ἐθεάσω γινομένων τὴν ἐρώτησιν πεποίηκας, ἀλλ᾽ ἀφ᾽ ὧν ἤκουσας.

2. οἱ τῆς] Vulgo inepte οἱ τῆς τῶν ἀγγέλων. Clar. in marg. τῶν ἀγγέλων οἱ τῆς.

3. τοῖς δ. τ. ἄνθρ.] Scil. γενομένοις.

4. Ἢ] Stephan. εἰ vitiose.

1. νεφοδιῶκται] H. e. tempestarii, de quibus Glossar. ad scriptt. med. et inf. latinit. (ed. du Fresne) s. h. v. adeas. Memorantur etiam in Synod. Trull. c. 61. (τούς τε λεγομένους νεφοδιώκτας καὶ γοητευτὰς etc.); sed ibi scholion Balsamonis (Canones SS. Apostt. etc. Par. 1620. Fol. p. 432.) ita habet: Νεφοδιῶκται (nubium persecutores s. indagatores) λέγονται οἱ ἐκ τῶν νεφῶν προμηνύοντες δῆθεν τὰ τοῖς πολλοῖς

incrementum, nunc imminutionem, ut in diluvio et caeteris calamitatibus, propter sua facta sustinuerunt: qui neque augeri neque minui possunt quale tunc ministerium adimplebant, quum angelorum unusquisque a deo ministerium ab initio acceperit?

Responsio.

Omnes quidem angeli, et qui regunt et qui reguntur, ministerium adimplent coelis et iis quae propter hominem facta sunt utile; qui autem id acceperunt muneris ut homines assectentur custodes, hi augentur quidem semper, nunquam vero minuuntur. Vel enim sequuntur utrumque simul, animam dico et corpus, vel animam e corpore egressam sequuntur usque ad tempus mundi renovationis. Ante autem, quam imperantur sequi homines eosque custodire, in aliis pro hominibus ministeriis ministrant propriis principibus.

Quæstio 31.

Si nutu divino nubes pluviam terrae immittunt: quare qui vocantur nubium agitatores incantationibus quibusdam perficiunt ut nubes, quo ipsi voluerint, grandinem et immensas pluvias jaculentur?

Responsio.

Quandoquidem id contra sanctas scripturas testaris, incredibile est pluvias ab incantationibus proficisci. Etenim ipse, qui hanc ea de re posuisti quaestionem, non ex iis quae fieri vidisti quaestionem posuisti, sed ex iis quae audivisti.

ἄγνωστα. Τινὲς γὰρ βλέποντες τὰ νέφη, καὶ μᾶλλον ὅτε δύνοντος τοῦ ἡλίου γίνονται πυρωδέστερα, φλυαροῦσιν ἐκ τούτων μανθάνειν ἀλήθειαν· ἐκ τοῦδε μὲν γὰρ τοῦ νέφους ἐοικότος περιστερᾷ περίστασιν λέγουσι τῷ ἐρωτῶντι ἐπελθεῖν, ἐξ ἑτέρου ἐοικότος ἀνθρώπῳ σπάθην ἐπιφερομένῳ πόλεμον προμηνύουσιν, ἐξ ἄλλου ἐοικότος λέοντι βασιλικῶν πραγμάτων προλέγουσιν ἐνέργειαν, καὶ ἄλλα τινὰ ἀλλόκοτα ἀποφοιβάζουσι φλυαρήματα.

2. *κατὰ τὰς ἁγ. γραφὰς*] Mallem aut *κατὰ τῶν ἁγίων γραφῶν* aut — quod (coll. Quaest. 1. not. 7.) praeferendum — *παρὰ τ. ἁγ. γραφάς*. Vid. Quaest. 37. not. 2..

Ἐρώτησις λβʹ.

Εἰ θνητὴν ὁ θεὸς τὴν ἡμετέραν ἔκτισε φύσιν, πῶς λέγεις ὅτι [1] Ὁ θεὸς θάνατον οὐκ ἐποίησεν;

Ἀπόκρισις. 411

[2] Οὐκ, εἴ τι θνητὸν τῇ φύσει, τοῦτο ἀνάγκη πάντως ἀποθανεῖν· καὶ τούτου ἡ ἀπόδειξις τὸ θνητοὺς ὄντας τὴν φύσιν [3] τόν τε Ἐνὼχ καὶ τὸν Ἠλίαν ἐν ἀθανασίᾳ ἔτι διαμένειν, τοῦ [4] Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ γενομένους ἀνωτέρω. Ἀληθὲς οὖν τὸ θνητὴν τὴν φύσιν ἡμῶν πεποιηκέναι τὸν θεόν, καὶ εἰσελθεῖν τὸν θάνατον εἰς τὸν κόσμον τῇ τοῦ ἀνθρώπου παρακοῇ. Εἰ μὲν γὰρ ὥσπερ ἐποίησεν ὁ θεὸς θνητὴν τὴν φύσιν οὕτως ἐποίησε καὶ τὸν θάνατον, οὐκ ἂν διὰ τῆς παρακοῆς ὁ θάνατος· καὶ B
εἰ ὁ θεὸς τὴν παρακοὴν οὐκ ἐποίησεν, οὐδ' ἄρα τὸν θάνατον.

Ἐρώτησις λγʹ.

Εἰ τῶν ἀνθρώπων ἡ φύσις ὡς [1] θνητῶν μὲν τὸ οἰκεῖον ἐπιγινώσκει πέρας, ὁ δὲ ἑκάστου χρόνος οὐ κατά τινά ἐστιν ὅρον, ὅπερ καλοῦσιν οἱ ἐκτὸς εἱμαρμένην, πῶς τῷ Ἐζεκίᾳ [2] προσετέθησαν χρόνοι; Τὸ γὰρ προστεθὲν ἐπὶ τοῦ προορισθέντος ἀριθμοῦ δῆλον ὅτι λαμβάνεται. Πόθεν οὖν ἐπὶ τῶν τελευτώντων τὸ τοῦ χρόνου ἀόριστον δείκνυται;

Ἀπόκρισις.

Ὅτι δὲ οὐχ ὥρισται τῆς ἑκάστου ζωῆς ὁ χρόνος, δείκνυται C
ἐκ τῶν γραφικῶν φωνῶν οὕτως· [3] Ἐάν, φησίν, ἐν τῷ πεδίῳ εὕρῃ ἄνθρωπος [4] νεάνιδα μεμνηστευμένην καὶ βιασάμενος αὐτὴν κοιμηθῇ μετ' αὐτῆς, τὸν μὲν ἄνδρα ἀποκτείνατε, [5] τὴν δὲ νεάνιδα μὴ ἀποκτείνητε. Ὃν γὰρ τρόπον ἐπάταξεν ἄνθρωπος ἐπὶ τὸν πλησίον αὐτοῦ, καὶ [6] πατάσσων αὐτὸν οὐχὶ παρῆν ὁ βοηθῶν, οὕτως ἐγένετο τὸ πρᾶγμα τοῦτο· καὶ ἐβόησεν ἡ νεᾶνις, καὶ ὁ

1. Ὁ ... ἐποίησεν] Sap. I. 13..

2. Οὐκ etc.] Cf. Gass. l. c. p. 83..

3. τόν τε Ἐ. καὶ τὸν Ἠ.] Cf. Genes. V. 24. et 2. Regg. II. 11..

4. Γῆ ... ἀπελεύσῃ] Genes. III. 19..

1. θνητῶν] Vulgo θνητόν. Jam Maran. verum vidit.

2. προσετέθησαν] Stephan. mendose προσετέθεισαν. Locus de Ezechia est 2. Regg. XX. 6. (Jesai. XXXVIII. 5.).

3. Ἐάν ... οὐκ ἦν] Deuter. XXII. 25.—27..

4. νεάνιδα] H. e. *adolescentu-*

Quæstio 32.

Si mortalem deus nostram condidit naturam, quomodo dicis: *Deus mortem non fecit?*

Responsio.

Non, si quid mortale natura, id necesse est omnino mori; atque hujus rei argumentum est, quod Enochus et Elias, quum mortales natura sint, in immortalitate adhuc perdurent, dicto illo: *Terra es et in terram reverteris* — facti superiores. Verum igitur est mortalem naturam nostram a deo factam esse, et mortem ingressam esse in mundum hominis inobedientia. Nam si quemadmodum naturam deus mortalem fecit ita etiam mortem fecisset, nequaquam causa mortis esset inobedientia; et si deus inobedientiae auctor non est, neque mortis profecto auctor est.

Quæstio 33.

Si hominum utpote mortalium natura proprium agnoscit finem, tempus autem uniuscujusque non quodam definitur termino, id quod extranei fatum appellant: quomodo Ezechiae additi sunt anni? Quod enim additur liquet id ad numerum praefinitum accedere. Unde igitur morientium tempus definitum non esse demonstratur?

Responsio.

Non definitum esse cujusque vitae tempus, demonstratur ex scripturae vocibus sic: *Si in campo*, inquit, *homo invenerit puellam desponsatam ac vi illata concubuerit cum ea, virum quidem occidite, puellam autem ne occidatis. Quemadmodum enim percussit homo proximum suum, et, quum eum percuteret, non adfuit qui opem ferret, ita illud facinus patratum est: clamavit puella neque adfuit qui opem*

lam mulierem (junge Frau); exspectaveris igitur hîc *παρθένον*: *virginem* (Jungfrau). Septuaginta *τὴν παῖδα*. Cf. Justin. Dial. c. Tr. c. 43. 67. 71. 84..

5. *τὴν δὲ νεάνιδα μὴ ἀπ.*] Septuag. *καὶ τῇ νεάνιδι οὐκ ἔστιν ἁμάρτημα θανάτου*. Sic etiam infra: *ἐβόησεν ἡ νεᾶνις*. Vid. praeced. notam.

6. *πατάσσων αὐτὸν*] Vid. Quæst. 23. not. 2..

βοηθῶν αὐτῇ οὐκ ἦν. Οὐκ ἂν δὲ παρείκασεν ἡ θεία γραφὴ τὴν
βεβιασμένην κοίμησιν τῇ βεβιασμένῃ ἀναιρέσει, εἰ ἦν ὁ θάνατος
ὡρισμένος· τὸ γὰρ παρὰ θεοῦ ὡρισμένον ἀβίαστόν τε καὶ ἀπαρά- D
βατον. Ἀλλ' εἰ τοῦτο, δῆλον ὅτι οὐ τῇ προωρισμένῃ ζωῇ τοῦ
Ἐζεκίου προσετέθησαν χρόνοι ζωῆς, ἀλλὰ τοῖς ἀορίστως προλα-
βοῦσιν ἔτεσιν αὐτοῦ, ὧν τὸ τέλος ἐγίνετο διὰ τοῦ θανατικοῦ πά-
θους, [7] μὴ τοῦ θεοῦ ἐκ τοῦ πάθους ἰασαμένου αὐτὸν καὶ εἰς τὸ
ζῆν αὐτὸν ἀποκαταστήσαντος.

Ἐρώτησις λδ'.

Εἰ, καθώς τινές φασιν, ὁ κατακλυσμὸς ἐν παντὶ τόπῳ τῆς
γῆς οὐ γέγονεν, ἀλλ' ἐν ᾧ οἱ τότε ἄνθρωποι ᾤκουν, πῶς ἀληθὲς 412
ὅτι [1] ὑψώθη τὸ ὕδωρ ἐπάνω πάντων τῶν ὑψηλῶν ὀρέων [2] δεκα-
τέσσαρας πήχεις;

Ἀπόκρισις.

Οὐ δοκεῖ ἀληθὲς εἶναι τὸ μὴ ἐν παντὶ τῷ κόσμῳ τὸν κατακλυσμὸν γεγονέναι· εἰ μή τι ἄρα κοιλότεροι ἦσαν οἱ τόποι, ἔνθα ὁ κατακλυσμὸς ἐγένετο, τῶν λοιπῶν τόπων τῆς γῆς.

Ἐρώτησις λε'.

Εἰ τῶν ἀλόγων ἁπάντων δημιουργός ἐστιν ὁ θεός, [1] διὰ τί B
τὸ διχηλοῦν ὁπλὴν καὶ μηρυκισμὸν [2] μὲν ἔχον καθαρὸν εἶναι ἀπεφήνατο; Καὶ πάλιν διὰ τί τὸ μηρυκισμὸν μὲν ἔχον, οἷον κάμηλος, ὁπλὴν δὲ μὴ διχηλοῦν, ἐν τοῖς [3] κακοῖς τέτακται, καὶ τὸ διχηλοῦν μὲν τὴν ὁπλήν, μηρυκισμὸν δὲ μὴ ἔχον, οἷον χοῖρος, ἐν τοῖς μὴ καθαροῖς λελόγισται; Καὶ ἐν τοῖς ἰχθύσι δὲ τὰ ἀλεπίδωτα; Καὶ τὰ πετεινὰ διὰ τί διῄρηνται, καίτοι τινῶν καθαρῶν, εἴ γε συγχωροῦνται, [4] ταὐτὰ τοῖς ἀκαθάρτοις ἐσθιόντων καὶ πραττόντων;

Ἀπόκρισις. C

Φύσει μὲν καθαρὰ ὑπάρχει πάντα τὰ ζῷα καὶ καλὰ ὑπὸ τοῦ θεοῦ ἐξ ἀρχῆς γεγονότα κατὰ τὸ εἰρημένον· [5] Καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· καὶ τῆς θείας τετυχη-

7. μὴ τ. θεοῦ] Is enim Ezechiae vitam certo quodam termino non definivit. Maranus interpretatus est: *si non illius morbum deus sanasset eumque in vitam restituisset.*

1. ὑψώθη ... πήχεις] Genes. VII. 20..

2. δεκατέσσαρας] Rectius δεκαπέντε.

ferret. Non comparasset divina scriptura violentum coitum violentae caedi, si mors esset definita; quod enim a deo definitum est id nec vi moveri nec transcendi potest. Sed si res ita se habet, liquet non praefinitae Ezechiae vitae additos esse annos vitae, sed annis ejus indefinite praecedentibus, quorum finis aderat a morbo letali, non a deo qui morbum ejus sanavit et in vitam eum restituit.

Quæstio 34.

Si, ut nonnulli dicunt, diluvium in omni terrae loco non fuit, sed in eo quem tunc homines incolebant: quomodo verum est aquam evectam fuisse supra altissimos quosque montes quatuordecim cubitis?

Responsio.

Verum esse non videtur non in omni loco diluvium exstitisse: nisi forte decliviora fuerint loca, in quibus diluvium exstitit, caeteris terrae locis.

Quæstio 35.

Si omnium rationis expertium conditor est deus: quare quod bifidam ungulam habet ac ruminat id mundum esse pronuntiavit? Ac rursus quare id quod ruminat quidem, ut camelus, sed bifidam ungulam non habet, in malis numeratur, et quod ungulam quidem bifidam habet, sed non ruminat, ut porcus, in immundis recensetur? Et ex piscibus cur in immundis numerantur quae squamis carent? Etiam aves cur distinctae sunt, quum quidem mundae nonnullae, si iis concedatur, eadem atque immundae comedant et faciant?

Responsio.

Natura quidem munda sunt omnia animalia et bona a deo primitus facta secundum hoc dictum: *Et vidit deus omnia quaecunque fecerat, et ecce erant valde bona* — et divinam

1. *διὰ τί* etc.] Cf. Levit. XI. 3. sqq..

2. *μὲν*] Haec vocula vel ex sequentibus huc irrepsit vel post *ἔχον* aliquid omissum est. *Sylburgius*.

3. *κακοῖς*] V lgo *καλοῖς* inepte.

4. *ταὐτὰ*] Codd. msti et Stephan. *ταῦτα*.

5. *Καὶ . . . λίαν*] Genes. I. 31..

κότα εὐλογίας λεγούσης· [6] Αὐξάνεσθε καὶ πληθύνεσθε. Ἀλλ' ἐπει-
δὴ ἐβούλετο ὁ θεὸς ὥσπερ ἐν πᾶσι τοῖς ἐσθιομένοις ὑπὸ τὸν ζυ-
γὸν τῆς τοῦ νόμου δουλείας ποιήσασθαι τοὺς Ἰουδαίους, διὰ τοῦ-
το τῶν ζώων καὶ πετεινῶν καὶ ἰχθύων τινὰ μὲν ὠνόμασε καθα-
ρά, ὧν καὶ τὴν σφαγὴν καὶ τὴν βρῶσιν τοῖς Ἰουδαίοις ἐπέτρεψε,
τινὰ δὲ ἀκάθαρτα ὠνόμασεν, ὧν τὴν βρῶσιν αὐτοὺς ἀπεῖργε. D
Καθαρὰ οὖν ταῦτα καὶ ἀκάθαρτα λέγονται· καθαρὰ μὲν διὰ τὴν
φύσιν, ἀκάθαρτα δὲ διὰ τὸν νόμον. Ἄλλως δὲ πάλιν καθαρὰ
καὶ ἀκάθαρτα λέγονται [7] διὰ ταύτην τὴν αἰτίαν· ἐπειδὴ ἐν τῇ Αἰ-
γύπτῳ τότε πάντα τὰ ζῶα πλὴν τοῦ χοίρου ἐθεοποιοῦντο, διὰ τοῦ-
το τῶν ζώων τὰ μὲν καθαρά, τὰ δὲ ἀκάθαρτα ὠνόμασε· καὶ τὰ
μὲν καθαρὰ ἐπέτρεψεν αὐτοῖς θύειν, τὰ δὲ μὴ ἐσθίειν ὡς ἀκάθαρ-
τα, [8] δι' ἑκατέρου δεικνύων αὐτὰ ἀνάξια ὄντα τῆς τοῦ θεοῦ προσ-
ηγορίας τε καὶ τιμῆς, καὶ διὰ τοῦ θύεσθαι καὶ ἐσθίεσθαι, καὶ πάλιν 413
διὰ τοῦ καλεῖσθαι αὐτὰ ἀκάθαρτα.

Ἐρώτησις λϛ'.

Εἰ τὸ θεῖον τροπῆς ἀνεπίδεκτον, [1] διὰ τί περὶ τῆς κρίσεως
τοῦ Σαοὺλ λέγει μεταμελεῖσθαι καὶ περὶ τῆς καταστροφῆς τῆς
Νινευῒ ὅτι μετενόησεν;

Ἀπόκρισις.

Ὁ δεσπότης θεὸς καὶ κατὰ τὸ ὑπάρχειν καὶ κατὰ τὸ πράτ- B
τειν τὰς πρεπούσας αὐτῷ πράξεις ἄτρεπτός ἐστι. Προνοῶν δὲ
τῶν τρεπομένων πρὸς τὸ λυσιτελὲς τοῖς ὑπ' αὐτοῦ προνοουμένοις
τρέπει τὰ πράγματα· διὸ καὶ πρὸς τὸ συγγινώσκειν καὶ πρὸς τὸ
μὴ συγγινώσκειν [2] ἀτρέπτως ἔχει. Συγγινώσκει γὰρ ἀτρέπτως
τοῖς διορθοῦσι τὰ ἑαυτῶν πταίσματα, τοῖς δὲ ἀδιορθώτως ἔχουσι
πρὸς τὰ κακὰ ἀτρέπτως οὐ συγγινώσκει. Τὸ οὖν [3] Μεταμεμέλη-
μαι τὸ ἄτρεπτον αὐτοῦ ἐμφαίνει τὸ κατὰ τὸ μὴ συγγινώσκειν, τὸ C
δὲ Μετενόησεν ὁ κύριος τὸ ἄτρεπτον αὐτοῦ δηλοῖ τὸ κατὰ τὸ
συγγινώσκειν. Ἄτρεπτος γάρ ἐστιν ὁ θεός, καὶ ἀεὶ ἐν τοῖς αὐτῷ

6. Αὐξάν. κ. πληθύν] Genes. I. 28..

7. διὰ τ. τ. αἰτίαν] Sacrificiorum causam eamdem affert etiam Theodoretus noster p. 105, 1. et p. 106, 1.. *Sylburgius.*

8. δι' ἑκατέρου] Stephan. omisit praepositionem διά, sed recte (in calce) monuit eam addendam esse.

1. διὰ τί] Mon. utroque loco

accepere benedictionem his verbis: *Crescite et multiplicamini.* Sed quandoquidem volebat deus ut in omnibus rebus ita in cibis jugo servitutis legis Judaeos subjicere, idcirco animalium et avium et piscium alia appellavit munda, quae et immolare et edere Judaeis permisit, alia appellavit immunda, quorum esu eos prohibuit. Munda igitur haec et immunda dicuntur: munda quidem propter naturam, immunda vero propter legem. Rursus autem munda et immunda dicuntur ob hanc causam: quandoquidem in Aegypto tunc animalia omnia praeter porcum divinitate donabantur, idcirco animalium alia quidem munda, alia vero immunda appellavit; ac munda quidem permisit illis ut immolarent, immunda vero edere vetuit, in utroque ostendens ea dei appellatione et honore indigna esse, et quod immolarentur et ederentur, et rursus quod immunda appellarentur.

Quæstio 36.

Si in deum non cadit mutatio: quare unctionis Saulis dicit se poenitentia duci et Ninives evertendae consilium mutavit?

Responsio.

Dominus deus et in eo quod est et in eo quod sibi convenientia agit est immutabilis. Providens autem iis quae mutationi obnoxia sunt, ad utilitatem eorum quibus providet res convertit: quare et ignoscendo et non ignoscendo immutabilis est. Ignoscit quidem immutabiliter iis qui suos ipsorum lapsus emendant, iis autem qui sine emendatione in malis perseverant immutabiliter non ignoscit. Illud igitur *Poenitentia ducor* ejus in non ignoscendo immutabilitatem declarat, illud autem *Consilium mutavit dominus* ejus in ignoscendo immutabilitatem demonstrat. Immutabilis enim est deus, ac sem-

διατί. — Argumentum quaestionis sumtum ex 1. Sam. XV. 11. et Jon. III. 10..

2. *ἀτρέπτως ἔχει*] In his verbis desinit Mon. loco posteriori.

3. *Μεταμελ.* et *Μετεν. ὁ κύρ.*] Cf. not. 1..

πρέπουσι [4]ποιεῖν διαμένει· τροπὴν δ' εἰς τὸ ποιεῖν τὰ μὴ πρέποντα αὐτῷ οὐ δέχεταί ποτε.

Ἐρώτησις λζ'.

Εἰ τὸ Ἰωάννου βάπτισμα μὴ κατὰ νόμον ἦν, ὥσπεροῦν οὔτε ἦν, πῶς οὐκ ἦν παρὰ τὸν νόμον, καὶ πῶς ὑπὸ τῶν ἐννόμων ἐδέχθη; Πῶς δὲ οὐ παράνομοι οἱ ὑπὸ τὸν νόμον ὄντες καὶ τὸ D
παρὰ τὸν νόμον δεξάμενοι βάπτισμα; Εἰ δὲ ὑπὸ τὸν νόμον ἐτύγχανε τὸ τῆς χάριτος βάπτισμα, μήτε κατὰ νόμον μήτε ὑπὲρ νόμον μήτε παρὰ νόμον λεγόμενον, κατὰ τί γινόμενον εὑρεθήσεται;

Ἀπόκρισις.

Τὸ βάπτισμα Ἰωάννου προοίμιον ἦν τοῦ εὐαγγελίου τῆς χάριτος· διὸ καὶ ὑπὲρ τὸν νόμον [1]οὐκ ἦν. Οὐδὲ γὰρ ἐνεδέχετο τοὺς [2]κατὰ τὸν νόμον ἁμαρτήσαντας ἐν τούτῳ διὰ μετανοίας τε καὶ πίστεως τοῦ Χριστοῦ δέξασθαι τὴν συγχώρησιν.

Ἐρώτησις λη'. 414

Εἰ πιστώσασθαι τοὺς μαθητὰς ὁ Ἰωάννης περὶ τοῦ Χριστοῦ, ὅτι αὐτός ἐστιν, ἐβούλετο, ὅτε ἀπέστειλεν αὐτοὺς πρὸς αὐτόν (τοῦτο γὰρ [1]τινες εἰρήκασι), διὰ τί μὴ κατ' ἀπόφασιν εἶπεν αὐτοῖς, ἀλλὰ πεῦσιν δι' αὐτῶν τῷ Χριστῷ προσήγαγεν; Εἰ δὲ αὐτὸς διὰ τὸ τῇ [2]εἱρκτῇ ἑαυτὸν ἐμβεβλῆσθαι ἐκ τῶν νοουμένων ποικίλως εἰς τὴν περὶ αὐτοῦ ἀμφιβολίαν [3]κατέστη (καὶ γὰρ τοῦτο εἰρήκασιν [4]ἕτεροι), διὰ τί ὡς μηδέπω αὐτὸν ἐλθόντα ἐγνωκὼς ἐρωτᾷ; Τὸ γὰρ [5]Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον B
προσδοκῶμεν; ὡς μηδέπω μὲν τὸν Χριστὸν παραγενόμενον, [6]ἔρχεσθαι δὲ αὐτὸν προσδοκώμενον τὴν ὑπόνοιαν δίδωσι. Πεπει-

4. *ποιεῖν διαμένει*] Haec probe monuit Maran. pro vulg. *ποιεῖ διαμένειν* legenda esse: quapropter in textu posui.

1. *οὐκ ἦν*] Negatio est vulgo praetermissa. Male: ut jam Maranus notavit. Nempe — inquit — supra legem non erat, quia solus Christi baptismus peccata sub lege commissa expiabat.

2. *κατὰ τὸν νόμον*] H. e. *ad legem quod attinet (in Hinsicht auf das Gesetz)*, id quod hic idem indicat atque *contra legem*. Perperam igitur Maran. *κατὰ τοῦ νόμου* voluit; conjecerim potius (vid. Quaest. 31. not. 2.) *παρὰ τὸν νόμον*.

1. *τινες*] Joannem propter discipulos suos rogasse censuere plerique fere omnes ecclesiae patres.

per in iis quae ipsum decent facere permanet; mutationem autem ad ea quae ipsum non decent facienda nunquam suscipit.

Quæstio 37.

Si Joannis baptisma non fuit secundum legem, ut profecto non fuit: quomodo non praeter legem fuit, et quomodo ab iis qui lege obstricti erant susceptum fuit? Quomodo autem non legis transgressores fuere qui, quum essent sub lege, illud contra legem baptisma susceperunt? Quodsi sub lege erat gratiae baptisma, nec tamen secundum legem nec supra legem nec praeter legem fuisse dicitur: quo tandem modo exstitisse reperietur?

Responsio.

Baptisma Joannis prooemium fuit evangelii gratiae; quare etiam supra legem non fuit. Neque enim licebat iis qui contra legem peccaverant in hoc baptismate per poenitentiam et fidem Christi percipere remissionem.

Quæstio 38.

Si persuadere discipulis Joannes de Christo, ipsum esse Christum, volebat, quum eos ad ipsum misit (id enim nonnulli dixerunt): quare non conceptis verbis id iis declaravit, sed interrogationem per eos Christo protulit? Sin eo quod in carcerem injectus fuerat variis cogitationibus ad ambigentem de illo dubitationem adductus est (etenim id alii dixerunt): quare sic interrogat quasi nondum illum venisse sciret? Illud enim: *Tune es qui venturus est an alium exspectamus?* hanc de Christo opinionem exhibet quasi is nondum advenisset, sed venturus exspectaretur. Id enim si persuasum Joanni fuisset,

2. εἱρκτῇ] Codd. msti et Stephan. hic et infra εἰρκτῇ.

3. κατέστη] Maran. opinatus est legendum οὐ κατέστη.

4. ἕτεροι] Jam Tertullianus c. Marc. IV. 18. idem statuerat: „Atque adeo hoc erat Joannis scandalum, quod dubitabat ipsum venisse, quem exspectabant" etc..

5. Σὺ ... προσδοκ.] Ev. Matth. XI. 3..

6. ἔρχεσθαι] Hoc pro vulg. εὔχεσθαι, quod e textu ejeci, legendum esse Maran. recte advertit.

σμένος γὰρ τοῦτο οὐκ ἂν ἐπηρώτησε· Σὺ εἶ ὁ Χριστὸς ἢ ἕτερός τις παρ' ἐκεῖνον;

'Απόκρισις.

'Επειδὴ διάφοροι φῆμαι [7] περὶ ὧν ἐποιήσατο θαυμάτων ὁ 'Ιησοῦς διέτρεχον, [8] τῶν μὲν λεγόντων· 'Ηλίας ἐστὶν ὁ ταῦτα ποιῶν, τῶν δέ· 'Ιερεμίας, τῶν δέ· Ἄλλος τις τῶν προφητῶν, ταύ- C
τας τὰς φήμας ἀκούων ὁ 'Ιωάννης ἐν τῇ εἱρκτῇ πέμπει τοὺς μαθητὰς αὐτοῦ μαθεῖν, εἰ ὁ τὰ σημεῖα ποιῶν αὐτός ἐστιν ὁ ὑπ' αὐτοῦ μαρτυρηθείς, ἢ ἕτερός τις ὁ παρὰ τῶν πολλῶν θρυλλούμενος. Γνοὺς δὲ ὁ 'Ιησοῦς τοῦ 'Ιωάννου τὸν σκοπὸν ἐπὶ τῆς παρουσίας τῶν μαθητῶν 'Ιωάννου ἐποίησε πολλὰ θαύματα, πείθων αὐτοὺς καὶ τὸν 'Ιωάννην δι' αὐτῶν, ὡς αὐτὸς εἴη ὁ πεποιηκὼς καὶ τὰ ἐπ' ὀνόματι ἑτέρων φημιζόμενα θαύματα, ὁ ὑπ' αὐτοῦ μαρτυρηθείς.

'Ερώτησις λθ'. D

Εἰ πάντας ἕλκειν πρὸς ἑαυτὸν ὁ δεσπότης Χριστὸς μετὰ τὴν οἰκείαν ὕψωσιν [1] ἐπηγγείλατο, πῶς οὐ πάντες τῇ εἰς αὐτὸν πίστει προσέδραμον; Πῶς δὲ αὐτὸς ἐπαγγειλάμενος πρὸς αὐτὸν ἕλκειν οὐκ ἐναντιοῦται τῷ [2] Οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατήρ μου ἑλκύσῃ αὐτόν;

'Απόκρισις.

'Απὸ τοῦ οἰκείου τέλους πᾶς λόγος κρίνεται· [3] τέλος δέ, τὸ 415
πάντας ἕλκειν πρὸς ἑαυτόν, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν· οὐ χρὴ οὖν πρὸ τοῦ τέλους τὰ τοῦ τέλους ἀπαιτεῖν. Ἕλκει δὲ ὁ πατὴρ πρὸς τὸν υἱὸν τῷ διδόναι καὶ τῷ υἱῷ ἐξουσίαν καὶ δύναμιν τοῦ δύνασθαι πάντας ἕλκειν πρὸς ἑαυτόν. Οὐκ ἄλλοτε οὖν ἕλκει ὁ πατὴρ πρὸς τὸν υἱὸν καὶ ἄλλοτε ὁ υἱὸς πρὸς ἑαυτόν· διὸ οὐδὲν ἐναντίον ἐν τοῖς λόγοις.

'Ερώτησις μ'.

Εἰ ἐν τοῖς δαιμονῶσιν οἱ δαίμονες διηνεκῶς ἐνοικοῦσι, πῶς B

7. περὶ ὧν ἐπ. θαυμ.] Simplicior structura est περὶ τῶν θαυμάτων ἃ ἐποιήσατο. *Sylburgius.*

8. τῶν μὲν λεγόντων etc.] Cf. ev. Matth. XVI. 14..

1. ἐπηγγείλατο] Cf. ev. Joann. XII. 32.: κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν.

2. Οὐδεὶς ... αὐτόν] Ev. Joann. VI. 44..

non ita interrogasset: *Tune es Christus an alius quisquam ab eo?*

Responsio.

Quoniam diversi rumores de miraculis a Jesu factis spargebantur, aliis dicentibus: *Elias est qui haec facit*, aliis: *Jeremias*, aliis: *Alius quispiam ex prophetis* — hos rumores audiens Joannes in carcere mittit discipulos suos sciscitatum, utrum is qui mira faciebat ipse esset cui testimonium tribuerat, an alius quispiam apud vulgus jactatus. Jesus autem, quum nosset consilium Joannis, praesentibus ejus discipulis multa fecit miracula, persuadens iis et per eos Joanni illum se esse qui celebrata etiam sub aliorum nomine miracula fecerit et Joannis testimonio laudatus sit.

Quæstio 39.

Si omnes tracturum se ad seipsum dominus Christus post propriam exaltationem promisit: quomodo non omnes ad ejus fidem accurrerunt? Quomodo autem ipse, dum pollicetur se ad se tracturum, non contradicit his verbis: *Nemo venit ad me, nisi pater meus traxerit eum?*

Responsio.

Ex proprio fine quivis sermo dijudicandus est; finis autem, nempe illud trahere omnes ad seipsum, tum erit *quum aboleverit omnem principatum et potestatem et virtutem:* non igitur convenit ante finem ea quae finis sunt requirere. Trahit autem pater ad filium, dum dat etiam filio potestatem et virtutem ut possit omnes trahere ad seipsum. Non alias ergo pater ad filium et alias filius ad seipsum trahit: quare nulla in verbis repugnantia.

Quæstio 40.

Si in daemoniacis continue daemones morantur: quomodo

3. τέλος... δύναμιν] Ep. 1. ad Cor. XV. 24.. Maranus voluit legi τέλος δὲ τοῦ πάντας etc.: *finis autem trahendi ad se ipsum*. Langus reddidit: *Dicti autem ejus, quo significatur pertractum iri ad se omnes, tum finis erit, cum* etc.. Sensus: Christus tunc omnes ad se trahet quum infestam quamcunque potestatem destruxit.

ἑτέροις κατασκευάζουσι βλάβας; Εἰ δὲ τοῦτο ποιοῦσι τῶν πασχόντων πρὸς βραχὺ [1] χωριζόμενοι, πῶς, ὅτε ἀοράτῳ δυνάμει ἀπ' αὐτῶν διωχθῶσιν, οὐκέτι ἐν αὐτοῖς ἴχνη τῆς οἰκείας παρουσίας δεικνύουσιν;

Ἀπόκρισις.

[2] Ἀδύνατον τὸν τοῖς δαίμοσι [κάτοχον] ποιῆσαί τι [ἀπόντος τοῦ δαίμονος· ὅσα γὰρ] ποιεῖ τῇ παρουσίᾳ παρόντος τοῦ [δαίμονος ποιεῖ, οὗ ἀποχωρήσαντος] οὐδὲ τὰ ἴχνη αὐτοῦ πάρεστιν· ἡ γὰρ ἀπελαύνουσα αὐτὸν ἀόρατος δύναμις φόβον αὐτῷ ἐντίθησι τοῦ C
μηκέτι πλησιάζειν τῷ τεθεραπευμένῳ.

Ἐρώτησις μα'.

Εἰ μόνου θεοῦ ἐστι ζωὴν καὶ ἰσχὺν διδόναι τοῖς σώμασι, πῶς τοῦτο ποιοῦσιν οἱ δαίμονες, ἐνισχύοντες τῶν [1] δαιμονώντων τὰ σώματα, ὥστε τὰ δεσμὰ καὶ τὰς ἁλύσεις συντρίβειν; [2] Ἐδεσμεῖτο γὰρ ἁλύσεσι καὶ πέδαις, καὶ διαῤῥήσσων τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὴν ἔρημον.

Ἀπόκρισις. D

Οὐ τῷ σώματι παρέσχεν ὁ δαίμων τὴν δύναμιν πρὸς τὸ δύνασθαι συντρίβειν καὶ διαῤῥήσσειν τὰ δεσμὰ καὶ τὰς ἁλύσεις, ἀλλ' αὐτὸς ὁ δαίμων συνέτριβε καὶ [3] διέῤῥησσε τὰ δεσμὰ καὶ τὰς ἁλύσεις, εἰ καὶ ἡ θεία γραφὴ τῷ [4] δαιμονιῶντι προσῆψε τοῦ δαίμονος τὰ ἔργα.

Ἐρώτησις μβ'.

Εἰ τῶν μερῶν τῆς κτίσεως οἱ δαίμονες οὐκ ἐξουσιάζουσι, διὰ τί παρακουσθέντων τῶν χρησμῶν τοῖς Ἕλλησι τιμωρίας ἐπή- 416
γαγον, καὶ θεραπευθέντων τῶν εἰδώλων ταύτας ἀνέσχον καὶ ἀγαθὰ αὐτοῖς ἀντὶ τούτων παρέσχον; Πόθεν οὖν αὐτοῖς δυνατὸν εἰς τὴν ἑκατέρου [1] ἔννοιαν;

1. χωριζόμενοι] Sic recte Maran. dedit pro vulg. γνωριζόμενοι.

2. Ἀδύνατον etc.] Codd. msti et editi praebent: Ἀδύνατον τὸν τοῖς δαίμοσι ποιῆσαι τῇ ἀπ * ποιεῖ τῇ παρουσίᾳ παρόντος τοῦ * οὐδὲ τὰ ἴχνη etc.. Egregie Sylburgius, versionem Langianam secutus, textum restituit graecum; atque restitutum supra exhibui.

1. δαιμονώντων] Morell. δαιμονιώντων contra codd. mstos.

aliis struunt detrimentum? Sin hoc faciunt ab iis qui ab ipsis affliguntur ad breve tempus secedentes: quomodo, quum ex illis potestate invisibili exiguntur, deinceps in ipsis vestigia praesentiae suae non ostendunt?

Responsio.

Fieri non potest ut qui a daemonibus arreptus tenetur faciat quidpiam absente daemone; quaecunque enim facit praesentia praesentis daemonis facit, qui quum abscessit, ne vestigia quidem ejus manent: nam quae eum exigit vis invisibilis metum ei incutit, ut amplius ad eum qui curatus est non appropinquet.

Quæstio 41.

Si solius dei est vitam et robur dare corporibus: quomodo id daemones faciunt, qui roborant corpora daemoniacorum, ita ut vincula et catenas frangant? *Constringebatur* enim *catenis et compedibus*, *et vincula disrumpens agebatur a daemone in desertum.*

Responsio.

Non corpori vires praestitit daemon ut posset frangere et rumpere vincula et catenas, sed ipse daemon frangebat et rumpebat vincula et catenas, quamvis divina scriptura daemoniaco attribuit daemonis opera.

Quæstio 42.

Si in partes creaturae nihil possunt daemones: quare contemtis oraculis poenas gentilibus inferebant, atque cultu simulacris adhibito eas cohibebant et pro poenis beneficia illis praestabant? Unde igitur istis in utramque partem potestas?

2. *'Εδεσμεῖτο ... ἔρημον*] Ev. Luc. VIII. 29..

3. *διέῤῥησσε*] Eamdem formam cod. Vatic. Luc. V. 6. praebet.

4. *δαιμονιῶντι*] Legendum Marano videtur *δαιμονῶντι*, ut supra *δαιμονῶσιν* et *δαιμονώντων*.

1. *ἔννοιαν*] Sylburgius vult legi *ἐνέργειαν*, quod quidem minime necessarium, cum *ἔννοια* hoc loco non sit obscura. *Maranus*.

Ἀπόκρισις.

Ἔθος ἦν τοῖς δαίμοσι πρὸς πλάνην ἀνθρώπων προστιθέναι
ἑαυτοῖς ὥσπερ τοῦ θεοῦ τὸ ὄνομα οὕτως καὶ τὴν ἰσχύν. Ὅτι
δὲ οὐκ ἔστι τοῖς δαίμοσιν ἰσχὺς ἀμυντικὴ τῶν ἀνηκόων καὶ εὐ-
εργετικὴ τῶν ὑπηκόων, [2] δείκνυται ἐκ τῆς καταλύσεως ἧς ὑπέ- B
μεινεν ὁ ἑλληνισμὸς ὑπὸ τοῦ χριστιανισμοῦ. Φανερῶς γὰρ ὤ-
φθη ὁ ἑλληνισμὸς οὐχ ἑτέρᾳ δυνάμει κατὰ τοῦ χριστιανισμοῦ χρη-
σάμενος πλὴν τῇ διὰ χειρὸς ἀνθρώπων καὶ ξιφῶν· εἰ γὰρ εὐπό-
ρει ὁ ἑλληνισμὸς θείας δυνάμεως ὑπερμαχούσης αὐτοῦ καταλυο-
μένου, οὐκ ἂν τῇ ἀνθρωπίνῃ δυνάμει ἐχρήσατο σώζειν [3] ἑαυτόν,
μάτην προσδοκήσας θεοὺς αὐτοῦ, ἐκ τῆς καταλύσεως· ὅπερ ἐστὶ
μέγιστος ἔλεγχος τῆς τῶν δαιμόνων ἀσθενείας καὶ τοῦ μηδέποτε αὐ-
τοὺς δυνηθῆναι θεῖα ἔργα ἐκτελεῖν, τιμωρητικὰ τῶν ἀνηκόων καὶ C
εὐεργετικὰ τῶν ὑπηκόων. Ἔτι δὲ εἰ πᾶσα θεραπεία ἐστὶ ζώντων
τε καὶ αἰσθανομένων, πῶς οὐκ ἔστι προδήλως [4] ψευδὲς τὸ Θε-
ραπευθέντων δὲ τῶν εἰδώλων ἀνέσχον τὰς τιμωρίας, τῶν μήτε
ζώντων μήτε αἰσθανομένων, ἀλλ' ὥσπερ πρὸς τὰς θεραπείας οὕ-
τως καὶ πρὸς τὴν παρακοὴν τῶν χρησμῶν ἀναισθήτως ἐχόντων;

Ἐρώτησις μγ'.

Εἰ ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ [1] λέγει ὅτι δύο δύο καὶ
ἑπτὰ ἑπτὰ ἐν τῇ κιβωτῷ εἰσηνέχθησαν [2] ἀλογίστως, οὐ τέσσαρα
καὶ δεκατέσσαρα ἐκ τῶν ἀκαθάρτων καὶ καθαρῶν, [3] καί τινες γὰρ D
εἰρήκασι, τινὲς δὲ ὅτι δύο [4] ἀκάθαρτα μόνον, ὁτιοῦν ἐκ τῶν
δύο ἀληθέστερον;

Ἀπόκρισις.

Ἀληθέστερον εἶπεν ὁ εἰπὼν τέσσαρα καὶ δεκατέσσαρα τοῦ εἰπόντος δύο καὶ ἑπτά· τὰ γὰρ δύο δύο εἶπεν ἀντὶ τοῦ δύο ἄῤῥενα καὶ δύο θήλεα, καὶ [5] ἑπτὰ ἑπτὰ ἀντὶ τοῦ ἑπτὰ ἄῤῥενα καὶ ἑπτὰ θήλεα. Ἀκάθαρτα δὲ τὰ δύο δύο.

2. δείκν. ἐκ τ. καταλύσεως] Noli inde concludere gentilismum illo tempore prorsus exstinctum fuisse; nam vid. Quaest. 1..

3. ἑαυτόν] Vulgo male ἑαυτήν.

4. ψευδὲς] Stephan. ψευδὲν errore.

1. λέγει] Scil. ἡ θεία γραφή — Genes. VII. 2.. Langus male supplet τις.

2. ἀλογίστως] H. e. numeros non in unam summam (IV et XIV) colligens. Explicatur igitur verbis quae statim sequuntur.

Responsio.

Mos erat daemonibus ad homines decipiendos attribuere sibi ipsis ut dei nomen ita etiam robur. Minime autem inesse daemonibus potestatem ultricem inobedientium et adjutricem obedientium demonstratur ex exitio, quod gentilismus accepit a christianismo. Nam manifeste declaratum est gentilismum non alia adversus christianismum potestate usum esse nisi quae hominum manu et gladiis exercetur; si enim abundaret gentilismus divina virtute ipsum pereuntem defendente, nequaquam humana potestate usus esset ut seipsum ab exitio, frustra diis suis exspectatis, servaret: quod quidem maximum argumentum est daemonum imbecillitatis atque eos nunquam posse divina opera edere, quibus inobedientes puniant et obedientes adjuvent. Praeterea si cultus omnis viventium est et sentientium: quomodo non manifeste falsum est illud „Cultu autem simulacris adhibito poenas cohibebant" — simulacris, inquam, quae nec vivunt nec sentiunt, sed ut ad cultum ita etiam ad contemtum oraculorum sensu carent?

Quæstio 43.

Si tempore diluvii dicit scriptura *duo duo* et *septem septem* in arcam introducta esse, ratione non subducta, nequaquam autem quatuor et quatuordecim ex impuris et puris animantibus, et si id aliqui dixerunt, aliqui autem duo impura dumtaxat: utrum ergo verius?

Responsio.

Verius dixit qui dixit quatuor et quatuordecim quam qui duo et septem: nam scriptura *duo duo* dixit pro duobus maribus et duabus feminis, et *septem septem* pro septem maribus et septem feminis. Impura autem duo duo.

3. *καί τινες γὰρ εἰρήκ.*] Lang. et Maran. inepte: *nam illud nonnulli dixerunt.* Pro γὰρ melius se haberet τοῦτο (h. e. ὅτι τέσσαρα ἀκάθαρτα ἐν τ. κ. εἰσηνέχθησαν), sed licet vulgatam lectionem retinere.

4. ἀκάθαρτα] Vulg. textus καθαρὰ mendose habet.

5. ἑπτὰ ἑπτὰ ἀντὶ τοῦ] Haec verba vulgo omissa sunt; sed ea reponenda esse jam Langus et Sylburgius notarunt.

Ἐρώτησις μδʹ. 417

Ἐπειδὴ τὴν τῶν πολυομμάτων ζώων [1] Ἡσαΐας καὶ Ἰεζεκιὴλ ἐθεάσαντο ὀπτασίαν, [2] ἆρα ἀμφοτέροις ἕν τι ἀπεκαλύπτετο ἢ θατέρῳ ἐδείκνυτο θάτερον; Τί δὲ καὶ ἐδείκνυτο δεικνύμενον;

Ἀπόκρισις.

Διὰ μὲν τῆς κατὰ τὸν προφήτην Ἡσαΐαν ὀπτασίας τὸ [3] κα-
τὰ τὸν Χριστὸν ἐδήλου μυστήριον, καθήμενον ἐπὶ θρόνου δόξης
καὶ τῇ βρώσει τῆς ἁγίας αὐτοῦ σαρκὸς καθαρισμὸν ποιοῦντα ἁμαρ- B
τίας ἀσεβῶν ἀνθρώπων, τῶν ἐν πάσῃ τῇ γῇ δοξαζόντων τὴν
ἁγίαν καὶ ὁμότιμον τριάδα ἐπὶ τῷ μεγέθει τῶν θείων δωρεῶν,
ἧς τῷ ὀνόματι βαπτισθέντες ἐδικαιώθησαν λαβόντες τῆς τῶν οὐ-
ρανίων καὶ αἰωνίων ἀγαθῶν μετουσίας τὴν ἐλπίδα. Ὃν γὰρ ἐθεά-
σατο ὁ προφήτης ἄνθρακα τοῖς ἀκαθάρτοις αὐτοῦ χείλεσι προσα-
γόμενον εἰς κάθαρσιν ἀνομιῶν τε καὶ ἁμαρτιῶν, μήνυμα εἶχε τῆς
δεσποτικῆς σαρκὸς καθαριζούσης τὸ συνειδὸς τῶν ἐσθιόντων αὐ- C
τὴν ἀπὸ πάσης ἀσεβείας. Διὰ δὲ τῆς κατὰ τὸν προφήτην Ἰεζε-
κιὴλ ὀπτασίας τὰ μέλλοντα ἐδήλου συμβήσεσθαι τῷ Ναβουχοδο-
νόσορ βασιλεῖ Βαβυλῶνος, ψυχαγωγίαν ὄντα τῶν ἐν τῇ αἰχμαλωσίᾳ
ἐν Βαβυλῶνι ὄντων Ἰσραηλιτῶν. Ἐθεάσατο δὲ ὁ προφήτης τετρα-
πρόσωπα ζῶα, ὁμοιώματα ἔχοντα ἀνθρώπου τε καὶ λέοντος, μόσχου
τε καὶ ἀετοῦ· [4] λέγει δὲ καὶ ὁ προφήτης Δανιὴλ περὶ τοῦ Ναβουχο-
δονόσορ, ὅτι [5] ηὐξήθησαν οἱ ὄνυχες αὐτοῦ ὡς ἀετοῦ καὶ αἱ τρίχες
αὐτοῦ ὡς λέοντος, καὶ χόρτον ἐψώμισαν αὐτὸν ὡς τὸν μόσχον, καὶ D
καρδία ἀνθρώπου ἐδόθη αὐτῷ. Ἐκ ταύτης δὲ τῆς ὀπτασίας ψυχα-
γωγίαν τινὰ ἐντίθησι τοῖς Ἰσραηλίταις, [6] τοὺς πρὸς τὴν κραταιάν
τε καὶ ἰσχυρὰν σφόδρα τῶν Βαβυλωνίων δυναστείαν ἀποβλεψαμέ-
νους καὶ ἐν ἀπογνώσει καθεστῶτας τοῦ μὴ δύνασθαι ἔτι ἐκ τῆς
τοιαύτης αἰχμαλωσίας τυχεῖν ἐλευθερίας· ἵνα οὖν ἀπὸ ταύτης τῆς
ἀπογνώσεως μεταστήσῃ τοὺς Ἰσραηλίτας ὁ θεὸς καὶ παρασκευά-
σῃ αὐτοὺς πρὸς τὴν αὐτοῦ δυναστείαν ἀποβλέπειν, δείκνυσι τῷ

1. Ἡσ. κ. Ἰεζ.] Jes. VI. et Ez. I..

2. ἆρα] Stephan. ἄρα.

3. κατὰ τὸν Χριστὸν] Codd. msti, Stephan. et Maran. κατὰ τοῦ Χριστοῦ. Genitivus quidem ista ratione usurpatus offensionem non praebet (Quaest. 131.), sed accusativus requiritur justa membrorum consonantia: κατὰ τὸν προφήτην — καθήμενον etc.. Videlicet falsa fluxit scriptura a sequenti ἐδήλου.

4. λέγει] Cf. Dan. IV. 30..

Quæstio 44.

Quandoquidem animalium multos oculos habentium oblata est Jesaiae et Ezechieli visio: num utrique unum quidpiam revelatum an alteri monstratum est alterum? Quid autem etiam id quod monstratum est indicabat?

Responsio.

Oblata Jesaiae prophetae visio mysterium Christi declarabat, sedentis in throno gloriae et per sanctae carnis suae manducationem expurgantis peccatum impiorum hominum, qui in universa terra ob magnitudinem divinorum donorum glorificant sanctam et pari honore dignam trinitatem, cujus nomine baptizati justificati sunt spe accepta participationis coelestium aeternorumque bonorum. Quem enim vidit propheta carbonem labiis suis impuris admotum ad expurgationem iniquitatum et peccatorum, is indicium habebat dominicae carnis expurgantis conscientias comedentium ab omni iniquitate. Per oblatam autem Ezechieli prophetae visionem ea indicabantur quae Nabuchodonosori regi Babylonis eventura erant in solatium Israelitarum, qui Babylone captivi erant. Vidit autem propheta quadruplici facie instructa animalia, similitudinem habentia hominis et leonis, vituli et aquilae; memorat autem etiam propheta Daniel de Nabuchodonosore: ungues ejus crevisse ut aquilae et crines ejus ut leonis, et herbam eum pastum esse ut vitulum, et cor hominis ei datum esse. Hac autem visione aliquid solatii injicit Israelitis, qui potentem ac fortem valde Babyloniorum dominatum intuebantur seque ex tali captivitate liberari posse desperabant: ut ergo ab hac desperatione Israelitas revocet deus eosque adducat ut ad ipsius potentiam respiciant, prophetae ostendit lenis et feri animalis

5. ηὐξήθησαν] Codd. msti et Stephan. ἠυξύνθησαν (sic).

6. τοὺς] Vulgo τοῦ vitiose. Nota constructionem mutatam; scribendum enim erat τοῖς ... ἀποβλεψαμένοις ... καθεστῶσι. Mutatio autem casus orta est ex verbis quae sequuntur: ἵνα οὖν ἀπὸ ταύτης τῆς ἀπογνώσεως μεταστήσῃ τοὺς Ἰσραηλίτας: ea nempe verba, quae resumtionem comprehendunt, animo auctoris obversabantur quum scriberet τοὺς ... ἀποβλεψαμένους ... καθεστῶτας.

προφήτῃ ἡμέρου τε καὶ ἀνημέρου ζώου τὴν σύζευξιν καὶ βαρυσώμου καὶ πετεινοῦ τὴν σύμπηξιν· ἥμερον μὲν γὰρ ζῶον ὁ ἄν- 418
θρωπος, ἀνήμερον δὲ ὁ λέων, καὶ βαρύσωμον μὲν ζῶον ὁ μόσχος, πετεινὸν δὲ καὶ κοῦφον ζῶον ὁ ἀετός. [7] Ἐν ἐκείνοις μὲν οὖν δηλοῖ τὴν τῆς βασιλείας ἐξ ἀνημέρου εἰς ἡμερότητα μετάστασιν, [8] ἐν τούτοις δὲ τῆς βαρύτητος τῆς δουλείας εἰς τὴν ἐλευθερίαν μεταβολήν· ὑπόζυγος γὰρ ὁ μόσχος, ζυγοῦ δ' ἐλεύθερος ὁ ἀετός. Δείκνυσι δὲ τῷ προφήτῃ καὶ τροχὸν ἐν τῷ τροχῷ, μηνύων δι' αὐτῶν τὴν τῶν Ἰουδαίων ἀπαγωγὴν εἰς αἰχμαλωσίαν καὶ [9] ἀπαγωγὴν εἰς τὰ ἴδια.

Ἐρώτησις με'. B

[1] Διὰ τί ἐπὶ τοῦ Ἰεζεκιὴλ κατακέχρηται ὁ θεῖος ὁρισμὸς τῷ [2] τοῦ υἱοῦ τοῦ ἀνθρώπου προσρήματι, ὅπερ ἐπὶ τῶν ἄλλων προφητῶν οὐκ ἐποίησε; Καὶ εἰ τὴν [3] παγκόσμιον ἀνάστασιν ἐπὶ τῶν ξηρῶν ὀστέων ὁ αὐτὸς προφήτης τεθέαται, καὶ εἰ τῷ ὄντι ἀνέστησαν τὰ ὀστέα ἄνθρωποι γενόμενοι τέλειοι, καθὼς ἡ τοῦ αὐτοῦ προφήτου διδάσκει βίβλος;

Ἀπόκρισις.

Ἐπειδὴ ἔμελλε διὰ τοῦ προφήτου Ἰεζεκιὴλ κατ' ὀπτασίαν προγράφεσθαι τῶν νεκρῶν ἡ ἀνάστασις, μέλλουσα γίνεσθαι [4] ἐπὶ πραγ- C
μάτων διὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου κατὰ τὸ εἰρημένον· [5] Ἔρχεται ἡμέρα καὶ νῦν ἐστιν, [6] ὅτε πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς [7] τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ οἱ ἀκούσαντες ζήσονται· διὰ τοῦτο καλεῖται τῷ τοῦ υἱοῦ [8] τοῦ ἀνθρώπου ὀνόματι. Καθάπερ Ἰησοῦς ὁ τοῦ Ναυῆ, μέλλων κατ' αὐθεντίαν ἡλίῳ καὶ σελήνῃ

7. Ἐν ἐκείνοις] H. e. in conjunctione feri et lenis animalis (s. leonis et hominis).

8. ἐν τούτοις] H. e. in conjunctione gravis et levis animalis (s. vituli et aquilae).

9. ἀπαγωγὴν] Sylburgius legendum putat ἐπαναγωγήν *(reductionem)*. Sed servanda videtur ejusdem vocis repetitio, ut respondeat his verbis: τροχὸν ἐν τῷ τροχῷ. *Maranus.*

1. Διὰ τί etc.] Quaestionis argumentum Ezech. XXXVII. praebuit.

2. τοῦ υἱοῦ τοῦ ἀνθρώπου] Codd. msti (librariorum negligentia) et editi nihil dant nisi τοῦ ἀνθρώπου.

3. παγκόσμιον] Sylburg. mallet πάγκοσμον. Sed illa vocis compositio apud Patres saepe occurrit; cf.

conjunctionem atque corpus grave gerentis et volatilis coagmentationem; lene enim animal est homo, ferum leo, atque corpus grave gerens animal est vitulus, volatile et leve aquila. In illis igitur demonstrat immitis regni in mansuetudinem, in his gravis servitutis in libertatem mutationem; jugo enim subjectus vitulus, libera a jugo aquila. Ostendit autem prophetae etiam rotam in rota, per haec indicans Judaeorum abductionem in captivitatem et abductionem in patriam.

Quæstio 45.

Quare in Ezechiele utitur divinum oraculum filii hominis appellatione, quod quidem in aliis prophetis non fecit? Praeterea an generalem totius mundi resurrectionem in aridis ossibus idem propheta vidit, et an revera ossa resurrexerunt perfecti homines facta, ut docet ejusdem prophetae liber?

Responsio.

Quandoquidem propheta Ezechiel per visionem depicturus erat mortuorum resurrectionem, quam filius hominis de factis instituet secundum haec verba: *Venit hora et jam adest, quando omnes qui in sepulcris sunt audient vocem filii hominis, et qui audierint vivent* — idcirco vocatur filii hominis appellatione. Quemadmodum Jesus, filius Navae, quum soli et lunae pro potestate sua imperaturus esset ut starent, accepit

Actt. mart. Just. c. 5..

4. *ἐπὶ πραγμάτων*] Lang.: *in fine rerum* (= *ἐπὶ τῷ τέλει τῶν πραγμ.*); Maran.: *reipsa*. Opponitur illa formula praecedenti *κατ' ὀπτασίαν*.

5. *Ἔρχεται ... ζήσονται*] Ev. Joann. V. 25..

6. *ὅτε π. οἱ ἐν τ. μνημ. ἀκ.*] Joannes *ὅτε οἱ νεκροὶ ἀκούσονται*: quae lectio Sylburgio videtur esse verior. Verba vero *οἱ ἐν τοῖς μνημείοις*, fortius dicta quam illud *οἱ νεκροί*, ex l. c. v. 28. repetita sunt.

7. *τοῦ υἱοῦ*] Codd. msti et Stephan. utramque vocem omiserunt; vid. not. 2..

8. *τοῦ*] Deest in editione Marani.

προστάσσειν [9] τὴν στάσιν, λαμβάνει τοῦ Ἰησοῦ [10] τὸ ὑπὸ τῆς κτί-
σεως τῇ ὑπακοῇ τοῦ προστάγματος τιμώμενον, οὕτως καὶ ὁ Ἰεζε-
κιὴλ λαμβάνει τοῦ υἱοῦ τοῦ ἀνθρώπου τὸ ὄνομα καὶ διὰ τῆς ὀ- D
πτασίας ἐγείρει τοὺς νεκροὺς τῇ δυνάμει τοῦ προσρήματος. Ἦν δὲ
ἐπὶ τοῦ Ἰεζεκιὴλ τὰ πάντα ὀπτασία, καὶ τὰ ὀστέα καὶ ἡ τούτων
ἀνάστασις. Δείκνυσι δὲ τῷ προφήτῃ ταύτην τὴν ὀπτασίαν ὁ θεός,
προηγουμένως μὲν μηνύων δι' αὐτῆς τὴν ἐσομένην διὰ Χριστοῦ
πάντων. [11] κοσμικὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν, ἔπειτα δὲ διὰ τὴν
ψυχαγωγίαν τῶν Ἰσραηλιτῶν τῶν ἀπογνόντων ἑαυτοὺς τῷ δεδου-
λῶσθαι ὅτι ἐλεύθεροι ἔσονται τῆς τῶν Βαβυλωνίων βασιλείας·
καθάπερ γὰρ τὰ νεκρὰ σώματα ἐν τοῖς μνημείοις κείμενα, ἐλπίδα 419
οὐκ ἔχοντα ἐγέρσεως, οὕτως ἑαυτοὺς ἐλογίσαντο εἶναι ἐν Βαβυλῶνι,
χωρὶς πάσης ἐλπίδος τῆς ἐπανόδου. Δηλοῖ δὲ τοῦτο ὁ αὐτὸς προ-
φήτης ἐν οἷς λέγει· [12] Καὶ ἐλάλησε κύριος πρός με λέγων· Υἱὲ ἀν-
θρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστιν· αὐτοὶ λέ-
γουσι· Ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπώλετο ἡ ἐλπὶς ἡμῶν, καὶ
τὰ ἑξῆς.

Ἐρώτησις μϛ'.

Εἰ καλὰ τὰ τοῦ βίου πάντα, διὰ τί οἱ τούτων ἀπεχόμενοι
ἐν γραφαῖς ἐπαινοῦνται, καὶ οἱ ἀντεχόμενοι αὐτῶν διαβάλλονται;
Εἰ δὲ φαῦλα τυγχάνει, διὰ τί τὰ φαῦλα τῇ ἡμετέρᾳ ζωῇ συμ- B
παρέζευκται, καὶ ταῦτα ἀγαθοῦ τοῦ δημιουργοῦ τυγχάνοντος;

Ἀπόκρισις.

Οὐχ ἁπλῶς ἐπαινετὸν τὸ ἀπέχεσθαι τῶν τοῦ βίου καλῶν,
οὔτε ἁπλῶς ψεκτὸν τὸ ἀντέχεσθαι αὐτῶν, ἀλλ' ἑκάτερον πρέποντι
λόγῳ γινόμενον, καὶ τὸ ἀπέχεσθαι καὶ τὸ ἀντέχεσθαι αὐτῶν,
ἐστὶν ἐπαινετόν· [1] ἐναντίως δὲ γινόμενον, ἀμφότερά ἐστι ψεκτά.
Ὅτι δὲ οὐδὲν φαῦλον κατ' οὐσίαν συμπαρέζευκται τῇ ἡμετέρᾳ
ζωῇ, δηλοῖ ἡ θεία γραφὴ τῶν δημιουργημάτων ἐπαινοῦσα τὴν C
γένεσιν, λέγουσα· [2] Καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ

9. *τὴν στάσιν*] Ita codd. msti et Maranus; sed illi codd. in marg. et caeteri editores habent *τὴν κλῆσιν* (copulant cum verbis *λαμβ. τοῦ Ἰησοῦ*: *appellationem Jesu accepit*) — et male quidem: scilicet istud *τὴν κλῆσιν* ferri nequit propter sequens *τὸ ... τιμώμενον*. — De illo Josuae nomine vid. Justin. Dial. c. Tr. c. 75. et quae ibi adnotavi.

Jesu nomen quod creatura mandato obediendo venerata est: ita etiam Ezechiel accipit filii hominis nomen et per visionem resuscitat mortuos potestate cognominis. In Ezechiele autem omnia visio fuerunt, et ossa et eorum resurrectio. Hanc autem visionem deus prophetae ostendit, praecipue quidem ut per eam demonstret futuram per Christum omnium generalem resurrectionem ex mortuis, deinde vero propter solatium Israelitarum, qui ob servitutem desperabant se liberos ex Babyloniorum dominatu futuros; nam quasi mortua corpora in monumentis jacentia, spem resurrectionis non habentia, ita sibi esse Babylone videbantur, absque ulla spe reditus. Declarat hoc idem propheta quum dicit: *Et locutus est dominus ad me dicens: Fili hominis, ossa haec omnis domus Israelis sunt; ipsi dicunt: Exaruerunt ossa nostra, periit spes nostra* — et quae sequuntur.

Quæstio 46.

Si bona sunt omnia quae in hac vita sunt: quare qui iis abstinent in scripturis laudantur, et qui ea complectuntur vituperantur? Sin autem mala sunt: quare mala nostrae vitae alligata sunt, idque quum bonus sit creator?

Responsio.

Non omnino laudabile est vitae bonis abstinere, neque omnino vituperabile est ea complecti: sed utrumque si convenienti ratione fiat, et abstinere et complecti, laudem meretur; si vero contraria fiant ratione, utrumque vituperio dignum. Nihil autem essentia malum vitae nostrae adjunctum esse declarat divina scriptura creaturarum originem laudando, dum ait: *Et vidit deus omnia quaecunque fecerat*,

10. *τὸ ... τιμώμενον*] Facile suppletur *ὄνομα*. *Maranus*.

11. *κοσμ. ἀνάστ.*] H. e. *ἀνάστ. παντὸς τοῦ κόσμου*.

12. *Καὶ ... ἡμῶν*] Ez. XXXVII. 11..

1. *ἐναντ. δὲ γινόμενον*] Nominativus absolute positus.

2. *Καὶ ... λίαν*] Genes. I. 31.. Pro *εἶδεν* (vid. Quaest. 35.) codd. msti et editi male dant *οἶδεν*.

ἰδοὺ καλὰ λίαν. Παρατρεψάντων δὲ ἡμῶν ἑκουσίως τὰ καλά, φαῦλα ὑφίσταται. Οὐκ ἔστι γὰρ φαῦλον ἐν τῷ ὑγιεῖ, τῶν ἐν αὐτῷ καλῶν ἀνατρέπτων μενόντων· ὥστε μηδὲν εἶναι φαῦλον παρὰ τὴν παρατροπὴν τοῦ καλοῦ. Οὐδὲν οὖν συμπαρέζευκται φαῦλον τῇ ἡμετέρᾳ ζωῇ· τὰ γὰρ φαῦλα χρήσει ἀλόγῳ εἰσὶ φαῦλα καὶ οὐ φύσει, προαιρετὸν δὲ τὸ κεχρῆσθαι ἢ καλῶς ἢ φαύλως.

Ἐρώτησις μζ΄. D

Εἰ τοῖς στοιχείοις οὐ πρόσεστιν αἴσθησις, διὰ τί Μωσῆς μὲν οὐρανὸν καὶ γῆν τῷ λαῷ [1] διαμαρτύρεται, Ἠσαΐας δὲ κατηγορῶν τοῦ αὐτοῦ λαοῦ τούτοις ἀκούειν [2] ἐγκελεύεται;

Ἀπόκρισις.

Τὰ λεγόμενα πρὸς τὸν οὐρανὸν καὶ τὴν γῆν πρὸς τοὺς ἐν αὐτοῖς λέγεται λογικούς, ὡς τὰ λεγόμενα πρὸς τὴν πόλιν πρὸς τοὺς πολίτας λέγεται, ὡς τὸ [3] Ἱερουσαλὴμ Ἱερουσαλὴμ ἡ ἀποκτεί- 420
νουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους [4] πρὸς αὐτήν. Οὐ γὰρ ἡ πόλις ἀπέκτεινε καὶ ἐλιθοβόλησεν ἀλλ' οἱ πολῖται.

Ἐρώτησις μη΄.

Διὰ τί ὁ κύριος ἔλεγε [1] πρὸς τὴν Μαρίαν μετὰ τὴν ἔγερσιν· [2] Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου; Εἰ μὲν οὖν πρὸ τῆς ἀναλήψεως οὐδενὶ ἐξῆν αὐτοῦ ἅπτεσθαι, πῶς μετὰ μικρὸν τοῖς μαθηταῖς καὶ τῷ Θωμᾷ ποιεῖν ἐπέτρεπε τοῦτο; Εἰ δὲ ἐξῆν, πῶς ὃ ἔμελλε μετὰ μικρὸν τοῖς πολλοῖς ἐπιτρέπειν ἀπηγόρευσε τῇ Μαρίᾳ πρὸ μικροῦ; B

Ἀπόκρισις.

Τὸ Μή μου ἅπτου εἴρηται πρὸς τὴν Μαρίαν ὑπὸ τοῦ σωτῆρος κατὰ τὴν ἔννοιαν τοῦ [3] Μή μοι ἀκολούθει, ὥστε διὰ παντὸς

1. διαμαρτύρεται] Deuter. XXXII. 1..

2. ἐγκελεύεται] Jesai. I. 2..

3. Ἱερουσ. ... αὐτήν] Ev. Matth. XXIII. 37..

4. πρὸς αὐτήν] Maran. praepositionem πρὸς errore omisit. Praeterea idem cum Sylburgio vult legi αὑτὴν (= σεαυτὴν) pro αὐτήν, qua quidem emendatione non opus est; cf. Baumgarten-Crusium et Meyerum ad loc. Matth..

1. πρὸς τὴν Μαρίαν] Codd. msti πρὸς τὴν μητέρα Μαρίαν. Attamen margini eorum apposita est haec nota: Ὅρα τί φησιν ἐνταῦθα.

et ecce erant valde bona. Nobis autem sponte pervertentibus bona, mala fiunt. Non enim malum est in sanitate, si quae illi bona insunt non pervertantur: proinde mali nihil est nisi per boni perversionem. Nihil igitur mali adjunctum nostrae vitae; nam quae mala sunt ea ob usum a ratione alienum mala sunt, non natura: bene autem vel male uti in libero positum est arbitrio.

Quæstio 47.

Si sensus elementis non est: quare Moses coelum et terram populo testes producit, Jesaias autem ipsum populum incusans coelum et terram audire jubet?

Responsio.

Quae coelo et terrae dicuntur iis dicuntur qui ratione praediti sunt in coelo et terra, quemadmodum quae civitati dicuntur civibus dicuntur, velut illud *Hierosolyma Hierosolyma quae occidis prophetas et lapidas eos qui ad eam missi sunt.* Non enim civitas occidit et lapidat sed cives.

Quæstio 48.

Quare dominus dicebat Mariae post resurrectionem: *Noli me tangere; nondum enim adscendi ad patrem meum?* Si quidem ante adscensionem nemini licebat eum tangere: quomodo paulo post discipulis et Thomae permisit ut id facerent? Sin licebat: quomodo quod paulo post concessurus erat pluribus id paulo ante vetuit Mariae?

Responsio.

Illud *Noli me tangere* dictum est Mariae a servatore in hanc sententiam: Noli me assectari, ita ut mecum semper sis

Οὐ γὰρ τὴν τοῦ κυρίου μητέρα φησὶ τὸ παρ' ἡμῖν ἱερὸν εὐαγγέλιον, ἀλλὰ τὴν Μαγδαληνὴν Μαρίαν λέγει. Μή ποτε οὖν οὐ τοῦ διδασκάλου ἐστὶ τοῦτο, ἀλλὰ τῶν μεταγραφόντων προσθήκη· καὶ διὰ τοῦτο οὐδὲ ἐν τῇ λύσει ταύτῃ τοῦ ζητήματος πρόσκειται.

2. *Μή...μου*] Ev. Joann. XX. 17..

3. *Μή μοι* etc.] Euthymius ad loc. Jo.: *Κωλύει δὲ αὐτὴν προσφέρεσθαι αὐτῷ τοῦ λοιποῦ καθὼς τὸ πρότερον, θειοτέρας ἤδη τῆς σαρκὸς αὐτοῦ γενομένης.* Similiter Chrysostomus Hom. 86. in Joann..

συνεῖναί μοι κατὰ τὴν πρὸ τοῦ σταυροῦ μου διαγωγήν. Ἐβούλετο γὰρ κατὰ μικρὸν ἀπεθίζειν τοὺς μαθητὰς τῆς τοῦ σώματος αὐτοῦ θέας τε καὶ παρουσίας· διὸ οὔτε διὰ παντὸς [4] ὡρᾶτο τοῖς μαθηταῖς ἐν ταῖς ἡμέραις ἐν αἷς διέτριβεν ἐπὶ τῆς γῆς μετὰ τὴν ἀνάστασιν, οὔτε πάντη ἀθέατον αὐτοῖς ἑαυτὸν κατέστησεν, ἀλλ' ἐκ δια- C
λείμματος ἀμφότερα ἐποιεῖτο, καὶ τὸ ὁρᾶσθαι αὐτοῖς καὶ τὸ μὴ ὁρᾶσθαι.

Ἐρώτησις μθ'.

[1] Τίς ἡ ἀπόδειξις τοῦ μόνα δύο θηρία τε καὶ κτήνη, ἄρσεν καὶ θῆλυ, ἐν τῇ κοσμοποιΐᾳ παρῆχθαι, ἐπειδὴ τοῦτό τινες τῶν εὐσεβῶν εἰρήκασι πρὸς σύστασιν τοῦ μὴ ἐξ ἀλόγων δορᾶς [2] τοὺς δερματίνους χιτῶνας τοῖς πρώτοις ἀνθρώποις ὑπὸ τοῦ θεοῦ [3] δεδόσθαι;

Ἀπόκρισις. D

Εἰ ἐν ἑκάστῳ γένει ἐστί τινα [4] γεναρχῆ, καὶ τὰ μὲν γεναρχῆ ἐστιν ἔργα θεοῦ, τὰ δὲ ὑπὸ τὰ γεναρχῆ εἰσιν ἔργα φύσεως διὰ σπορᾶς καὶ γενέσεως ὑφεστῶτα, δῆλον ὅτι ἑκάστου γένους πλὴν τῆς μιᾶς ζυγῆς ἀῤῥενοθήλεος οὐκ ἐποίησεν ὁ θεός. Χιτῶνας δὲ δερματίνους ἐποίησεν ὁ θεός, οὐκ ἀνθρωπίνως ἀλλὰ δημιουργικῶς· οὐ γὰρ ζῶα σφάξας καὶ τούτων τὰ δέρματα συῤῥάψας χιτῶνας ἐποίησεν, ἀλλ' αὐτοὺς τοὺς χιτῶνας ἐδημιούργησε 421
τοὺς δερματίνους. Ἀλλ' ἴσως ἐρεῖ τις ὅτι Εἰ ἐδημιούργησεν ὁ θεὸς τοὺς δερματίνους χιτῶνας μετὰ τὰς ἑπτὰ ἡμέρας τῆς δημιουργίας, πῶς λέγει ἡ θεία γραφὴ ὅτι [5] Κατέπαυσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων ὧν ἤρξατο ποιεῖν; Κατέπαυσε τὴν ποίησιν, τουτέστι τοῦ ποιεῖν τὰ μὴ ὄντα· τὰ δὲ δέρματα, ἃ νῦν ποιεῖ, οὐ νῦν ἄρχεται ποιεῖν, ἀλλ' ἐν τῇ ποιήσει τῶν ζώων καὶ τὰ δέρματα αὐτῶν ἐγίνοντο πάλαι. [6] Κατὰ B
ταῦτα δὲ καὶ τὸ [7] Ἔπλασεν ἔτι κύριος ὁ θεὸς ἀπὸ τῆς γῆς πάντα τὰ κτήνη καὶ τὰ θηρία τῆς γῆς, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν

4. ὡρᾶτο] Morell. et Maran. ὁρᾶτο.

1. Τίς ἡ ἀπόδειξις ... δεδόσθαι] Cf. Gass. l. c. p. 107..

2. τ. δερμ. χιτῶνας etc.] Scriptor ad Genes. III. 21. respexit.

3. δεδόσθαι] Vulgo δίδοσθαι.

4. γεναρχῆ] Ita pro vulg. γενάρχη hîc et paulo post scripsi. Confut. dogm. Arist. in praef.: τὰ δὲ ἐκ τῶν γεναρχῶν γεγενημένα.

juxta eam, quam ante crucem meam habui, vitae consuetudinem. Volebat enim paulatim discipulos assuescere, ut ipsius corporis adspectu et praesentia carerent; quapropter nec semper discipulis videndum se praebebat quamdiu in terris post resurrectionem moratus est, neque omnino inadspectabilem se illis praebebat, sed interposito spatio utrumque faciebat, ut et videretur illis et non videretur.

Quæstio 49.

Quomodo demonstrari potest binas tantum feras et pecudes, masculum et feminam, in mundi creatione esse productas: quandoquidem hoc nonnulli piorum dixerunt, ut probarent non e pellibus animalium rationis expertium pelliceas tunicas primis hominibus a deo datas esse?

Responsio.

Si in unoquoque genere quidam sunt generis principes, et generis principes sunt dei opera, quae vero sub generis principibus sunt opera naturae sunt satu et generatione subsistentia: liquet in unoquoque genere praeter par unum, masculum et feminam, nihil quidquam a deo creatum fuisse. Tunicas autem pelliceas deus fecit, non humana arte sed creantis modo; non enim animantibus caesis eorumque pellibus consutis tunicas elaboravit, sed ipsas tunicas creavit pelliceas. Dicet autem fortasse quispiam: Si deus pelliceas has tunicas creavit post septem creationis dies, quomodo dicit divina scriptura: *Conquievit deus die septimo ab omni opere quod coeperat patrare*? Conquievit a creatione, hoc est ab iis quae non sunt creandis; pelles vero, quas nunc creat, non nunc creare incipit, sed in animantium creatione pelles quoque eorum dudum creatae erant. Similiter se habet etiam illud *Formavit praeterea dominus deus de humo omnes pecudes et feras terrae, et adduxit eas ad Adamum* — et quae

5. *Κατέπαυσεν ... ποιεῖν*] Genes. II. 2..

6. *Κατὰ ταῦτα*] Legi potest etiam *κατὰ ταὐτά* (Sylburg.). Sed parum refert.

7. *Ἔπλασεν ... Ἀδάμ*] Genes. II. 19..

Ἀδάμ, καὶ τὰ ἑξῆς· τὸ γὰρ ἔτι [8]τὴν δευτέραν σημαίνει τούτων γένεσιν.

Ἐρώτησις ν'.

Ἐπειδὴ πάλαι μὲν οἱ παῖδες, νῦν δὲ ἡμεῖς ὑμνοῦντες τῇ ὡσαννὰ φωνῇ καὶ τῇ τοῦ ἀλληλούϊα κεχρήμεθα, [1]τίς ἐστιν ἡ τούτων ἑρμηνεία;

Ἀπόκρισις.

Ἑρμηνεία ἐστὶ τοῦ μὲν ἀλληλούϊα τὸ [2]ὑμνήσατε μετὰ μέλους C τὸ ὄν, τοῦ δὲ ὡσαννὰ [3]μεγαλωσύνη ὑπερκειμένη.

Ἐρώτησις να'.

Εἰ ἄτρεπτον τὸ θεῖον, πῶς βλασφημούμενον καὶ εὐφημούμενον τὰς ἀμοιβὰς [1]ἀμφοτέροις τῆς [2]ἑκατέρων πράξεως πολλάκις ἀξίας ἀπέδωκεν;

Ἀπόκρισις.

[3]Μένων ὁ θεὸς ἐν τῇ οἰκείᾳ αἰσθήσει τε καὶ δικαιοσύνῃ ἀτρέ- D πτως ἑκάστῳ τὰ κατ' ἀξίαν ἀποδίδωσιν· οὐ μὴν κατὰ παρατροπὴν τοῦτο ποιεῖ εὑρών, ἀλλ' ἀεὶ ἐσχηκὼς ἔχει τὸ ἐν τούτοις ἄτρεπτον· καὶ ἔχων ἐν ἴσῃ τάξει ἔχει περί τε βλασφήμους καὶ τοὺς ὑπὸ ἀναισθησίας κατεχομένους ἢ ἀδικίας, [4]ἅπερ ἐστὶ τὰ ἀλλότρια.

Ἐρώτησις νβ'.

[1]Εἰ εὐσεβεῖ ζήλῳ κινούμενος ὁ Σαοὺλ τὰς ἐγγαστριμύθους 422 ἀνεῖλε, διὰ τί συνηλάθη ὥστε παρὰ ἐγγαστριμύθου ζητῆσαι πρόῤῥησιν; Καὶ εἰ τῷ ὄντι ἐκείνη τὸν Σαμουὴλ ἀνήγαγεν, ἐπειδὴ τοῦτό φησιν ἡ γραφή; Καὶ ὅτι ἀληθεύει μὲν αὕτη, τὸ δὲ πρᾶγμα ἀσεβὲς δῆλον.

8. τὴν δευτέραν σημ. τούτων γένεσιν] Quantum hujus scriptoris sententiam intelligo, sic videtur explicari posse. Duos agnoscit nascendi modos: alterum principibus generis, quos deus formavit, alterum iis qui ex generis principibus generati sunt congruentem. Itaque secundam illam creationem, his verbis: *Formavit praeterea dominus deus*, de generatione ex principibus generis intelligit. Sic etiam pelliceas tunicas deum non artificis sed creatoris more fecisse docet, ita tamen ut pelles minime tunc e nihilo eductae fuerint, sed ex iis desumtae quae cum animalibus creatae ab initio fuerant. *Maranus* (in Add.).

1. τίς] Codd. msti et Stephan. τί. Sed vid. Quaest. 82..

sequuntur; nam vox *praeterea* secundam designat horum creationem.

Quæstio 50.

Quia olim quidem pueri, nunc vero etiam nos dum hymnos cantamus voce *osanna* et *alleluia* utimur: quae harum est interpretatio?

Responsio.

Interpretatio verbi *alleluia* est: laudate cum cantu id quod est, verbi autem *osanna:* magnitudo suprema.

Quæstio 51.

Si immutabilis deus est: quomodo blasphemiis appetitus et laudibus celebratus mercedem utrisque actione utrorumque saepe dignam rependit?

Responsio.

Deus in proprio sensu et justitia immutabiliter manens unicuique pro meritis reddit; non sane id mutatus facit, quasi invenerit, sed, quum semper habuerit, retinet his in rebus immutabilitatem: eamque retinens eodem ordine habet blasphemos et eos qui percalluerunt aut injustitiae crimine obstricti sunt, quae quidem aliena sunt peccata.

Quæstio 52.

Si pio studio motus Saulus ventriloquas sustulit: quid eum impulit ut a ventriloqua quaereret praedictionem? Et num revera illa Samuelem eduxit: quandoquidem id ait scriptura? Atque hanc quidem vera dicere, rem vero impiam esse patet.

2. *ὑμν. μ. μ. τὸ ὄν*] הַלְלוּ־יָהּ.

3. *μεγαλωσ. ὑπ.*] הוֹשִׁיעָה נָּא. Rectius LXX Ps. CXVII. 25.: *σῶσον δή.*

1. *ἀμφοτέροις*] Stephan. *ἀμφοτέρης* mendose.

2. *ἑκατέρων*] Ferri potest, et masculino genere et neutro; sed legi posset etiam *ἑκατέρας πράξεως* (*utriusque actionis*). *Sylburgius.*

3. *Μένων ὁ θεὸς* etc.] Similiter Origenes; cf. Gass. l. c. p. 79..

4. *ἅπερ ἐστὶ τὰ ἀλλ.*] Aliena deo, ut verbis Marani utar, esse haec peccata dicit, quia nequaquam ut blasphemia in deum directe feruntur.

1. *Εἰ εὐσεβεῖ ζήλῳ* etc.] Quæstio ex 1. Sam. XXVIII. 7. sqq..

Ἀπόκρισις.

Ὁ ζήλῳ θείῳ ποιῶν τι οὗτος οὐ θεομαχεῖ. Ὑπόνοιαν δὲ ὁ Σαοὺλ ἐσχηκὼς εἰς τὸν Δαυίδ, ὡς εἰς αὐτὸν μετέθηκεν ὁ θεὸς τὴν αὐτοῦ βασιλείαν, παντελῶς ἐμηχανᾶτο ἀναιρεῖν τὸν Δαυίδ, ἵνα εἰς ἔργον μὴ ἐκβῇ ἐπ' αὐτὸν ἡ θεία ψῆφος. Ἀνεῖλε δὲ τὰς B ἐγγαστριμύθους, τούτῳ προσδοκήσας διαλλάξαι τὸν θεόν, ὥστ' ἀναστρέψαι τὴν ἀποδοκιμάσασαν αὐτὸν τῆς βασιλείας οἰκείαν ψῆφον, οὐ τὴν ἀσέβειαν τῶν ἐγγαστριμύθων μισῶν, ἀλλὰ τὴν βασιλείαν φιλῶν· καὶ ἐπειδὴ οὐ προσεδέξατο ὁ θεὸς τὸν σκοπὸν αὐτοῦ, διὰ τοῦτο αὐτὸν ἐγκατέλιπεν ἐπιδεηθῆναι [2] ὧν οὐκ ἀγαθῷ σκοπῷ ἐποιήσατο τὴν ἀναίρεσιν. [3] Τὰ δὲ ἄλλα πάντα ὑπὸ τῆς ἐγγαστριμύθου γεγονότα κατὰ τὴν ἐνέργειαν τοῦ δαίμονος τοῦ τὰς ὄψεις φαντάσαντος τῶν ὁρώντων τὸν οὐκ ὄντα Σαμουήλ. C Ἡ δὲ ἀλήθεια τῶν ῥημάτων γέγονεν ἐκ τοῦ θεοῦ τοῦ δεδωκότος τῷ δαίμονι ἐν σχήματι τοῦ Σαμουὴλ ὀφθῆναι τῇ ἐγγαστριμύθῳ καὶ δεῖξαι τοῦ μέλλοντος τὴν δήλωσιν. Καὶ ἐπειδὴ τοῦ Σαμουὴλ οὐκ ἤκουσεν ὁ Σαοὺλ τοῦ εἰρηκότος αὐτῷ τῆς βασιλείας τὴν ἀφαίρεσιν, ἀλλὰ καὶ μετὰ τὴν θείαν ψῆφον ἀποδοκιμάσασαν αὐτὸν τῆς βασιλείας ἔτι ἀντεποιεῖτο τῆς βασιλείας, [4] δι' αὐτῶν ἀνάξιον αὐτὸν ἔκρινεν ὁ θεὸς τοῦ διὰ τῶν ἀνακειμένων αὐτῷ προμηνῦσαι αὐτῷ τὰ ἐσόμενα, καθάπερ πεποίηκε καὶ [5] ἐπὶ τὸν Ἀχαὰβ βασιλέα τοῦ Ἰσραήλ, τὸν ἀπιστήσαντα τοῖς τῆς ἀληθείας προφήταις καὶ πιστεύσαντα τοῖς ψευδοπροφήταις, δι' ἣν αἰτίαν ἔπεμψεν αὐτῷ πνεῦμα ψευδές, καθὼς φησιν [6] ἡ βίβλος τῶν βασιλειῶν, καὶ πιστεύσας ὁ Ἀχαὰβ καὶ πλανηθεὶς ἀπῆλθεν εἰς τὴν ἔρημον καὶ ζῶν οὐκ ἀνέκαμψεν. D

Ἐρώτησις νγ'.

Εἰ ἄρσεν καὶ θῆλυ ἕνεκεν τῆς παιδοποιΐας ἐκτίσθη, τῆς ἀναστάσεως γινομένης ἆρα ἀνίστανται οἱ ἄνθρωποι τὴν τῶν παι-

2. ὧν] Attica brachylogia est pro τούτων ἅ. *Sylburgius.*

3. Τὰ δὲ ἄλλα πάντα etc.] Aliter Justinus Martyr; qui quidem in Dial. c. Tr. c. 105. docet animam Samuelis revera fuisse eductam: ὅτι — inquit — μένουσιν αἱ ψυχαὶ ἀπέδειξα ὑμῖν ἐκ τοῦ καὶ τὴν Σαμουὴλ ψυχὴν κληθῆναι ὑπὸ τῆς ἐγγαστριμύθου. Adeas quae ad l. c. adnotavi. — De daemonum praestigiis supra quoque Resp. ad Quaest.

Responsio.

Qui studio divino aliquid facit is cum deo non pugnat. Saulus autem concepta de Davide suspicione, quod in eum transtulisset deus regnum, omnibus modis machinatus est necem Davidi, ne exitum in eo sortiretur divinum decretum. Sustulit autem ventriloquas, hoc facto sperans se deum sibi reconciliaturum, ut proprium decretum, quod regno eum dejecerat, mutaret: in quo quidem non impietatem ventriloquarum oderat, sed regnum amabat; et quandoquidem ejus consilium non probabat deus, idcirco dereliquit eum ea requirere quae non bono animo sustulerat. Caetera autem omnia a ventriloqua facta sunt daemonis operatione, qui praestigiis decepit oculos spectantium Samuelem qui Samuel non erat. Veritas autem verborum a deo exstitit, qui dedit daemoni in figura Samuelis apparere ventriloquae eique rem futuram monstrare. Et quandoquidem Samuelem non audivit Saulus, quum ei regnum ablatum iri diceret, sed etiam post divinum decretum, quod eum regno depellebat, adhuc sibi regnum vindicabat: idcirco indignum eum judicavit deus cui per homines sibi addictos praenuntiaret res ei eventuras, quemadmodum etiam contra Achabum regem Israelis fecit, qui negatam veritatis prophetis fidem falsis prophetis habuit, unde misit ei spiritum mendacem, quemadmodum ait liber regnorum, et credidit Achabus et deceptus abiit in desertam regionem et vivens reversus non est.

Quæstio 53.

Si masculus et femina propter liberorum procreationem conditi sunt: an, quum fiet resurrectio, resurgent homines

26. sermo erat.

4. *δι' αὐτῶν*] Editt. ante Maran. sic distinxerunt: ... *τῆς βασιλείας δι' αὐτῶν, ἀνάξιον* etc.. Langus illud *δι' αὐτῶν* reddidit: *per hariolos*. Copulandum vero est cum verbis *ἀνάξιον αὐτὸν* etc., ita tamen ut videatur mutandum esse in *διὰ τοῦτο*: cf. Quaest. 27. not. 7..

5. *ἐπὶ*] Sylburg. conjecit *περί*. Non muto.

6. *ἡ βίβλος τ. βασ.*] 1. Regg. XXII..

δοποιῶν μορίων διαφορὰν ἔχοντες; Καὶ εἰ τοῦτο, πῶς οὐκ ἔστι 423
περιττὸν τὸ μέλη ἐπάγεσθαι ἄπρακτα;

Ἀπόκρισις.

Εἰ καὶ πρὸς παιδοποιΐαν οὐκ [1] *ἔστι χρήσιμα τὰ γεννητικὰ μόρια μετὰ τὴν ἀνάστασιν, ἀλλὰ πρὸς ἀνάμνησιν τοῦ διὰ τῶν τοιούτων μορίων εἰληφέναι τοὺς ἀνθρώπους τὴν γένεσίν τε καὶ τὴν αὔξησιν καὶ τὴν* [2] *διαμονήν ἐστι χρήσιμα· εἰσαγόμεθα γὰρ δι' αὐτῶν εἰς ἔννοιαν τῆς τηλικαύτης Χριστοῦ σοφίας* [3] *τῆς ταῦτα [κτισάσης, καὶ τῆς ἀνθρωπότητος διὰ] τοῦ θανάτου αὐξανομέ-* B
νης, φυλακῆς [τε] τοῦ γένους ἡμῶν ἐν ἀθανασίᾳ τῇ διαδοχῇ τῶν τικτομένων.

Ἐρώτησις νδ'.

Εἰ [1] *διὰ τὴν παράβασιν τὴν μέλλουσαν* [2] *ταύτην ἐπάγεσθαι τῷ λαῷ τιμωρίαν ὁ Μωυσῆς προεφήτευσε, διὰ τί μετ' ᾠδῆς αὐτὰ* [3] *ἔλεγε, χαύνωσιν μᾶλλον ἤπερ ὠφέλειαν* [4] *εἰδότων τῶν ᾀσμάτων τοῖς ἀνθρώποις ἐνεργάζεσθαι;*

Ἀπόκρισις.

Κατὰ τὰ ἐν ταῖς ᾠδαῖς ἐμφερόμενα διηγήματα ἁρμοδίως οἱ C
ῥυθμοὶ τῶν μελῶν ἐγίνοντο, ἄγοντες τὰς ψυχὰς εἰς τὴν πρέπουσαν τοῖς ᾀδομένοις αἵρεσιν. [5] *Ἢ γὰρ γοερῶς [τὰ δεινὰ τοῦ λαοῦ ἁμαρτήματα καὶ τὰς ἐπενεχθείσας αὐτοῖς πικρὰς τιμωρίας καταλέγουσιν, ἢ γαυρῶς τὰς φιλόφρονας τοῦ θεοῦ παρηγορίας καὶ*

1. *ἔστι*] Lang. hîc et paulo infra *ἔσται (erunt)* legit.

2. *διαμονήν*] Codd. msti et Stephan. male *διανομήν*.

3. *τῆς ταῦτα* etc.] Codd. msti et editi: *τῆς ταῦτα * τοῦ θανάτου αὐξανομένης φυλακῆς * τοῦ γένους ἡμῶν* etc.. Quae quidem Sylburgius censuit ita interpolanda: *τῆς ταῦτα [δημιουργησάσης κατὰ] τοῦ θανάτου, αὐξανομένης φυλακῆς [ἡμῶν, διαμένοντός τε] τοῦ γένους ἡμῶν* etc. — *inducimur enim per ea in considerationem tantae Christi sapientiae, quae ista contra mortem fabricata est, ut crescente nostri custodia genus nostrum in immortalitate permaneret, per successionem eorum qui partu in dies eduntur.* Quid vero? Ut quas in mente habeo conjecturas taceam (non enim est meum, quae mihimet persuadere non possum aliis persuadere velle), placuit ea in contextu dare quae Maranus ad lacunas explendas commendavit; tria videlicet Pseudo-Justinus nobis ait in memoriam redigi: hominum generationem, incremen-

cum membrorum genitalium discrimine? Ac si ita res erit: an non supervacaneum est membra actione destituta induci?

Responsio.

Etsi ad liberorum procreationem usui non sunt membra genitalia post resurrectionem, tamen usui sunt ut recordemur homines per ejusmodi membra accepisse originem et incrementum et diuturnitatem; nos enim adducunt ut consideremus summam Christi quae haec condidit sapientiam, et hominum crescentium ex ipsa morte multitudinem, et generis nostri in immortalitate conservationem successione nascentium.

Quæstio 54.

Si propter praetergressionem divini mandati futuram Moses hanc poenam populo inflictum iri praedixit: quare ea carmine edisseruit, quum cantilenae homines magis emollire soleant quam adjuvare?

Responsio.

Ad ea quae in carmine enarrabantur accommodati erant versuum numeri, qui animas ad convenientem iis quae canebantur sententiam ducebant. Vel enim dolenter [gravia populi peccata et quae ea consecutae sunt horrendas poenas re-

tum, perpetuitatem.

1 *διὰ τὴν παράβασιν τ. μέλλ.*] Vulgo *τὴν παράβασιν διὰ τ. μέλλ.*, quem quidem errorem (jam a Sylburgio notatum) sustuli.

2. *ταύτην ... τιμωρίαν*] H. e. notam illam poenam. Tu scripseris *τηλικαύτην*.

3. *ἔλεγε*] Cf. Deuter. XXXI. 28. sqq..

4. *εἰδότων*] Exspectabas *εἰωθότων*. Sed etiam in Resp. ad Qu. 63. 120. 138. 140. *οἶδα* pro *εἴωθα* dictum est.

5. *Ἧ γὰρ γοερῶς* etc.] Codd. msti et editi *Ἧ γὰρ γοερῶς* * * * *τῶν ἐναντίων ἡ τοῦ τοιούτου ἀγαθοῦ γεγένηται εὕρεσις*. Nos hîc prorsus haeremus. Conatus est Sylburgius, Langianam secutus versionem, mancam responsionis sententiam explere verbis *τὰ δεινὰ τοῦ λαοῦ* etc., quae supra in textu exhibui. Quaestionis autem sequentis defectum in hanc sententiam explevit: *Εἰ ἡ τῶν σωμάτων ἰατρεία παμμέγεθές τι ὄντως ἐστὶ χάρισμα, τί ὅτι* [convenienter scripsisset *διὰ τί*] *διὰ τῶν ἐναντίων ἡ τοῦ* etc..

τὴν ἐναργῶς δι' αὐτοῦ μετανοοῦντι τῷ λαῷ ἐπιφανεῖσαν ἀπαλλαγὴν μελῳδοῦσιν.

'Ερώτησις νε'. D

Εἰ ἡ ἰατρικὴ τέχνη συμφέρει λίαν τοῖς ἀνθρώποις, πῶς διὰ] [1] τῶν ἐναντίων ἡ τοῦ τοιούτου ἀγαθοῦ γεγένηται εὕρεσις;

'Απόκρισις.

Πολλὰ μὲν εὕρηται καὶ ὑπὸ τῶν εὐσεβῶν ἰαματικὰ τῶν σωματικῶν νοσημάτων, [2] καὶ ὑπὸ Σολομῶνος τοῦ βασιλέως μέν, οὐδεὶς δὲ [3] τῶν ἔξωθεν τῆς εὐσεβείας εἶχε [4] τὴν κατάληψιν ἰατρικὴν [τῶν ψυχῶν].

'Ερώτησις νϛ'. 424

Εἰ τὰ τελευτῶντα βρέφη ἔπαινον ἢ μέμψιν οὐκ ἔχουσιν ἐξ ἔργων, τίς ἡ διαφορὰ ἐν τῇ ἀναστάσει τῶν ὑπὸ ἄλλων μὲν βαπτισθέντων καὶ μηδὲν πραξάντων, καὶ τῶν μὴ βαπτισθέντων καὶ ὁμοίως μηδὲν πραξάντων;

'Απόκρισις.

Αὕτη ἐστὶν ἡ διαφορὰ τῶν βαπτισθέντων πρὸς τὰ μὴ βαπτισθέντα, τοῦ τυχεῖν μὲν τὰ βαπτισθέντα τῶν διὰ τοῦ βαπτί- B σματος ἀγαθῶν, τὰ δὲ μὴ βαπτισθέντα μὴ τυχεῖν· ἀξιοῦνται δὲ τῶν διὰ τοῦ βαπτίσματος ἀγαθῶν τῇ πίστει τῶν προσφερόντων αὐτὰ τῷ βαπτίσματι.

'Ερώτησις νζ'.

Εἰ δύο ἡμῖν ὁ Μωυσῆς οὐρανῶν [1] ἐξέθετο τὴν γένεσιν, πῶς πλειόνων διδάσκει ἡμᾶς ἡ γραφὴ ὕπαρξιν, ποτὲ μὲν λέγουσα· [2] Οἱ οὐρανοὶ τῶν οὐρανῶν, ποτὲ δέ· [3] 'Ανεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καί· [4] Θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καί· [5] 'Ηρ-

1. τῶν ἐναντίων] I. q. in Resp. (not. 3.) τῶν ἔξωθεν τῆς εὐσεβείας. In Quaest. 33. οἱ ἐκτὸς dicuntur.

2. καὶ ὑπὸ Σολομ.] Cf. 1. Regg. IV. 33.. Regis illius sapientia a veteribus valde praedicata est. Jam tempore Josephi (Antiqq. jud. VIII. 2. 5.) inter Judaeos magici Salomonis libri circumferebantur, quorum auxilio daemones ejicerentur; cf. Origen. ad ev. Matth. XXVI. 63..

3. τῶν ἔξωθεν τ. εὐσ.] H. e. τῶν Ἑλλήνων. Sic gentiles etiam in Resp. ad Quaest. 2. vocantur. Vid. supra not. 1..

4. τὴν κατάλ. ἰατρ. etc.] Codd. msti et editi post verba τὴν κατάληψιν ἰατρικὴν lacunam habent, quam Sylburgius ita vult expleri:

censent, vel hilariter suaves dei consolationes et re ipsa exhibitam poenitenti populo liberationem celebrant.

Quæstio 55.

Si ars medica magnam hominibus affert utilitatem: quomodo ab] adversariis tanti boni facta est inventio?

Responsio.

Multa quidem etiam a piis inventa sunt remedia corporis morborum, ac certe a Salomone rege, at nullus ex iis qui a vera religione alieni sunt scientiam habuit curandarum animarum.

Quæstio 56.

Si morientes infantes nec laudem nec vituperium habent ex operibus: ecquod in resurrectione discrimen inter eos qui ab aliis baptizati nihil egerunt, et eos qui non baptizati nihil pariter egerunt?

Responsio.

Hoc discrimen est inter baptizatos et non baptizatos, quod baptizati bona baptismo adjuncta consequantur, non baptizati non consequantur; bona autem baptismo adjuncta consequuntur per fidem eorum qui illos ad baptismum offerunt.

Quæstio 57.

Si duplicis nobis coeli originem Moses exposuit: quomodo plures eos esse scriptura docet, aliquando dicens: *Coeli coelorum*, aliquando: *Aperti ei sunt coeli*, et: *Video coelos apertos*, et: *Raptus est in tertium usque coelum* —

ὥστε οὐχ ὅπως ἐπ' ἐκείνῃ σεμνηγορεῖν ἔχουσιν, ἀλλὰ καὶ ἐπὶ ταύτῃ παντελῶς ἐνδεεῖς γεγονότες ἐλέγχονται — i. e. *quapropter non tantum ob illam jactitare se non possunt, sed etiam ob hanc plane indigi fuisse coarguuntur.* Equidem Marani conjecturam amplexus sum, qui supplendo [τῶν] ψυχῶν nihil putat defuturum quominus integram habeamus scriptoris sententiam.

1. ἐξέθετο] Cf. Genes. I. 1. et 6.—8.. Vid. Gass. l. c. p. 135..

2. Οἱ... οὐρανῶν] Ps. CXLVIII. 4..

3. Ἀνεῴχθησαν . . . οὐρανοί] Ev. Matth. III. 16..

4. Θεωρῶ ... ἀνεῳγμένους] Actt. apostt. VII. 56..

5. Ἡρπάγη ... οὐρανοῦ] Ep. 2. ad Cor. XII. 2..

πάγῃ ἕως τρίτου οὐρανοῦ· [6]καὶ οὐκ εἶπεν· Ἕως τοῦ τρίτου μέ- C
ρους τοῦ οὐρανοῦ, ἀλλ' ἀπολύτως· Ἕως τρίτου οὐρανοῦ; Καὶ πολλὰ δὲ τούτοις εὑρήσεις ἐν τῇ γραφῇ παραπλήσια. Πῶς οὖν οὐ τἀναντία ἑαυτοῖς λέγουσι, κατ' ἀμφότερα δ' ὅμως ἀληθεύουσιν;

Ἀπόκρισις.

Ὁ Μωυσῆς μὲν [7]εἶπεν αὐτοὺς οὐρανούς, ἀριθμῷ δὲ οὐ δέδωκεν οὔτε ἕνα οὔτε δύο οὔτε πλείονας. Ἔμελλε δὲ ἡ θεία γραφὴ τὰ διαστήματα [8]ἐν τῷ μέρει ὑπερκείμενα οὐρανοὺς ὀνομάζειν, ὡς [9]Τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ [10]Ἄρτος ἐξ οὐρανοῦ, καὶ
[11]Τὰ ἄστρα τοῦ οὐρανοῦ. Ἐκ τῆς ἀκολουθίας οὖν τῶν κειμέ- D
νων [12]φωνῶν νοοῦμεν οὐρανοὺς κατ' οὐσίαν μὲν δύο, κατὰ διαστήματα δὲ πλείονας· οὕτω δὲ νοουμένων τῶν οὐρανῶν, οὐδεμία ἐναντίωσις ἐν τοῖς λόγοις [13]ὑποληφθήσεται.

Ἐρώτησις νη'.

Εἰ τὸ προσάπτειν τῷ Χριστῷ ἄγνοιάν ἐστιν ἀσεβές, δῆλον ὅτι πάντων ἔχει τελείαν τὴν πρόγνωσιν. Πῶς οὖν οὐκ ἔστιν αἴτιος τῆς τοῦ Ἰούδα προδοσίας καὶ τῆς τοῦ Πέτρου ἐνωμότου
ἀρνήσεως ὁ ταῦτα μὲν προγνούς, μὴ κωλύσας δέ; Καὶ περὶ τῆς 425
τοῦ διαβόλου καὶ τοῦ πρωτοπλάστου [1]ἀπὸ τοῦ θεοῦ ἐκπτώσεως ὁ αὐτὸς λόγος ἁρμόσειεν.

Ἀπόκρισις.

Εἰ ἔδει τὸν Χριστὸν δι' ἑνὸς τῶν αὐτοῦ μαθητῶν παραδοθῆναι, [2]ἵνα ἡ γραφὴ πληρωθῇ, δῆλον ὅτι αἴτιός ἐστιν Χριστὸς τῆς ἐκπληρώσεως τῆς γραφῆς καὶ οὐ τῆς προδοσίας τοῦ Ἰούδα·
ταύτης γὰρ αὐτὸς ὁ Ἰούδας ἦν αἴτιος, ἣν μέλλουσαν ὁ θεὸς προ- B

6. καὶ οὐκ εἶπεν] Convenientius καὶ οὐκ εἰποῦσα. Sed pendent illa a praecedenti πῶς. Alius, id quod per me licet, ita scripserit: ... τρίτου οὐρανοῦ; Καὶ [γὰρ] οὐκ εἶπεν ... τρίτου οὐρανοῦ. Καὶ πολλὰ etc..

7. εἶπεν αὐτοὺς οὐρ.] Sylburg. observavit multo aptius legi εἶπε καὶ αὐτὸς οὐρ. (*coelos et ipse dixit*), Maran. autem εἶπεν αὐτὸς οὐρ..

8. ἐν τῷ μέρει ὑπ.] Verius opinor ἐν τῷ ἀέρι ὑπερκείμενα, *in aere nobis superincumbentia*, ut infra Quaest. 63.. Διαστήματα vero a Cicerone *intervalla* nominari Langus ad marginem versionis annotarat. *Sylburgius.*

9. Τὰ πετ. τ. οὐρ.] Gen. I.

et non dixit: In tertiam usque coeli partem, sed absolute: In tertium usque coelum? Multa vero his similia in scriptura reperies. Quomodo igitur non sibi ipsis repugnantia dicunt, sed utroque modo vera loquuntur?

Responsio.

Moses quidem *coelos* dixit, numero autem neque unum neque duos neque plures tradidit. Consuevit porro divina scriptura interstitia partium superiora *coelos* nominare, velut *Volatilia coeli*, et *Panis de coelo*, et *Stellae coeli.* Ex vocum igitur adhibitarum serie intelligimus coelos substantia quidem duos, interstitiis autem plures: atque si coelos ita accipiamus, nulla in verbis repugnantia deprehendetur.

Quæstio 58.

Si Christo ignorationem adscribere impium est: liquet illi omnium inesse perfectam cognitionem. Quomodo ergo non causa est Judae proditionis et Petri cum jurejurando negationis qui haec quidem praescivit, minime vero prohibuit? Etiam de diaboli et primi parentis a deo defectione eadem ratio competet.

Responsio.

Si Christum oportebat ab uno ex suis discipulis prodi, *ut scriptura impleretur:* liquet Christum causam esse cur scriptura impleta sit, minime vero cur Judas prodiderit; hujus enim facinoris causa ipse Judas exstitit, quod praesciens

26. II. 19. Ps. VIII. 8. ev. Matth. VI. 26..

10. *Ἄρτος ἐξ οὐρ.*] Ps. LXXVII. 24. et ev. Joann. VI. 32.. Vulgo *ἀετὸς* (*aquila*) legitur pro *ἄρτος*.

11. *Τὰ ἄστρα τ. οὐρ.*] Ep. ad Hebr. XI. 12..

12. *φωνῶν*] Scil. *τῆς θείας γραφῆς* s. *γραφικῶν* (Qu. 33. 71.).

13. *ὑποληφθήσεται*] Langus interpres legit *ὑπολειφθήσεται*: *relinquetur*.

1. *ἀπὸ τοῦ θεοῦ ἐκπτώσεως*] Codd. msti *ὑπὸ τῆς τοῦ θεοῦ ποιήσεως*, sed Reg. in marg. et Clar. supra lineam (alia manu) *ἀπὸ τῆς τοῦ θεοῦ ἐκπτώσεως*, quod quidem Stephanus quoque dedit. Ille vero articulus *τῆς* male est post praepositionem *ἀπὸ* collocatus; aptius legeretur ante *τοῦ πρωτοπλάστου*.

2. *ἵνα ἡ γρ. πλ.*] Ev. Joann. XVII. 12..

ειδὼς προεῖπε διὰ τῆς γραφῆς. [3] Καὶ οὐκ ἔστιν ἡ πρόγνωσις αἰτία τοῦ μέλλοντος ἔσεσθαι, ἀλλὰ τὸ μέλλον ἔσεσθαι αἴτιον τῆς προγνώσεως· οὐ γὰρ τῇ προγνώσει ἕπεται τὸ μέλλον, ἀλλὰ τῷ μέλλοντι ἡ πρόγνωσις, καὶ οὐδαμῶς ὁ προγινώσκων αἴτιός ἐστι τοῦ μέλλοντος ἔσεσθαι. Ὥστε οὐχὶ ὁ Χριστὸς αἴτιός ἐστι τῆς προδοσίας, ἀλλ' ἡ προδοσία αἰτία τῆς τοῦ κυρίου προγνώσεως. Καὶ ἐπὶ τοῦ διαβόλου καὶ τοῦ πρωτοπλάστου ὁ αὐτὸς λόγος.

Ἐρώτησις νθ'. C

Εἰ ἐν τῇ νυκτὶ ὁ ἥλιος ἀποκρύπτεται, πῶς οὐ σφαῖρα ὁ οὐρανὸς ἀποδείκνυται; Ὁ γὰρ ἀπὸ φιλοσόφων θεῖος ἀνὴρ [1] εἶπε [τὸν ἥλιον τῇ ἡμετέρᾳ ὄψει ἀποκρύπτεσθαι,] οὐ σώματι. [2] Οὗτος ὁ οὐρανὸς ἐπίκειται τῇ γῇ· καὶ ὁ μὲν διὰ τὸ κοῦφον ἀνωφερής, ἡ δὲ διὰ τὸ βαρύ ἐστι κατωφερής· διὸ διὰ τὴν ἀνθολκὴν [3] ὑπ' ἀλλήλων συνέχονται. Εἰ δὲ τοῦτο ἀληθές, ὅλου τοῦ οὐρανίου κύκλου [4] εἰς τὴν [τοῦ παντὸς καταύγασιν λειτουργοῦντος πρὸς τὸ] ὑπάρχειν τοὺς φωστῆρας καὶ φαίνειν ἀεί, πῶς οὖν ἀποκρύπτονται;

Ἀπόκρισις. D

Εἰ ὁμολογουμένως πολλά ἐστιν ἕτερα τὰ ἐν τῷ αὐτῷ καὶ ἴσῳ ἐπιπέδῳ ὄντα καὶ διὰ τὸ μῆκος τοῦ διαστήματος κεκρυμμένα ὄντα τῆς ὄψεως, οἷον τὰ πλοῖα τὰ ἐν τῇ θαλάσσῃ ὑπ' ἀλλήλων μὴ ὁρώμενα, τοῦ πλάτους τῇ τῶν ὑδάτων ἐπιφανείᾳ περιορίζοντος τὴν ὄψιν περαιτέρω μὴ ἀποτείνεσθαι τοῦ ὁρίζοντος, τί θαυμαστὸν εἰ καὶ ἐπὶ τῶν φωστήρων γίνεται ἡ ἐπίκρυψις διὰ τὴν αὐτὴν αἰτίαν; Ἧι δὲ διὰ τὴν ἀνθολκὴν οὐρανοῦ καὶ γῆς ἵστα- 426
σθαι τὸν οὐρανὸν καὶ τὴν γῆν, [5] ἐπὶ μὲν τοῦ πρώτου οὐρανοῦ

3. Καὶ ... αἴτιον τῆς προγν.] Haec sententia etiam Alexandrinis usitata erat, inprimis Origeni.

1. εἶπε etc.] Codd. msti et editi εἶπε * οὐ σώματι. Sylburg. (non improbante Marano) locum juxta Langi versionem sic interpolavit: εἶπε [τὸν ἥλιον ὄψει ἀποκρύπτεσθαι,] οὐ σώματι. Similiter Gass. l. c. p. 135.: εἶπε [τὸν ἥλιον τῇ ὄψει μόνον ἡμῶν ἀποκρύπτεσθαι,] οὐ σώματι. Verbis τὸν ἥλιον addi posset ἐν τῷ οὐρανῷ. In Clar. σώματα pro σώματι exstat. — Laudatus ille philosophus, ut Gassius recte vidit, est haud dubie Aristoteles, qui de Coelo l. II. c. 8. p. 290. ed. Bekker. haec habet: Μόνος δὲ δοκεῖ τῶν ἄστρων ὁ ἥλιος τοῦτο δρᾶν, ἀνατέλλων ἢ δύνων, καὶ οὗτος οὐ δι'

deus per scripturam praedixit. Atque praescientia non causa est futuri, sed futurum est causa praescientiae; non enim quia praescita est evenit res futura, sed quia futura est praescitur: nec prorsus causa est rei futurae qui eam praescit. Quare non Christus causa, est proditionis, sed proditio est causa domini praescientiae. Atque de diabolo et primo parente eadem ratio.

Quæstio 59.

Si noctu sol occultatur: quomodo coelum non probatur globus esse? Nam inter philosophos vir divinus dixit solem in coelo adspectui nostro occultari, non corpore. Hoc coelum imminet terrae; atque illud quidem ob levitatem in sublime tendit, haec autem propter pondus deorsum vergit: proinde pari in diversa nisu alterum ab altero continetur. Sin hoc verum est, toto coeli orbe ad hujus universi collustrationem ministrante ut exstent luminaria semperque luceant: quo tandem modo illa latitant?

Responsio.

Si citra controversiam multa alia sunt quae in eadem et aequa planicie propter intervalli longitudinem oculorum effugiunt obtutum, velut navigia in mari quorum alterum ab altero non cernitur, latitudine per summas aquas quasi circulo quodam visum circumscribente quo minus ultra circumscribentem intendatur: quid mirum si occultatio stellarum fiat per eamdem causam? Quatenus vero pari coeli et terrae in diversa nisu coelum et terra consistunt, de primo quidem coelo

αὐτὸν ἀλλὰ διὰ τὴν ἀπόστασιν τῆς ἡμετέρας ὄψεως· ἡ γὰρ ὄψις ἀποτεινομένη μακρὰν ἑλίσσεται διὰ τὴν ἀσθένειαν.

2. *Οὗτος ὁ οὐρανὸς*] Vulgo *οὗτος οὖν ὅς*. Errandi ansam praebuit notum scripturae compendium: *οὐνὸς* = *οὐρανός*. Guil. Canterus Novv. lectt. l. VIII. c. 19. legit *οὗτος οὖν ὁ οὐρανός*.

3. *ὑπ' ἀλλήλων*] Sic (vid. Resp.) etiam Canterus et Langus. Vulgo *ὑπὸ ἄλλων*.

4. *εἰς τὴν* etc.] Codd. msti et editi *εἰς τὴν * ὑπάρχειν τοὺς φωστῆρας* etc.. Lacunam Sylburgius ita explendam censuit ut supra dedi.

5. *ἐπὶ μὲν τοῦ πρώτου οὐρ.* etc.] De duplici coelo vid. Quaest. 57. not. 1..

καὶ τῆς γῆς ἐστι τοῦτο εἰκάσαι διὰ τὸ ἅμα γεγενῆσθαι αὐτά· ἐπὶ δὲ τοῦ στερεώματος καὶ τῆς γῆς οὐκέτι δυνατὸν τοῦτο νοηθῆναι· ἵστατο γὰρ ἡ γῆ πρὸ τοῦ στερεώματος, τὴν ἅπασαν βαστάζουσα ὑγρὰν οὐσίαν χωρὶς ἀνθολκῆς τοῦ στερεώματος· ὕστερον γὰρ τῆς γῆς γέγονε τὸ στερέωμα.

Ἐρώτησις ξ'.

Εἰ [1] ἡ διαφορὰ κατὰ τὰς μορφὰς χρήσιμος ἡμῖν ὑπάρχει ἐνταῦθα διὰ τὰς τοῦ σώματος χρείας καὶ τὰ ἐπιτηδεύματα καὶ τὰ συν- B
αλλάγματα, ἀνενδεοῦς ἐν τῇ ἀναστάσει ἀνισταμένου τοῦ σώματος, εἰ μὲν τῇ αὐτῇ τῶν μορφῶν διαφορᾷ ἀνιστάμεθα, πῶς οὐκ [2] ἄχρηστος αὕτη; Εἰ δὲ ἐν ὁμοιώματι τῷ αὐτῷ, τίς ἡ τούτου ἀπόδειξις; Πῶς δὲ καὶ ἡ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου [3] παραβολὴ τῶν μορφῶν οὐ δείκνυσι τὸ διάφορον; Πάντως γὰρ ἐκ ταύτης δῆλον. Εἰ δὲ λέγοιέν τινες ὡς γνῶσίς τις ἐδόθη [4] αὐτῷ πρὸς τὴν τοῦ Λαζάρου καὶ τοῦ Ἀβραὰμ ἐπίγνωσιν, πόθεν τοῦτο παραστήσουσι καὶ ἐπὶ τοῦ κυρίου, [5] ἡνίκα σώματα τῶν ἁγίων τῶν κεκοιμημένων ἀνέστη καὶ ἐνεφανίσθησαν πολλοῖς; Πάντως τῇ ἰδίᾳ C
μορφῇ τοῖς γνωρίμοις ἕκαστος εὐεπίγνωστος γέγονεν.

Ἀπόκρισις.

Πολλαὶ μέν εἰσιν αἱ αἰτίαι δι' ἃς χρὴ τοὺς ἀνισταμένους ἐν τῇ οἰκείᾳ ἀνίστασθαι μορφῇ. Πρῶτον μὲν πρὸς τὴν ἔνδειξιν τῆς μεγάλης τε καὶ θείας γνώσεως τοῦ θεοῦ, τοῦ δύνασθαι ἐν τοσούτῳ ἀναριθμήτῳ πλήθει τῶν ἀνισταμένων ἑκάστῳ ἀποσωθῆναι τὴν οἰκείαν μορφήν. Ἔπειτα δὲ ἵνα μὴ νομισθῇ δημιουργῶν καινοὺς ἀνθρώπους καὶ μὴ τοὺς τεθνηκότας ἀνιστῶν, διὰ τοῦτο ἕκα- D
στον τῶν ἀνισταμένων τὴν οἰκείαν [6] ἔχειν μορφήν· ἀγνοουμένων γὰρ τῶν μορφῶν τοῦ τε ἀδικήσαντος καὶ τοῦ ἀδικηθέντος ἀπόλλυται τῆς κρίσεως τὸ δίκαιον. Ἔτι δὲ εἰ λυθεισῶν τῶν χρειῶν, δι' ἃς ἀναγκαία γέγονε τῶν μορφῶν ἡ διαφορά, περιττὴ καὶ ἄχρηστος εὑρίσκεται αὕτη, περιττὴ καὶ ἄχρηστός ἐστι καὶ τῶν ὀνομασιῶν ἡ διαφορά. Πῶς οὖν ὁ πλούσιος τὸν Ἀβραὰμ καὶ τὸν Λάζαρον

1. ἡ] In editt. Morell. et Maran. perperam excidit.
2. ἄχρηστος] Sic Clar. secunda manu. Reg. et editi falso εὔχρηστος. Cf. Resp.: περιττὴ καὶ ἄχρηστος.
3. παραβολὴ] Cf. ev. Luc. XVI.

et terra hoc licet conjectare eo quod una condita sint; de firmamento autem et terra idem intelligi non potest: constitit enim terra ante firmamentum, humidam substantiam omnem sine adverso firmamenti nisu sustinens; post terram enim creatum est firmamentum.

Quæstio 60.

Si discrimen formarum utile nobis hac in vita est ob corporis indigentiam et studia et commercia: quum in resurrectione surrecturum sit corpus indigentia omni liberum, quomodo, si quidem in eodem formarum discrimine resurgimus, non inutile illud futurum est? Sin autem in ejusdem formae similitudine: ecquod hujus rei argumentum? Quomodo autem Lazari et divitis parabola formarum non ostendit discrimen? Omnino enim hoc ex illa constat. Si qui dicant notionem quamdam isti datam esse ut Lazarum et Abrahamum cognosceret: unde id etiam de domino probabunt, quum corpora sanctorum qui dormierant resurrexere et apparuere multis? Omnino propria forma quisque ex notis suis facile cognitus fuit.

Responsio.

Pluribus de causis oportet ut resurgentes in propria forma resurgant. Primum quidem ut magna et divina dei scientia ostendatur, quod possit in tanta resurgentium multitudine, quae numerari non potest, propriam cuique formam servare. Deinde vero ne existimetur novos homines condere et mortuos non excitare, propterea necesse est ut resurgentium unusquisque propriam habeat formam; nam si ignotae sint et ejus qui injuriam fecit et ejus qui passus est formae, perit judicii aequitas. Praeterea autem si formarum discrimen sublatis indigentiis, propter quas necessarium fuit, supervacaneum et inutile invenitur, supervacaneum et inutile quoque erit nominum discrimen. Quomodo ergo dives Abrahamum et

19. sqq.. XXVII. 52. sq..

4. αὐτῷ] H. e. τῷ πλουσίῳ. 5. ἡνίκα etc.] Cf. ev. Matth. 6. ἔχειν] Subaudiendum χρὴ ex praecedentibus. *Sylburgius.*

ἐξ ὀνόματος καλεῖ, ἐκ τῆς κατὰ τὴν ὀνομασίαν διαφορᾶς μὴ γνωριζομένων τῶν προσώπων; Τὸ δὲ κατὰ τὸν Λάζαρον καὶ τὸν 427 πλούσιον διήγημα οὔτε παραβολή ἐστιν οὔτε ἱστορία· εἴγε ἡ μὲν παραβολή ἐστι λόγος ὁμοιότητα περιέχων τοῦ γεγονότος πράγματος πρὸς τὸ ἐσόμενον, ἱστορία δὲ λόγος διήγησιν περιέχων τοῦ ἤδη γεγονότος πράγματος· οὔτε γὰρ πρὸ τῆς ἀναστάσεως τῶν ἑκάστῳ βεβιωμένων ἡ ἀνταπόδοσις γίνεται, οὔτε μετὰ τὴν ἀνάστασιν ἀληθὲς τὸ [7]Ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ἀκουσάτωσαν αὐτῶν. Ἔστι δὲ τὸ περὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου διήγημα ὑποτύπωσις λόγου διδασκαλίαν ἔχοντος τοῦ μὴ δύνασθαι μετὰ τὴν ἐκ τοῦ σώματος ἔξοδον τῆς ψυχῆς κατὰ πρό- B νοιάν τινα ἢ σπουδὴν ὠφελείας τινὸς τυχεῖν τοὺς ἀνθρώπους.

Ἐρώτησις ξα΄.

Εἰ μόνος ἀθάνατός ἐστιν ὁ θεὸς [1]κατὰ τὸν ἀπόστολον, πῶς ἀληθὲς κατ᾽ αὐτὸν τὸ [2]Πάντες μὲν οὐ κοιμηθησόμεθα;

Ἀπόκρισις.

[3]Μόνος ἔχων τὴν ἀθανασίαν λέγεται ὁ θεός, ὅτι οὐκ ἐκ θελήματος ἄλλου ταύτην ἔχει, καθάπερ οἱ λοιποὶ πάντες ἀθάνατοι, ἀλλ᾽ ἐκ τῆς οἰκείας οὐσίας. C

Ἐρώτησις ξβ΄.

[1]Εἰ τῇ τετάρτῃ ἡμέρᾳ τῶν φωστήρων ἡ ποίησις γέγονεν, ἐξ αὐτῶν δὲ τῶν ἡμερῶν ὁ ἀριθμὸς συνίσταται, πῶς αἱ πρὸ τῆς παραγωγῆς τῶν φωστήρων τρεῖς ἡμέραι ἀμφίβολον τὸν μετὰ τὴν παραγωγὴν τῶν φωστήρων ἀριθμὸν τῶν ἡμερῶν οὐ δεικνύουσιν;

Ἀπόκρισις.

[2]Ἐκ τῆς παραγωγῆς τοῦ φωτὸς ὁ διαχωρισμὸς γέγονε φω- D τὸς καὶ σκότους, καὶ ἐκ τοῦ διαχωρισμοῦ φωτὸς καὶ σκότους ἡ ἡμέρα ὑπέστη καὶ ἡ νύξ· πρὸ δὲ τῆς τῶν φωστήρων ποιήσεως ἡ κατὰ τὸν ὅρον τοῦ θεοῦ ἐπικράτεια φωτὸς ἐποίει τὴν ἡμέραν καὶ ἡ ἐπικράτεια τοῦ σκότους τὸ σκότος ἤτοι τὴν νύκτα. Γενο-

7. Ἔχουσι ... αὐτῶν] Ev. Luc. XVI. 29.. ad Tim. VI. 16..
2. Πάντες ... κοιμηθ.] Ep. 1.
1. κατὰ τ. ἀπόστ.] Cf. ep. 1. ad Cor. XV. 51..

Lazarum nomine appellat, si ex nominum discrimine non dignoscuntur homines? Illa autem de Lazaro et divite narratio nec parabola est nec historia: parabola enim oratio est rem futuram sub rei factae similitudine exhibens, historia autem oratio est narrationem habens rei jam factae; nam neque ante resurrectionem vitae anteactae merces unicuique rependitur, neque post resurrectionem verum est illud *Habent Mosen et prophetas, ipsos audiant.* Illa autem de Lazaro et divite narratio est imago, qua docemur non posse homines post egressum animae ex corpore providentia ulla aut studio quidquam auxilii consequi.

Quæstio 61.

Si solus immortalis est deus secundum apostolum: quomodo secundum eumdem verum est illud *Omnes quidem non dormiemus?*

Responsio.

Solus habere immortalitatem dicitur deus, quia non ex voluntate alius eam habet, ut caeteri omnes immortales, sed ex sua ipsius essentia.

Quæstio 62.

Si quarto die condita sunt luminaria, ex his autem dierum numerus constitutus est: quomodo tres dies, qui luminarium creationem praecesserunt, incertum non efficiunt numerum dierum, qui luminarium creationem subsecuti sunt?

Responsio.

Ex creatione lucis separatio exstitit lucis et tenebrarum, atque ex separatione lucis et tenebrarum dies et nox constiterunt; prius autem quam luminaria fierent efficiebat diem definitus a deo dominatus lucis et tenebras sive noctem dominatus tenebrarum. Postea autem quam facta sunt lumina-

3. *Μόνος* etc.] Vid. Quaestt. Gentt. ad Christ. 9, 13.; adde Just. Dial. c. Tr. c. 5. sq..

1. *Εἰ τῇ τετ. ἡμ.* etc.] Quaestio ex Genes. I. 14.—19..

2. *Ἐκ ... νύξ*] Cf. Genes. I. 3.—5..

μένων δὲ τῶν φωστήρων ἐτάχθησαν ἐξουσιάζειν, [3] ὁ μὲν τοῦ
φωτὸς καὶ τῆς ἡμέρας, ἡ δὲ τοῦ σκότους καὶ τῆς νυκτός· ὁ γὰρ
δημιουργὸς τὸ φῶς μετὰ τῆς ὡρισμένης αὐτοῦ ἐπικρατείας τῷ μεί-
ζονι τῶν φωστήρων ἐκληρώσατο, καὶ [4] τοιαύτας ἡμέρας ἃς ποιεῖ
νῦν τὸ φῶς μετὰ τοῦ φωστῆρος τοιαύτας ἐποίει καὶ πρὸ τῆς 428
ποιήσεως τῶν φωστήρων, [5] κατὰ τὸν ὅρον τοῦ θεοῦ τοῦ τὴν ἐπι-
κράτειαν αὐτοῦ ὁρίσαντος [6] δωδεκάωρον· ἐκεῖνος ὁ ὅρος ἐπείγει
τὸν ἥλιον πρὸς τὴν ἐξ ἀρχῆς ἔμμετρον δωδεκάωρον κίνησιν.

Ἐρώτησις ξγ'.

Ἐπειδὴ διαφόρως τινὲς ἡρμήνευσαν καὶ ἀσαφῶς τὸ [1] Ἐν τῷ
ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, τὴν σαφήνειαν αὐτοῦ δίδαξον.

Ἀπόκρισις. B

Εἴπομεν [2] ἐν τοῖς ἀνωτέρω ὅτι οὐρανοὺς [3] οἶδεν ἡ θεία γρα-
φὴ καλεῖν ἢ τοὺς κατ' οὐσίαν, ὡς τὸν πρῶτον οὐρανὸν καὶ τὸ
στερέωμα, ἢ τὰ κατὰ τὸν ἀέρα διαστήματα. Τὸ οὖν Ἐν τῷ ἡλίῳ
ἔθετο τὸ σκήνωμα αὐτοῦ, ἵνα εἴπῃ· Τοὺς οὐρανοὺς ἔθετο σκή-
νωμα τοῦ ἡλίου. [4] Ἡ γὰρ ἐκ τῆς τῶν Ἑβραίων γλώττης εἰς τὴν
τῶν Σύρων γλῶτταν μεταγωγὴ τῆς λέξεως οὕτως γεγένηται· Ἐν
[5] αὐτοῖς ἔθετο τοῦ ἡλίου τὸ σκήνωμα. Δηλοῖ δὲ δι' ἑτέρου ψαλμοῦ
ὁ προφήτης Δαυὶδ αὐτὸ τοῦτο καί φησιν· [6] Ὁ ἐκτείνων τὸν οὐρα-
νὸν ὡσεὶ [7] δέριν (ἡ γὰρ ἔκτασις τῶν [8] δερέων τὴν σκηνὴν ἀποτε- C
λεῖ), τῇ ποικιλίᾳ οὖν τῶν οὐσιῶν καὶ τῇ διαφορᾷ τῶν χρειῶν δεικ-
νύων [9] αὐτοὺς εἶναι γενητούς· ἡ γὰρ ἀγένητος φύσις πρὸς τὴν
ἀγένητον φύσιν κατὰ φύσιν οὐκ ἔχει διαφοράν, τὸ δὲ καὶ χρείας
ἕνεκα τοιόνδε ἢ τοιόνδε ἀλλότριόν ἐστι τῆς ἀγενήτου φύσεως.

Ἐρώτησις ξδ'.

Εἰ ὥσπερ ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους [1] τὸ τριήμερον

3. ὁ μὲν . . . ἡ δὲ] H. e. ὁ μὲν ἥλιος (ὁ φωστὴρ ὁ μέγας) . . . ἡ δὲ σελήνη (ὁ φ. ὁ ἐλάσσων). Cf. Genes. I. 16..

4. τοιαύτας . . . τοιαύτας] Alterutrum abundat.

5. κατὰ] Vulgo καὶ inepte. Jam Langus errorem in versione correxit.

6. δωδεκάωρον] Codd. msti et Stephan. hîc et paulo post mendose δεκάωρον.

1. Ἐν . . . αὐτοῦ] Ps. XVIII. 4..

2. ἐν. τ. ἀνωτ.] Resp. ad Quaest. 57..

3. οἶδεν] Vid. Quaest. 54. not. 4..

4. Ἡ . . . μεταγωγὴ] Indicat versionem syriacam, quae Peschito vo-

ria dominatum acceperunt: illud lucis et diei, hoc tenebrarum et noctis; opifex enim lucem cum definito ejus dominatu tribuit majori luminari, et quales nunc dies efficit lux cum luminari tales etiam ante efficiebat quam fierent luminaria, secundum praescriptum dei, qui dominatum ejus duodecim horis definiverat: illud praescriptum soli imprimit definitam ab initio duodecim horis motionem.

Quæstio 63.

Quia varie nonnulli interpretati sunt nec dilucide illud *In sole posuit tabernaculum ejus*, explanationem illius nos edoce.

Responsio.

Diximus supra solere scripturam divinam vocare coelos vel eos qui substantia tales sunt, ut primum coelum et firmamentum, vel ipsa in aëre interstitia. Itaque illud *In sole posuit tabernaculum ejus* usurpat, ut significet: Coelos posuit tabernaculum solis. Nam hujus dicti ex Hebraeorum lingua in Syrorum linguam translatio sic habet: *In ipsis posuit solis tabernaculum.* Id ipsum autem ostendit per alium psalmum propheta David et ait: *Extendens coelum sicut pellem* (extensio enim pellium tabernaculum efficit), varietate scilicet substantiarum et discrimine usuum indicans eos esse creatos; nam increata natura non differt naturâ ab increata natura, quod autem propter usum tale vel tale est alienum est ab increata natura.

Quæstio 64.

Si quemadmodum Jonas in ventre ceti per triduum ita

catur; cf. Gass. l. c. p. 109. not. 56..

5. αὐτοῖς] Nempe τοῖς οὐρανοῖς.

6. Ὁ ... δέρριν] Ps. CIII. 2..

7. δέριν] Septuaginta δέῤῥιν. Sed illa quoque scribendi ratio haud insolens est. Quae autem sequuntur, ἡ γὰρ ἔκτασις ... ἀποτελεῖ, cancellis circumscripsi, ut facilius δεικνύων referatur ad praecedentia; itaque conjectura Sylburgii supersedemus, qui congruentius opinatur esse verbum δεικνύει aut cum participio illo subaudiendum ἐστι.

8. δερέων] Sic codd. msti et Stephan.; caeteri editt. δέρεων. Vid. not. antec..

9. αὐτοὺς] H. e. τοὺς οὐρανούς.

1. τὸ τριήμερον] Post hoc verbum subaudiendum ἐγένετο vel πα-

οὕτως καὶ ὁ Χριστὸς ἐν τῇ καρδίᾳ τῆς γῆς, πῶς οὐ δοκήσει τοῦ
κυρίου ὁ θάνατος γέγονεν; Ἰωνᾶς γὰρ μὴ θανὼν ἐνομίσθη τεθνά-
ναι. Εἰ δὲ κατ' ἀλήθειαν ὁ κύριος τοῦ θανάτου ἐγεύσατο, πῶς D
τὸ κατὰ τὸν Ἰωνᾶν ὑπόδειγμα οὐ διέψευσται;

Ἀπόκρισις.

Οὐ θανάτῳ τὸν θάνατον συμπαρέβαλεν, ἀλλὰ τὴν τριήμερον
ἐν τῷ τάφῳ παραμονὴν τοῦ σωτῆρος τῇ τριημέρῳ ἐν τῷ κήτει πα-
ραμονῇ τοῦ Ἰωνᾶ. Ἄλλως τε εἰ κατὰ τὰ ὅμοια ἦν τὰ κατὰ τὸν Ἰω-
νᾶν τοῖς κατὰ τὸν σωτῆρα, οὐκέτι ἠδύνατο ἐκεῖνα τούτων εἶναι 429
τύπος ἢ εἰκών. Χρὴ οὖν [2] τὴν ἀλήθειαν πλέον τι τοῦ τύπου ἔχειν,
κατὰ τὸ εἰρημένον· [3] Πλέον Ἰωνᾶ ὧδε. Ὑπόδειγμα δὲ ἀψευδὲς
νοεῖται τὸ κατὰ τὸν Ἰωνᾶν τοῦ κατὰ τὸν σωτῆρα τοῦτον τὸν τρό-
πον, ὅτι, ὥσπερ ὁ Ἰωνᾶς σημεῖον πίστεως εἶχε τοῦ παρὰ τοῦ
θεοῦ ἀποσταλῆναι αὐτὸν κήρυκα τῆς καταστροφῆς τῶν Νινευϊτῶν
τὴν τριήμερον ἐκ τοῦ κήτους ἀναγωγήν, οὕτως καὶ ὁ σωτὴρ ση-
μεῖον πίστεως εἶχε τοῦ παρὰ τοῦ θεοῦ ἀποσταλῆναι αὐτὸν κήρυκα
τῆς βασιλείας τῶν οὐρανῶν τὴν τριήμερον ἐκ τοῦ τάφου ἀνάστασιν.

Ἐρώτησις ξε'. B

Ἐπειδή τινες τὴν τοῦ κυρίου παράδοσιν τῇ τετράδι λέγουσι
γεγονέναι, ἐκ τῆς ποσότητος τοῦτο τῶν τότε πραχθέντων στο-
χαζόμενοι, τίς ἡ ἀπόδειξις τῆς ἡμέρας ἐν ᾗ ἡ παράδοσις γέ-
γονεν;

Ἀπόκρισις.

Ἀπόδειξις τοῦ μὴ τῇ τετράδι ἀλλὰ τῇ πέμπτῃ παραδεδόσθαι
τὸν Χριστὸν αὕτη ἐστίν. Ἐν τῇ νυκτὶ ᾗ παρεδόθη, [1] ἐν ταύτῃ
ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων ἐκρίθη καὶ κατεκρίθη· [2] τῷ
πρωῒ δὲ ἐχομένῳ τῆς νυκτὸς ταύτης παρέδωκαν αὐτὸν τῷ Πι- C
λάτῳ· ἐν ᾗ δὲ ἡμέρᾳ παρέλαβεν αὐτὸν ὁ Πιλάτος, ἐν ταύτῃ
αὐτὸν καὶ ἐσταύρωσε· παραλαβὼν δὲ αὐτὸν τῷ πρωῒ τῆς παρα-
σκευῆς, τῇ ἕκτῃ ὥρᾳ τῆς αὐτῆς παρασκευῆς ἐσταύρωσεν. Οὐ

ρέμεινε (vid. Resp.: τριημ. παραμονή) vel aliud quid hujusmodi. *Sylburgius.*

2. τὴν ἀλήθειαν] H. e. id quod revera in Christo adimpletum est; spectat autem scriptor ad illius mortem veram, non simulatam.

3. Πλέον Ἰ. ὧδε] Ev. Matth. XII. 41..

etiam Christus in corde terrae fuit: quomodo non specie tantum mortem dominus obiit? Nam Jonas, quum mortuus non esset, mortuus esse existimatus est. Quodsi vere dominus mortem gustavit: quomodo non falsum est Jonae exemplum?

Responsio.

Non mortem cum morte contulit, sed triduanam in sepulcro permansionem servatoris cum triduana in ceto permansione Jonae. Praeterea si similes fuissent res Jonae rebus servatoris, non potuissent illae istarum esse figura aut imago. Oportet ergo veritatem amplius aliquid quam figuram obtinere, secundum hoc dictum: *Majus quam Jonas est hîc.* Jonam autem servatoris imaginem non mendacem fuisse hoc modo intelligitur, quia, quemadmodum Jonas signum habuit, cur missus a deo eversionis Ninivitarum praeco crederetur, exitum e ceto post triduum, ita etiam servator signum habuit, cur missus a deo regni coelorum praeco crederetur, resurrectionem ex sepulcro post triduum.

Quæstio 65.

Quoniam nonnulli traditionem domini quarto hebdomadis die dicunt evenisse, ex magno id rerum tunc gestarum numero conjicientes: ecquod argumentum est diei quo traditio evenit?

Responsio.

Non quarto sed quinto die traditum esse dominum sic demonstratur. In qua nocte traditus est, in ea a summis sacerdotibus et senioribus judicatus et condemnatus est: mane autem, quod hanc noctem subsecutum est, tradiderunt eum Pilato; quo autem die eum accepit Pilatus, eodem eum etiam crucifixit: quum autem eum acceperit mane diei praeparationis, sexta hora ejusdem diei praeparationis crucifixit. Non

1. *ἐν ταύτῃ*] Pleonastice dictum (pro *ἐν ᾗ νυκτὶ παρεδ.*, *ἐν ταύτῃ*), ut Quaest. 52.: *Ὁ ζήλῳ θείῳ ποιῶν τι οὗτος οὐ θεομαχεῖ* — Confut. dogm. Arist. c. 38.: *Εἰ τὸ ὂν ἐν τῷ χρόνῳ ἐκεῖνο κινεῖται.*

2. *τῷ πρωΐ*] Codd. msti et Stephan. *τὸ πρωΐ*, quod saltem hîc ferri nequit; cf. not. 8..

χρὴ οὖν ταῖς γραφικῶς ὡρισμέναις ὥραις προστιθέναι κατὰ στοχασμὸν τὸ ἀσύστατον. Φησὶ γὰρ Ματθαῖος ὁ εὐαγγελιστὴς οὕτως· [3] Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὅπως θανατώσωσιν αὐτόν· καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν D
αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι. [4] Ὡσαύτως δὲ καὶ Ἰωάννης ὁ εὐαγγελιστής φησιν· [5] Ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ. Καὶ πάλιν· [6] Ὁ Πιλάτος οὖν ἀκούσας τούτων τῶν λόγων ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, ἑβραϊστὶ δὲ [7] Γαββαθᾶ· ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη. Εἰ τοίνυν τῇ νυκτὶ μὲν παρεδόθη καὶ ἐκρίθη ὑπὸ τῶν ἀρχιερέων καὶ κατεκρίθη, [8] τὸ πρωΐ δὲ παρεδόθη τῷ Πιλάτῳ καὶ τῇ ἕκτῃ ὥρᾳ τῆς παρασκευῆς ἐσταυρώθη, δῆλον ὅτι τῇ πέμπτῃ ἡ παράδοσις γεγένηται.

Ἐρώτησις ξϛʹ. 430

Ἐπειδὴ συνεχῶς ὁ κύριος υἱὸν τοῦ ἀνθρώπου καὶ οὐχὶ τῆς ἀνθρώπου ἑαυτὸν ὀνομάζει, καὶ [1] διὰ τοῦτο πειρῶνται οἱ ἄπιστοι δεικνύναι ὡς ἐκ γαμικῆς συναφείας ὁ δεσποτικὸς γέγονε τόκος· τὸ γὰρ τοῦ ἀνθρώπου, φασίν, οὐ θηλείας ἐστὶν ἀλλ' ἄῤῥενος τὸ ὄνομα· τίσιν οὖν λόγοις χρησάμενοι τὴν τοιαύτην λοιδορίαν μάτην λεγομένην ἐλέγξομεν;

Ἀπόκρισις. B

Εἰ ἐκ γαμικῆς συναφείας ὁ δεσποτικὸς τόκος ἐγένετο, οὐκ ἂν εἶπεν ἡ γραφὴ τὸ [2] Ὡς ἐνομίζετο υἱὸς τοῦ Ἰωσήφ· τὸ γὰρ Ὡς ἐνομίζετο ἐπὶ τῶν ἐκ γαμικῆς συναφείας τικτομένων ῥηθῆναι χώραν οὐκ ἔχει. Τὸ δὲ διὰ μιᾶς ἀσαφοῦς τε καὶ ἐλλιποῦς φωνῆς πάσας τὰς φωνὰς ἐκείνας τὰς προδήλως καταγγελλούσας τὸν Χριστὸν ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου γεγεννημένον ἀνατρέπειν τῶν ἀτοπωτάτων ἐστί. Πρὸς ἀναίρεσιν δὲ τῆς ματαίας C
αὐτῶν ἐπιχειρήσεως κεχρήμεθα λόγοις τοιούτοις. Εἰ διὰ τὸ μὴ

3. Πρωΐας . . . ἡγεμόνι] Ev. Matth. XXVII. 1. sq..

4. Ὡσαύτως δ. κ. Ἰωάννης ὁ εὐ. φησιν] Sed vid. Gass. l. c. p. 101. sq..

5. Ἄγουσι . . . πρωΐ] Ev. Joann. XVIII. 28..

6. Ὁ Πιλάτος . . . ἕκτη] Ev. Joann. XIX. 13..

7. Γαββαθᾶ] Vulgo Γαββαθά.

oportet ergo horis a scriptura definitis difficultates conjiciendo affingere, quae expediri non possint. Ait enim Matthaeus evangelista sic: *Mane autem facto consilium inierunt omnes summi sacerdotes et seniores populi adversus Jesum de eo interficiendo; et vinctum eum abduxerunt et tradiderunt Pontio Pilato procuratori.* Similiter autem etiam Joannes evangelista ait: *Ducunt Jesum a Caipha in praetorium; erat autem mane.* Et rursus: *Pilatus ergo quum audivisset haec verba, eduxit foras Jesum, et sedit in tribunali in loco qui dicitur Lithostroton, hebraice Gabbatha; erat autem dies praeparationis paschae, hora fere sexta.* Si ergo nocte proditus et judicatus a summis sacerdotibus et condemnatus est, mane autem traditus Pilato et hora sexta diei praeparationis crucifixus: patet quinto die traditum eum esse.

Quæstio 66.

Quia perpetuo dominus υἱὸν τοῦ ἀνθρώπου et non τῆς ἀνθρώπου seipsum appellat, ideoque conantur increduli demonstrare ex conjugali copula dominicum exstitisse partum: illud enim τοῦ ἀνθρώπου, inquiunt, non feminae est sed maris nomen: quibus igitur rationibus utentes ejusmodi convicium frustra ingeri arguemus?

Responsio.

Si ex conjugali copula dominicus exstitisset partus, non dixisset scriptura: *Ut putabatur filius Josephi;* illud enim *Ut putabatur* de iis qui ex conjugali copula nascuntur dici non potest. Atque per unam vocem, quae neque claro neque absoluto sensu praedita est, omnes illas, quae manifeste declarant Christum ex spiritu sancto et Maria virgine genitum esse, evertere longe absurdissimum est. Caeterum ad evertendam inanem eorum argumentationem his utimur rationibus.

8. τὸ πρωΐ] In τὸ πρωΐ ellipsis est praepositionis κατά, περὶ aut alius ejuscemodi. *Sylburgius.* Convenientius esset (cf. not. 2.) τῷ πρωΐ.

1. διὰ τοῦτο] Sylburg. διὰ τούτου *(per hoc)* conjectavit, sine causa.

2. Ὡς...Ἰωσήφ] Ev. Luc. III. 23..

εἰπεῖν ἑαυτὸν τὸν Χριστὸν υἱὸν τῆς ἀνθρώπου οὐκ ἔστι διὰ τοῦτο υἱὸς τῆς ἀνθρώπου δηλονότι, [3]ἆρα καὶ διὰ τὸ μὴ εἰπεῖν ἑαυτὸν υἱόν τινος ἀνθρώπου οὐκ ἔστιν υἱός τινος ἀνθρώπου; Εἰ δὲ μή τινος ἀνθρώπου ἐστὶν ὁ Χριστὸς υἱός, ἐξ ἀνάγκης οὐδ' ἀνθρώπου ἐστὶν υἱός. Ἔτι δὲ εἰ καθώσπερ υἱὸς τοῦ Ἡλεὶ [4]ἐχρηματίσθη ὁ Ἰωσὴφ κατὰ τὸν νόμον χωρὶς γαμικῆς συναφείας, τοῦ θεοῦ τούτῳ τῷ τρόπῳ βουληθέντος δοῦναι τὸν Ἰωσὴφ υἱὸν τῷ Ἡλεί, τί ἄτοπον τὸ οὕτως δοῦναι καὶ υἱὸν χωρὶς γαμικῆς συναφείας τῷ Ἰωσήφ; D
Τούτου γὰρ ἕνεκεν προῳκονόμησεν ἡ θεία χάρις τὴν παρθένον μνηστευθῆναι ἀνδρὶ δύο πατέρας ἐσχηκότι, ἕνα μὲν κατὰ φύσιν ἐκ γαμικῆς συναφείας, ἕτερον δὲ κατὰ τὸν νόμον χωρὶς γαμικῆς συναφείας, ἐν τῇ ἐκείνου γεννήσει προζωγραφοῦσα τοῦ Χριστοῦ τὴν γέννησιν, τοῦ γεννηθέντος μὲν ἐκ πνεύματος ἁγίου υἱοῦ τῷ θεῷ, γεννηθέντος δὲ ἐκ τῆς γυναικὸς τοῦ Ἰωσὴφ υἱοῦ τῷ Ἰωσήφ. [5]Πνεῦμα, φησίν, ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον τῷ κυρίῳ κληθή- 431
σεται υἱὸς θεοῦ. Ἀλλ' εἰ τὸ γεννώμενον ἐκ τῆς γυναικὸς τοῦ Ἡλεὶ υἱός ἐστι τοῦ Ἡλεὶ κατὰ τὸν νόμον τοῦ θεοῦ, πολὺ μᾶλλον ἐκ τῆς γυναικὸς τοῦ Ἰωσὴφ κατὰ τὴν θείαν εὐδοκίαν υἱός ἐστι τοῦ Ἰωσὴφ χωρὶς γαμικῆς συναφείας.

Ἐρώτησις ξζ'.

Ἐπειδὴ ὁ Ἠσαΐας εἰς τὸν [1]δεσπότην Χριστὸν προφητεύων φησί· [2]Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ἐπὶ δυσδιηγήτου [3]ἄρα ἢ ἀδιηγήτου τῆς γενεᾶς, καὶ ἐπὶ τῆς θεότητος ἢ τῆς σαρκὸς ταύτην ἐκληπτέον τὴν λέξιν; B

Ἀπόκρισις.

Ἡ μὲν κατὰ σάρκα γέννησις τοῦ Χριστοῦ γενεαλογεῖται, καὶ ὁ τρόπος ταύτης ἐν γραφικῇ διηγήσει καταγγέλλεται· ἐκ πνεύματος γὰρ ἁγίου καὶ τῆς παρθένου Μαρίας· ἡ δὲ κατὰ τὴν θεότητα αὐτοῦ γέννησίς ἐστιν ἀγενεαλόγητος, διὸ καὶ ἀδιήγητος. Ἐμ-

3. ἆρα etc.] Maranus, punctum interrogans non ponens, reddit: *sic etiam profecto* (= ἆρα) etc..

4. ἐχρηματ.] Cf. ev. Luc. l. c..

5. Πνεῦμα ... θεοῦ] Ev. Luc. I. 35..

1. δεσπότην Χριστὸν] Codd. msti et editi δεσπότην κύριον. Sed

Si, quia non dixit seipsum Christus υἱὸν τῆς ἀνθρώπου, idcirco non est filius hominis feminae: an etiam, quia seipsum non dixit filium alicujus hominis, non est filius alicujus hominis? Quodsi Christus alicujus hominis filius non est, necessario ne hominis quidem est filius. Deinde vero si pariter filius Eliae vocatus est Josephus secundum legem sine conjugali copula, volente deo Josephum hoc modo filium Eliae tradere: quid absurdi est eodem pacto sine conjugali copula etiam Josepho filium dari? Hanc enim ob causam divina gratia provido consilio perfecit ut virgo desponderetur viro duos patres habenti, alterum secundum naturam ex conjugali copula, alterum secundum legem sine conjugali copula: in illius generatione depingens in antecessum Christi generationem, qui genitus quidem est ex spiritu sancto filius deo, genitus autem ex Josephi uxore filius Josepho. *Spiritus*, inquit, *sanctus superveniet in te, et virtus altissimi te obumbrabit; quare etiam quod nascetur ex te sanctum domino vocabitur filius dei.* Sed si id quod natum est ex Eliae uxore filius est Eliae secundum legem dei, multo magis id quod natum ex Josephi uxore secundum dei beneplacitum filius est Josephi sine copula conjugali.

Quæstio 67.

Quandoquidem Jesaias de Christo domino vaticinans ait: *Generationem ejus quis enarrabit?* — utrum de vix enarrabili an de non enarrabili generatione, de divinitate an de carne accipienda est haec dictio?

Responsio.

Christi secundum carnem generatio per genealogiam recensetur, et modus hujus in scripturae narratione adnuntiatur: ex spiritu sancto nimirum et ex Maria virgine: ejus vero secundum divinitatem generatio genealogia caret, quare etiam

lectio, quam textui inserendam duxi, Quaestt. 20. 22. 39. 78. 102. 105. 110. 133. 136. al. firmatur. Sic ὁ δεσπότης θεὸς Respp. ad Quaestt. 36. 79. 126..

2. Τὴν ... διηγήσεται] Jesai. LIII. 8..

3. ἄρα] Stephan. ἆρα.

φαίνει οὖν ἡ προφητικὴ ῥῆσις τὸ ἀδιήγητον, [4] οὐ τὸ δυσδιήγητον τῆς γεννήσεως.

Ἐρώτησις ξη'. C

Εἰ μὴ τὸ αἷμα τοῦ ἀνθρώπου ἐστὶν ἡ ψυχὴ διὰ τὸ [1] ἐκχυθέντος ἐκείνου τὸ ζῶον ἀπόλλυσθαι, διὰ ποίων λόγων καὶ ὑποδειγμάτων δείκνυται ὅτι ἐστὶ ψυχὴ ἐν τῷ σώματι [2] ἕτερόν τι κτίσει καὶ ἀόρατον;

Ἀπόκρισις.

Ἔχοντες τὰς φωνὰς τοῦ δημιουργοῦ τῆς κτίσεως τὰς διαστελλούσας ψυχὴν σώματος, ἀξιοπιστότερα τούτων ὑποδείγματα εἰς παράστασιν τῆς τοῦ ζητουμένου ἀληθείας οὐκ ὀφείλουσιν ἀπαι- D
τεῖν. [3] Τὸ γὰρ δοῦναι τῷ διαβόλῳ κατὰ πάσης τῆς σωματικῆς τοῦ Ἰὼβ συστάσεως τὴν ἐξουσίαν τοῦ πατάξαι αὐτὴν ὡς βούλεται, καὶ κωλῦσαι αὐτὸν τοῦ ἅψασθαι αὐτοῦ τῆς ψυχῆς, δείκνυσι τὴν ἀσώματον ψυχὴν ἕτερόν τι παρὰ τὴν [4] πεπληγωμένην σάρκα αὐτοῦ. Ὡσαύτως δὲ καὶ τὸ [5] Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· τοῦτο δηλοῖ τὸ εἶναί τι τοῦ ἀναιρεθέντος ἀνθρώπου τὸ ἐν ἀθανασίᾳ διαμένον καὶ μετὰ τὸν τοῦ σώματος θάνατον. Ὥστε 432
ἄτοπον λέγειν αἷμα τὸ ἐκχυθὲν καὶ φθαρὲν ψυχήν. Πρόδηλον ἄρα ἐστὶν ὅτι ἡ ψυχὴ ἀόρατον τοῖς ἀνθρώποις κατὰ τὴν οἰκείαν φύσιν.

Ἐρώτησις ξθ'.

[1] Διὰ τί ὁ ἑπτὰ ἀριθμὸς ἐναλλαγὴν δέχεται; Καὶ γὰρ ἐν σαββάτῳ ὡς τὰ πολλὰ ὁ ἀὴρ μεταβάλλεται, καὶ ἡ τοῦ ἀνθρώπου κατὰ τὴν ἡλικίαν προκοπὴ ἐν τούτῳ τῷ ἀριθμῷ λαμβάνει ἐπίδοσιν, ὀδόντων μὲν φυομένων τῷ ἑβδόμῳ μηνί, τῷ δ' αὐτῷ B
ἔτει ἀλλαττομένων τούτων, [2] διπλασιασθέντων δὲ πάλιν σπερματικὴν προσκτωμένων δύναμιν· καί, ἵνα συντόμως εἴπω, ὁ ἀριθμὸς

4. οὐ] Vulgo ἢ inepte. Primus Maran. errorem detexit; id enim, inquit, quaeritur utrum generatio vix enarrabilis intelligenda sit, nempe ex virgine, an prorsus inenarrabilis, nempe aeterna.

1. ἐκχυθέντος] Codd. msti ἐκλυθέντος. Sic Stephanus quoque. Resp.: αἷμα τὸ ἐκχυθέν.

2. ἕτερόν τι κτ. κ. ἀόρατον] Ita Maran. bene (vid. Resp.) sanavit scripturam vulgarem ἢ ἕτερον τῇ κτίσει ἀόρατον.

inenarrabilis est. Demonstrat igitur prophetica dictio generationem non enarrabilem, non autem vix enarrabilem.

Quæstio 68.

Si non propterea sanguis hominis est anima quod effuso sanguine animal occidit: quibusnam rationibus et exemplis demonstratur animam esse in corpore aliud quidpiam creatione distinctum et invisibile?

Responsio.

Quum dicta habeamus opificis creaturae, quae animam a corpore discernunt, fide digniora his exempla ad demonstrandam rei quaesitae veritatem non debent requirere. Quod enim datur diabolo in omnem corpoream Jobi constitutionem potestas percutiendi eam ad arbitrium suum, quodque idem prohibetur quominus tangat illius animam, id argumento est animam incorpoream aliud quidpiam esse praeter percussam illius carnem. Sic etiam illud *Nolite timere eos qui occidunt corpus*, *animam autem non possunt occidere;* hoc indicat aliquid esse in homine occiso, quod in immortalitate permanet etiam post corporis mortem. Quocirca absurdum dictu est sanguinem, qui effusus est et corruptus, animam esse. Manifestum ergo est animam hominibus invisibilem esse secundum propriam naturam.

Quæstio 69.

Cur septenarius numerus mutationem suscipit? Etenim sabbato plerumque aër immutatur, et hominis secundum aetatem progressus in hoc numero incrementum accipit: dentes nascuntur septimo mense, septimo anno mutantur, iisdem annis duplicatis vis seminalis supervenit; atque, ut breviter di-

3. *Τὸ γὰρ* etc.] Cf. Job. II. 6. sq..

4. *πεπληγωμένην*] Haec forma, si genuina est (pro *πεπληγμένη* a v. *πλήσσειν*), originem ducit a *πληγοῦν* verbo inusitato.

5. *Μὴ ... ἀποκτεῖναι*] Ev. Matth. X. 28.. Ad *ὡσαύτως* suppl. ex praeced. *δείκνυσι τὴν ψυχὴν ἕτερόν τι εἶναι παρὰ τὴν σάρκα.*

1. *Διὰ τί*] Maran. *Διὰ τί τὸ* errore.

2. *διπλασ. δὲ πάλιν*] Scil. *τούτων* h. e. *τῶν ἑπτὰ ἐτῶν.*

τῶν ἑπτὰ τὴν αὔξησιν καὶ λῆξιν τῶν ἀνθρώπων ἐργάζεται, καὶ τῶν νοσημάτων ποιεῖται διάκρισιν, καὶ ἐν νόμῳ [3] τῶν λοιπῶν ἀριθμῶν τὸ αἰδέσιμον κέκτηται.

Ἀπόκρισις.

Πρὸς τὴν δύναμιν τῆς φύσεως τῶν ἔργων τῆς φύσεως ἡ ἐκπλήρωσις γίνεται, καὶ οὐ πρὸς τὴν χρονικὴν παράστασιν ἑβδομάδι C
μηνῶν ἢ ἐνιαυτῶν ὡρισμένην. Διὸ τὰ ὀνομασθέντα ἔργα τῆς φύσεως ἐν τῇ ἐρωτήσει πολλάκις θᾶττον ἢ βραδύτερον τῶν ἑπτὰ ἀριθμῶν ἐπὶ τὴν οἰκείαν ἄγει ἡ φύσις τελειότητα· ἅπερ οὐκ ἂν ἐγίνετο, εἰ ἡ φύσις τῇ ἑβδομάδι καὶ μὴ ἡ ἑβδομὰς τῇ φύσει ἠκολούθει. Οὐχ ἡ ἑβδομὰς οὖν ἐστὶν αἰτία τῆς ἐκπληρώσεως τῶν ἔργων τῆς φύσεως, ἀλλὰ ἡ δύναμις τῆς φύσεως αἰτία τῆς ἑβδομάδος, καθ' ἣν [4] οὐ λαμβάνει τῇ φύσει τὰ οἰκεῖα ἔργα ἐκτελέσαι. Ὡσαύτως δὲ καὶ περὶ τῶν ἄλλων ἀριθμῶν μηνῶν τε καὶ ἐνιαυτῶν, δι' ὧν ἐκπληροῦται τὸ ἔργον τῆς φύσεως ἐν τοῖς λοιποῖς ζώοις τε καὶ φυ- D
τοῖς, ἡ δύναμις τῆς φύσεώς ἐστιν αἰτία τοῦ ἴσου χρόνου, καὶ τοῦ πλείονος καὶ τοῦ ἐλάττονος. Αἰδεσιμώτερος δὲ ἐν τῇ θείᾳ γραφῇ ὁ ἑπτὰ ἀριθμὸς παρὰ τοὺς λοιποὺς ἀριθμούς, ὅτι ἐν αὐτῷ ὁ πᾶς χρόνος τῆς τε τοῦ κόσμου ποιήσεως καὶ τῆς τοῦ πεποιηκότος αὐτὸν καταπαύσεως· ἑξὰς μὲν τῆς ποιήσεως, μονὰς δὲ τῆς καταπαύσεως. Ἵνα οὖν φυλαχθῇ ἡ μνήμη τῆς τοῦ κόσμου ποιήσεως ἐν τοῖς ἀνθρώποις, διὰ τοῦτο [5] τιμιώτερον τῶν ἄλλων εὑρίσκειν ἔταξε τὸν ἑπτὰ ἀριθμὸν ἐν τῇ θείᾳ γραφῇ.

Ἐρώτησις ο'. 433

Εἰ τὸ χαίρειν καὶ γαυριᾶν ἐπὶ τοῖς χαρίσμασιν ἀπηγόρευται ὡς ὑπερηφανείας ποιητικόν, ταπεινοφροσύνη δὲ καὶ ἐπιείκεια τοῖς ταῦτα εἰληφόσιν ὑπὸ τῆς θείας γραφῆς παραδέδοται, πῶς οὐκ ἀνωφελῆ αὐτοῖς τὰ δωρήματα, αἴσθησιν ἐπὶ τοῦ παρόντος ἐκείνοις τοῦ οἰκείου καλοῦ παρασχεῖν μὴ δυνάμενα;

Ἀπόκρισις. B

Τὸ χαίρειν ἐπὶ τοῖς χαρίσμασι μετὰ τῆς ὑπερηφανείας ἀπαγο-

3. τῶν λοιπῶν] Vult Maran. μᾶλλον τῶν λοιπῶν: *prae caeteris numeris*. Non muto.

4. οὐ] Videtur Marano vel οὖν legendum, quod saepe idem valeat ac *videlicet*, vel recidenda haec vocula; vertit: *sed vis naturae in causa est, cur ei detur in septenario numero propria opera naturaliter*

cam, numerus septenarius incrementum et defectum hominum efficit, et in morbis dijudicandi notas affert, et in lege quoad caeteros numeros venerabilis est.

Responsio.

Vi naturae perficiuntur opera naturae, minime autem certo temporis spatio septem mensibus aut annis definito. Quare nominata in quaestione opera naturae saepe citius aut tardius numero septenario ad propriam perducit natura perfectionem: quae quidem non fierent, si natura septenarium numerum ac non septenarius numerus naturam sequeretur. Non igitur septenarius numerus in causa est cur opera naturae compleantur, sed vis naturae causa est septenarii numeri, per quem non sumit naturaliter propria opera perficere. Similiter etiam quoad caeteros mensium et annorum numeros, in quibus opus naturae adimpletur in aliis animalibus et plantis, vis naturae causa est aequalis temporis, et longioris et brevioris. Venerabilior autem est in divina scriptura numerus septenarius praeter caeteros, quia eo continetur omne tempus tum mundi creationis tum requiei creatoris; senio quidem est creationis, unio autem requiei. Ut igitur servaretur memoria creationis mundi inter homines, propterea praecepit in divina scriptura ut septenarius numerus praestantior caeteris haberetur.

Quæstio 70.

Si gaudere et gloriari de donis vetitum est, quia ea res superbiam efficit, humilitas autem et modestia iis qui haec accepere commendatur a divina scriptura: quomodo non inutilia iis sunt dona, quae in praesenti sensum illis proprii boni praestare non possunt?

Responsio.

Gaudere de bonis cum superbia vetat, quia ea res legi-

perficere.

5. *τιμιώτερον τῶν ἄλλων*] Etiam numero denario antiqua ecclesia (vid. Quaestt. ad Antiochum 52.) quamdam tribuebat praestantiam; compositus enim est ex numero septenario et ternario, ita quidem, ille ut creationem, hic trinitatem indicet.

ρεύει ὡς ἀναιρετικὸν τοῦ χαίρειν καλῶς, τὸ χαίρειν δὲ ἐπὶ τοῖς χαρίσμασι μετὰ τῆς ἐπιεικείας οὐ μόνον οὐκ ἀποτρέπει, ἀλλὰ τοὐναντίον ἐπὶ τὴν τοιαύτην χαρὰν καὶ ἐπιτρέπει ποτὲ μὲν λέγων ὁ σωτήρ· [1] Χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς· ποτὲ δὲ ὁ ἀπόστολός φησιν· [2] Ἀδελφοί, χαίρετε ἐν κυρίῳ πάντο- C
τε· πάλιν ἐρῶ, χαίρετε· τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· τῷ διπλασιασμῷ τοῦ χαίρετε τὴν ἐπίτασιν τῆς χαρᾶς ἐμφαίνων. Οὔτε οὖν ἡ χαρὰ ἀναιρεῖ τὴν ἐπιείκειαν, οὔτε ἡ ἐπιείκεια ἀναιρεῖ τὴν αἴσθησιν τῆς χαρᾶς, ἀλλὰ δι᾽ ἑκατέρας ἑκατέρα φυλάττεται.

Ἐρώτησις οα΄.

Ἐπειδή τινες περὶ τῆς τοῦ κόσμου συστάσεως ἔφασαν στοχαζόμενοι ὡς ἑξακισχίλια μόνα ἔτη συστήσεται, εἰ ἀληθὲς τοῦτο δι᾽ D
ὑποδειγμάτων ἐναργῶν δείκνυται, εἰ δὲ ἐκ τῆς θείας γραφῆς, καὶ εἰ ἄδηλον, μάθωμεν.

Ἀπόκρισις.

Ἔνεστι διὰ πολλῶν γραφικῶν φωνῶν τεκμήρασθαι ἀληθεύειν τοὺς λέγοντας ἑξακισχίλια ἔτη εἶναι τὸν χρόνον τῆς παρούσης τοῦ κόσμου συστάσεως, ποτὲ μὲν λέγουσα· [1] Ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ· ποτὲ δέ· [2] Εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε· ποτὲ δέ· [3] Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου. Πᾶσαι δὲ αἱ τοιαῦται φωναὶ ἐν τῇ ἕκτῃ ἐῤῥήθησαν χιλιάδι.

Ἐρώτησις οβ΄. 434

Εἰ τότε ἄφθονος δείκνυται ἕκαστος, ὅτε ὅπερ ἐπίσταται [1] ἢ καὶ δύναται καλὸν ποιεῖν τοῖς πλησίον χαρίζεται, πῶς οὐ φθονερὸς ὁ θεός, πάντας δυνάμενος ποιῆσαι θεοὺς καὶ μὴ ποιήσας, ἐπεὶ [2] καλὸν τὸ θεός; Εἰ δὲ οὐ φθονερός, ἀλλ᾽ ἀδύνατος ὢν τοῦτο οὐκ ἐποίησε· [3] δυοῖν [γὰρ θάτερον λέγειν] ἀνάγκη.

1. Χαίρετε ... οὐρανοῖς] Ev. Luc. X. 20..
2. Ἀδελφοί ... ἀνθρώποις] Ep. ad Phill. IV. 4..
1. Ἐπ᾽ ... υἱῷ] Ep. ad Hebr. I. 2..
2. Εἰς ... κατήντησε] Ep. ad Cor. X. 11..
3. Ὅτε ... χρόνου] Ep. ad Gal. IV. 4..
1. ἢ καὶ δύναται] Haec probe Maran. commendavit pro vulg. εἰ (vid. Qu. 27. not. 1.) καὶ δυνατόν. Infra in Resp.: ἃ δύνανται ποιεῖν

timam laetitiam tollit, gaudere autem de donis cum modestia non modo non vetat, sed ex contrario ad ejusmodi gaudium etiam hortatur nunc quidem servator dicens: *Gaudete quia nomina vestra scripta sunt in coelis* — nunc autem apostolus qui ait: *Fratres, gaudete in domino semper: iterum dico, gaudete; modestia vestra nota sit omnibus hominibus:* iteratione verbi *gaudete* intentionem gaudii declarans. Neque igitur laetitia tollit modestiam, neque modestia tollit sensum laetitiae, sed alterum ab altero custoditur.

Quæstio 71.

Quandoquidem nonnulli de mundi duratione conjiciendo dixerunt eum sex tantum annorum millibus duraturum esse: utrum id verum esse exemplis manifestis demonstretur, utrum ex divina scriptura, atque utrum incertum sit, ediscamus.

Responsio.

Eos verum dicere qui dicunt sex annorum millia tempus esse praesentis mundi constitutionis, licet ex multis scripturae dictis conjicere, quum nunc dicat: *Extremis his diebus locutus est nobis in filio* — nunc: *In quos fines saeculorum inciderunt* — nunc: *Postquam venit plenitudo temporis.* Omnia autem haec dicta in sexto pronuntiata sunt millenario.

Quæstio 72.

Si tunc invidia carere quisque reperitur, quum quidquid scit aut potest benefacere id proximo gratificatur: quomodo non invidus est deus, qui quum omnes posset facere deos — bonum enim est deus — non fecit? Si non invidus, at potentia destitutus id non fecit; ex duobus enim alterutrum dictu necessarium est.

ἢ ἐπίστανται καλά.

2. καλὸν τὸ θεός] Forsan καλὸν ὁ θεός, ut infra.

3. δυοῖν etc.] Codd. msti et editi δυοῖν * ἀνάγκη * τοῖς χαριζομένοις etc.. Quaestionis defectum Langus interpres sic supplet: *Sin invidus non est, sed eo quod potentia destituatur id non praestitit: duorum certe alterum necessario fuerit, aut invidus scilicet aut parum potens.* Sylburgius: δυοῖν θάτερον, ἢ ἀτελῆ ἢ οὐκ αὐτοτελῆ αὐτὸν ἔχειν δύναμιν, ἀνάγκη — h. e. *duo-*

Ἀπόκρισις.

[Οὐχ ὅμοιός ἐστιν ὁ θεὸς] τοῖς χαριζομένοις τοῖς πλησίον ἃ B
δύνανται [4] *ποιεῖν ἢ ἐπίστανται καλά. Τὸ γὰρ πλησίον θεοῦ οὐ*
χρήζει θεοῦ εἰς παροχήν· ἔχει γὰρ πρὸς αὐτὸν ἐν ἅπασι τὸ ἴσον.
Ἔτι δὲ εἰ θεοὺς μόνον ἐποίει ὁ θεός, τὸν κόσμον οὐκ ἂν ἐποίει·
ἀναγκαίως γὰρ χρήζει ὁ κόσμος τῶν μερῶν τῶν καθ' ὑπέρβασιν
καὶ ὑπόβασιν [5] *θέσεως ἀλλήλων διαφερόντων. Ἔτι δὲ εἰ τῶν*
ἀδυνάτων γίνεται οὐδέν, ἀδύνατον δὲ γενέσθαι θεόν (ἄκτιστος C
γὰρ καὶ ἀποίητος ὁ θεός), πῶς οὐκ ἔστιν ἄλογον [6] *τό τε λέγειν*
τὸν θεὸν ἄφθονον, ὅτι τὰ μὴ ἐνδεχόμενα ποιεῖ; Ἔτι δὲ κα-
λόν ἐστιν ὁ θεός, ὅτι ἄκτιστός ἐστι καὶ κτίστης· οὐδὲν δὲ τῶν
κτιστῶν κατ' οὐσίαν δύναται γενέσθαι ἄκτιστον, τουτέστι θεός.
Ἔοικε δὲ αὕτη ἡ ἐρώτησις τῷ λέγοντι λόγῳ· Καλός ἐστιν ὁ ὀ-
φθαλμὸς καὶ τιμιώτερος τῶν ποδῶν· ἀλλ' εἰ ἄφθονός ἐστιν ὁ θεός,
διὰ τί οὐκ ἐποίησε τοὺς πόδας ὀφθαλμούς; Συνάγει γὰρ καὶ ὁ D
λόγος οὗτος τὴν αὐτὴν ἄλογον ἀτοπίαν, τὸ ἢ διὰ φθόνον ἢ δι'
ἀδυναμίαν μὴ πεποιηκέναι τὸν θεὸν [7] *τοὺς πόδας ὀφθαλμούς.*

Ἐρώτησις ογ'.

Εἰ τότε τὸ καλὸν φαίνεται καλόν, ὅτε συγκρίνεται τῷ κα-κῷ, καλὸν δὲ ὁ κόσμος, δῆλον ὅτι κακὸν ὁ μὴ κόσμος, τουτέστι τὸ πρὸ κόσμου. Καὶ εἰ μὲν ἀμφότερα ἐκ θεοῦ, τουτέστι τὸ

rum alterutrum, aut imperfectam aut non sui juris eum habere potentiam, necessarium est. Maranus ut exhibui in textu. Alius conjecerit: *δυοῖν γὰρ θάτερον εἶναι τὸν θεὸν ἀνάγκη.* Responsionis initium interpolat Langus in hanc sententiam: *Non ita dicitur deus praebere proximo bonum, sicut homines proximis suis quae possunt et norunt praestant commoda.* Sylburgius: *Λέγεται μὲν ὁ θεὸς καλὸν ποιεῖν καὶ ἀγαθὰ χαρίζεσθαι· πάσης γὰρ ἀγαθωσύνης κρουνός ἐστι, καὶ τὰ εἰς πάσας τὰς κτίσεις αὐτοῦ εὐεργετήματα πάντοτε καὶ πανταχοῦ ἐνεργέστατα καθορᾶν ἐστιν· οὐ μὴν τῷ πλησίον χαρίζεσθαι λέγεται, οὐδὲ ὁμοίως τοῖς ἀνθρώποις τοῖς χαριζομένοις* etc. — h. e. *Dicitur quidem deus bonum praestare et bona largiri; omnis enim bonitatis fons est, et quae in omnes creaturas confert beneficia licet semper et ubique cernere evidentissime: at non proximo largiri dicitur, neque eo modo quo homines proximis suis quae possunt* etc.. Melius Maranus: *Οὐκ* (sic) *ὅμοιος τοῖς ἀνθρώποις ὁ θεὸς τοῖς χαρ.* etc.. Tu fortassis malles: *Οὐ χαρίζεται ὁ θεὸς ὁμοίως [τοῖς ἀνθρώποις] τοῖς χαρ.* etc..

4. *ποιεῖν*] Pertinet ad *καλά*, ut

Responsio.

Non similis est deus gratificantibus proximo ea quae possunt aut sciunt benefacere. Nam quod proximum dei est non indiget deo ad beneficium accipiendum: habet enim cum eo in omnibus aequalitatem. Deinde si deos tantum fecisset deus, mundum non fecisset: omnino enim indiget mundus partibus, quae altiore vel inferiore gradu a se invicem secernantur. Porro si impossibile nihil fit, impossibile autem est ut fiat deus (increatus enim et infectus deus): nonne praeter rationem est deum dicere invidum, quia impossibilia non facit? Denique bonum est deus, quia increatus est et creator: nihil autem ex creatis potest essentia fieri increatum, id est deus. Videtur autem haec quaestio similis esse huic ratiocinationi: Praeclarus est oculus et pretiosior pedibus; sed si deus invidus non est, quare pedes non fecit oculos? Nam etiam haec ratiocinatio eamdem a ratione alienam absurditatem sibi adsciscit: nempe vel ob invidiam vel ob potentiae penuriam pedes deum non fecisse oculos.

Quæstio 73.

Si bonum tum apparet bonum, quum confertur cum malo, bonum autem est mundus: liquet malum esse non-mundum, hoc est id quod ante mundum. Quodsi utrumque ex deo, hoc est id

ex Quaest. patet.

5. θέσεως] Codd. msti θυσίας. Sic Stephanus quoque. Jam Langus: *quae sublimitate et summissione* s i t u s *aliae aliis intersint.*

6. τό τε λ. τ. θ. ἄφθονον, ὅτι τ. μ. ἐ. ποιεῖ] Ita codd. msti et editi (Maran. τότε) vitiose. Duarum lectionum vestigia deprehendit Sylburg.: 1°. τότε λέγειν τὸν θεὸν ἄφθονον, ὅτε τὰ μὴ ἐνδεχόμενα ποιεῖ — h. e. *tunc deum invidia vacare dicere, quum facit quae fieri nequeunt;* 2°. τό τε λέγειν τὸν θεὸν ἄφθονον, ὅτι τὰ μὴ ἐνδεχόμενα ποιεῖ, καὶ τὸ φθονερὸν αὐτὸν λέγειν, ὅτι τὰ [μὴ] ἐνδεχόμενα οὐ ποιεῖ — h. e. *quomodo non praeter rationem est et dicere deum invidia vacare, quia quae fieri nequeunt faciat, et dicere eundem esse invidum, quia ea quae* [*non*] *possunt fieri non faciat?* Quid? Optima videtur lectio esse: τότε λέγειν τὸν θεὸν οὐκ ἄφθονον (seu φθονερόν), ὅτι τὰ μὴ ἐνδεχόμενα οὐ ποιεῖ. Scilicet dubitationem librariis injecit sententia: ideoque mutarunt.

7. τοὺς] Praetermisit Maran. contra codices.

πρὸ κόσμου καὶ ὁ κόσμος, πῶς οὐχ ἑκάτερα ἐξ αὐτοῦ, τουτέστι 435
τὸ καλὸν καὶ τὸ φαῦλον; Εἰ δὲ θάτερον μὲν ἐξ αὐτοῦ, ἕτερον δὲ οὐκ ἐξ αὐτοῦ, πῶς οὐκ ἔστιν αὐτόματον καὶ μὴ ὑπ' αὐτὸν τὸ μὴ ἐξ αὐτοῦ; Πῶς δ' ἀληθεύει ὁ λέγων· [1]Ὅτι ἐξ αὐτοῦ τὰ πάντα; Ἐν γὰρ τοῖς πᾶσι καὶ τὰ πρώην οὐκ ὄντα καὶ τὰ νῦν ὄντα περιέχεται.

Ἀπόκρισις.

[2]Τὸ κακὸν οὐδὲν ἕτερόν ἐστι παρὰ τὴν ἐκτροπὴν τοῦ κα- B
λοῦ· διὸ ὕστερόν ἐστι τοῦ καλοῦ τὸ κακόν· ἐκτροπὴ γάρ ἐστι τοῦ καλοῦ. Ἀλλὰ τοῦτο δῆλον ὅτι οὐκ ἐκ τῆς συγκρίσεως τοῦ κακοῦ τὸ καλὸν φαίνεται καλόν, ἀλλ' ἐκ τῆς οἰκείας φύσεως. Τὸ δὲ πρὸ τοῦ κόσμου μὴ ὄν, [3]πάντη μὴ ὄν, οὔτε καλὸν ἦν οὔτε κακόν· διὸ τῷ οὕτω μὴ ὄντι οὐδὲν συγκρίνεται. Ἔτι δὲ τὸ πάντη μὴ ὂν οὔτε ἐκ τοῦ θεοῦ οὔτε ἐξ ἄλλου οὔτε αὐτόματόν ἐστι. Πρὸ τοῦ κόσμου οὖν οὐδὲν ἕτερον πλὴν θεοῦ ἦν· τοίνυν C
τῆς συγκρίσεως τῶν ὄντων οὔσης πρὸς τὰ ὄντα, οὐκ ἄρα συγκρίνεται ὁ κόσμος τῷ μὴ κόσμῳ, οὐδὲ ἐν τῷ κόσμῳ περιέχεται τὸ μὴ κόσμος. Τὸ γὰρ μὴ κόσμος οὐδέν ἐστι, τὸ δὲ περιεχόμενόν ἐστί τι. Καὶ ὅτε λέγομεν ἐκ τοῦ μὴ ὄντος τὸν θεὸν πεποιηκέναι τὰ [4]ὄντα, οὐ θέσιν τοῦ ὄντος διδόαμεν τῷ μὴ ὄντι, ἀλλὰ τὴν παντελῆ ἀναίρεσιν τοῦ μὴ ὄντος.

Ἐρώτησις οδ'.

Εἰ διὰ τὸ νενικῆσθαι τὸν ἑλληνισμὸν ὑπὸ τοῦ χριστιανι- D
σμοῦ ἐλπίδα οὐκ ἔχει ὁ ἑλληνισμὸς ἀνακλήσεως, πῶς πάλαι ὑπὸ τοῦ ἑλληνισμοῦ νικηθεῖσα ἡ ἀληθὴς θεοσέβεια νυνὶ τὴν ἀνάκλησιν δέδεκται; Ὅτι γὰρ πρὸ τῆς πλάνης ἐπεκράτει ἡ ἀλήθεια μαρτυροῦσιν αἱ θεῖαι γραφαί, τὸν Ἀδὰμ καὶ πολλοὺς ἐφεξῆς μετ' αὐτὸν δηλοῦσαι οὐκ εἰδώλοις ἀλλὰ τῷ θεῷ λατρεύσαντας, κἂν τινες αὐτῶν ἐν ἀτόποις ἐξητάσθησαν πράξεσιν.

1. Ὅτι...πάντα] Ep. ad Rom. XI. 36..

2. Τὸ κακὸν ο. ἕ. ἐ. παρὰ τ. ἐκτρ. τοῦ καλοῦ] Similiter Origenes: „Certum namque est, malum esse bono carere“ (de princ. II. 9. 2.) — et: Πᾶσα ἡ κακία οὐδέν ἐστι (in Jo. t. 2. c. 7.). Cf. praeterea Gass. l. c. p. 80. sq..

3. πάντη μὴ ὄν] H. e.: näm-

quod ante mundum et mundus: quomodo non utrumque ex eo, hoc est bonum et malum? Sin alterum ex eo, alterum vero nequaquam: quomodo non fortuito est ac minime sub eo id quod ex eo non est? Quomodo autem verum dicit qui ait: *Nam ex eo omnia?* In *omnibus* enim et quae ante non erant et quae nunc sunt continentur.

Responsio.

Malum nihil aliud est nisi depravatio boni: quare bono posterius est malum; est enim boni depravatio. At id manifestum est non ex mali comparatione bonum apparere bonum, sed ex propria natura. Id autem quod ante mundum non erat, quum omnino non esset, neque bonum erat neque malum; quare cum eo quod ita non est nihil comparatur. Deinde vero quod omnino non est neque ex deo neque ex alio neque fortuito est. Ante mundum igitur nihil aliud erat praeter deum: quare quum ea quae sunt cum iis quae sunt comparentur, nequaquam profecto comparatur mundus cum non-mundo, neque in mundo continetur non-mundus. Nam non-mundus nihil est, quod vero continetur aliquid est. Et quum dicimus ex eo quod non est deum fecisse quae sunt, nequaquam id quod non est esse statuimus, sed omnino abolemus.

Quæstio 74.

Si gentilismus, quia superatus est a christianismo, spem restitutionis non habet: quomodo superata antiquitus a gentilismo vera religio nunc in integrum restituta est? Nam ante errorem viguisse veritatem testantur divinae scripturae, quae Adamum et multos deinceps post eum declarant non simulacra sed deum coluisse, quamvis nonnullorum ex iis nefanda reperiantur facinora.

lich ein reines Nichts. Codd. editi πάντῃ μὴ ὂν ἦν vitiose. Excipienda Marani editio, quae male habet πάντῃ μὴ ἦν.

4. ὄντα] Sic codd. msti et Maranus. Sed Reg. supra lineam et Clar. in marg. πάντα, quod quidem Stephanus perperam suae inseruit editioni, unde Sylburgius ejusque pedisequus Morellus receperunt.

Ἀπόκρισις.

Εἰ τῆς παρούσης καταστάσεως τὸ τέλος ἐστὶν ἡ διὰ τοῦ πυ-
ρὸς κρίσις τῶν ἀσεβῶν, καθά φασιν αἱ γραφαὶ προφητῶν τε καὶ
ἀποστόλων, ἔτι δὲ καὶ τῆς Σιβύλλης, [1] καθώς φησιν ὁ μακά- 436
ριος Κλήμης ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ· γίνεται δὲ αὕτη
ἡ κρίσις διὰ Ἰησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ὑπὸ τῶν Ἰουδαίων,
τοῦ αἰωνίως βασιλεύοντος τῶν Χριστιανῶν βασιλείαν ἀτελεύτητον,
τὴν κατὰ τὸν προφήτην [2] Δανιὴλ δοθεῖσαν αὐτῷ· διὰ τοῦτο οὐ-
δεμίαν ἀνακλήσεως ἔχει ὁ ἑλληνισμὸς τὴν ἐλπίδα. Ἄλλως τε εἰ,
καθ' ἣν ἐκράτει δυναστείαν [3] ὁ ἑλληνισμὸς τὸν λαὸν τοῦ θεοῦ,
λυθείσης ταύτης οὐδαμῶς πάλιν αὐτὴν ἀνέλαβε, πῶς οὐ μάτην
νῦν προσδοκᾷ τὴν ἀνάκλησιν τῆς παλαιᾶς αὐτοῦ δυναστείας; [4] Τί- B
νος δὲ ἕνεκεν προσδοκᾷ ὁ ἑλληνισμὸς τῆς παλαιᾶς αὐτοῦ δυνα-
στείας τὴν ἀνάκλησιν; Πάντως ἵνα βασάνοις ἀναγκάσῃ τοὺς Χρι-
στιανοὺς ἀφίστασθαι μὲν τῆς τοῦ υἱοῦ τοῦ θεοῦ λατρείας τε καὶ
πίστεως, προσέχοντας δὲ ἕπεσθαι τῇ θρησκείᾳ τῶν δαιμόνων.
Ἀλλ' αἱ βάσανοι αὗται, [5] αἷς καὶ πρώην ἦν χρησάμενος ὁ ἑλλη-
νισμὸς προσδοκήσας δι' αὐτῶν ἄλυτον φυλάττειν ἑαυτόν, τὸν μὲν
ἑλληνισμὸν κατέπαυσαν, τὸν δὲ χριστιανισμὸν ἔστησαν παγιώτερον.

Ἐρώτησις οε'.

[1] Εἰ ἕ[ως τῆς τῶν] σωμάτων ἐγέρσεως ἡ ψυχὴ [τοῦ σώμα- C
τος ἀπαλλαγεῖσα] τὰς ἀμοιβὰς οὐ κομίζεται, [ἆρα [2] ἐν τῷ μεταξὺ
ὑπόκειται] τῇ ἐξετάσει μέχρι τῆς ἀναστάσεως;

Ἀπόκρισις.

Οὐχ, ἣν ἔχουσιν αἱ ψυχαὶ ἐνταῦθα μετὰ τοῦ σώματος κατά-

1. καθώς . . . ἐπιστολῇ] Non probabilis conjectura est Cotelerii, qui legi posse suspicatur καὶ ὥς φησιν pro καθώς φησιν, quasi Clemens futuri per ignem judicii, non vero Sibyllini oraculi testis citetur. Nimirum perspicue haec ad Sibyllam referuntur, quam ut eludi possint. Neutrâ tamen in epistolâ S. Clementis citatur Sibylla. Sed cum neutra ad nos integra pervenerit, quid mirum si ea desideremus hodie quae antiqui citarunt? *Maranus*. Praeterea cf. Gass. l. c. p. 42. sq.. Ad idem Sibyllae vaticinium (Orac. Sib. IV. 171.) Justinus Apol. 1. c. 20. respicit.

2. Δανιὴλ] Cf. Dan. VII. 14..

3. ὁ ἑλλ.] Maran. articulum omisit mendose. Idem vult illud ὁ ἑλληνισμὸς rejici post verbum προσδοκᾷ ac legi ὁ λαὸς τοῦ θεοῦ (nimia sane mutatio!) — hoc sensu: *Deinde vero si quem habuit domi-*

Responsio.

Si praesentis rerum status finis est impiorum per ignem judicium, prout testantur scripturae prophetarum et apostolorum, insuper etiam Sibyllae, ut ait beatus Clemens in epistola ad Corinthios; si ipsum judicium fit per Jesum Christum, qui crucifixus est a Judaeis ac regnum Christianorum obtinet sempiternum, quod ei datum est secundum prophetam Danielem: propterea gentilismus nullam habet spem restitutionis. Praeterea si gentilismus eam, qua populo dei dominatus est, potentiam solutam minime recuperavit: an non frustra nunc exspectat restitutionem pristinae suae potentiae? Quam autem ob causam exspectat gentilismus pristini sui dominatus restitutionem? Omnino ut cruciatibus cogat Christianos discedere quidem a filii dei cultu et fide, adhaerere autem cultui daemonum. Sed cruciatus isti, quibus etiam antea usus est gentilismus sperans se eorum beneficio insuperabilem fore, gentilismum quidem aboleverunt, christianismum vero firmius stabiliverunt.

Quæstio 75.

Si usque ad corporum resurrectionem anima a corpore digressa retributionem meritorum non adipiscitur: num interea subdita est quaestioni usque ad ipsam resurrectionem?

Responsio.

Non, quem statum hîc habent animae cum corpore, eum

natum populus dei, eum solutum minime recuperavit: an non frustra nunc exspectat gentilismus restitutionem pristinae suae potestatis?

4. *Τίνος δὲ ἕνεκεν ... τ. ἀνάκλησιν*] Gass. l. c. p. 43. existimat scriptorem respicere ad conatum restituendi gentilismi factum a Juliano imperatore: unde spes sit gentilibus allata.

5. *αἷς κ. π. ἦν χρησάμενος*] Vulgo *οἷς κ. π. χρησάμενος*. Verbum *ἦν* facillime excidit propter praecedens *πρώην*. Saepe autem illud participio additur; cf. Resp. ad Qu. 141. (*ἦν δεξάμ.*) et 146. (*ἐστὶ κατασφ.*). — De sententia vid. Justin. Dial. c. Tr. c. 110.

1. *Εἰ* etc.] Codd. msti et editi *Εἰ ἐ * σωμάτων ἐγέρσεως ἡ ψυχὴ * τὰς ἀμοιβὰς οὐ κομίζεται * τῇ ἐξετάσει μέχρι τῆς ἀναστάσεως;* Lacunas explevit Sylburgius.

2. *ἐν τῷ μεταξὺ*] H. e. post quam a corpore secessit.

στασιν, [3] ταύτην ἔχουσι καὶ μετὰ τὴν ἐντεῦθεν ἀπὸ τοῦ σώμα-
τος ἔξοδον. Ἐνταῦθα μὲν γὰρ τὰ τῆς ἑνώσεως πάντα κοινὰ ὑπάρ-
χει δικαίων τε καὶ ἀδίκων, καὶ οὐδεμία ἐστὶν ἐν αὐτοῖς διαφορὰ
κατὰ τοῦτο· οἷον τὸ γενέσθαι καὶ τὸ ἀποθνήσκειν, καὶ τὸ ὑγιαί- D
νειν καὶ τὸ νοσεῖν, καὶ τὸ πλουτεῖν καὶ τὸ πένεσθαι, καὶ τὰ ἄλλα
τὰ τούτοις ὅμοια. Μετὰ δὲ τὴν ἐκ τοῦ σώματος ἔξοδον εὐθὺς
γίνεται τῶν δικαίων τε καὶ ἀδίκων ἡ διαστολή. Ἄγονται γὰρ ὑπὸ
τῶν ἀγγέλων εἰς ἀξίους αὐτῶν τόπους· αἱ μὲν τῶν δικαίων ψυχαὶ
εἰς τὸν παράδεισον, ἔνθα συντυχία τε καὶ θέα ἀγγέλων τε καὶ ἀρ-
χαγγέλων, [4] κατ' ὀπτασίαν δὲ καὶ τοῦ σωτῆρος Χριστοῦ κατὰ τὸ εἰ-
ρημένον· [5] Ἐκδημοῦντες ἐκ τοῦ σώματος καὶ ἐνδημοῦντες πρὸς τὸν
κύριον· αἱ δὲ τῶν ἀδίκων ψυχαὶ εἰς τοὺς ἐν τῷ ᾅδῃ τόπους κατὰ 437
τὸ εἰρημένον περὶ τοῦ Ναβουχοδονόσορ βασιλέως Βαβυλῶνος· [6] Ὁ
ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι, καὶ τὰ ἑξῆς. Καί εἰσιν
ἐν τοῖς ἀξίοις αὐτῶν τόποις φυλαττόμεναι ἕως τῆς ἡμέρας τῆς ἀνα-
στάσεως καὶ ἀνταποδόσεως.

Ἐρώτησις ος'.

Εἰ πρὸ τῆς ἀναστάσεως οὐκ ἔστιν [1] ἡ τῶν ἔργων ἀντίδοσις,
ποῖον τῷ λῃστῇ προσγέγονεν ὄφελος, πρὸς τὸν παράδεισον αὐτοῦ B
τῆς ψυχῆς εἰσαχθείσης, καὶ μάλιστα ὅτι ὁ μὲν παράδεισος αἰ-
σθητός, οὐκ αἰσθητὴ δέ ἐστι τῆς ψυχῆς ἡ οὐσία;

Ἀπόκρισις.

Ὄφελος γέγονε τῷ λῃστῇ εἰς τὸν παράδεισον εἰσελθόντι τὸ
ἔργοις μαθεῖν τῆς πίστεως τὸ ὠφέλιμον, δι' ἧς ἠξιώθη τοῦ συνα-
θροίσματος τῶν ἁγίων, ἐν ᾧ φυλάττεται ἕως τῆς ἡμέρας τῆς C
ἀναστάσεώς τε καὶ ἀνταποδόσεως. Ἔχει τε τοῦ παραδείσου τὴν
αἴσθησιν κατὰ τὴν [2] ἐννοηματικὴν λεγομένην αἴσθησιν, καθ' ἣν
ὁρῶσιν αἱ ψυχαὶ ἑαυτάς τε καὶ τὰ ὑπ' αὐτάς, ἔτι δὲ καὶ τοὺς ἀγ-
γέλους τε καὶ τοὺς δαίμονας· οὐ γὰρ νοεῖ οὔτε ὁρᾷ ψυχὴ ψυχὴν
οὔτε ἄγγελος ἄγγελον οὔτε δαίμων δαίμονα, ἀλλὰ κατὰ τὴν ῥηθεῖ-

3. ταύτην] Fortasse ταυτήν. Sed mutatione non opus est.

4. κατ' ὀπτασίαν] Visio illa Christi quam concedit piorum animabus e corpore solutis non ea est intelligenda, qua perfruuntur qui cum Christo in coelo sunt, sed qualis per revelationem nonnumquam etiam in hac vita sanctis obtigit. Nam in Resp. ad Quaest. 85. animas justorum non

etiam habent post excessum ex corpore. Hîc enim quae ad unionem animae et corporis spectant communia sunt omnia justis et injustis, neque ullum est inter illos hac in re discrimen: quale est nasci et mori, valere et aegrotare, divitem esse et pauperem, atque alia his similia. At post excessum ex corpore statim fit justorum et injustorum distinctio. Aguntur enim ab angelis in loca sibi convenientia: justorum quidem animae in paradisum, ubi consuetudo est et adspectus angelorum et archangelorum, per visionem autem ipsius servatoris Christi secundum id quod dictum est: *Peregrinantes a corpore et praesentes ad dominum:* injustorum autem animae in orci loca, secundum id quod dictum est de Nabuchodonosore rege Babylonis: *Orcus subter exacerbatus est in occursum tuum* — et quae sequuntur. Atque in locis se dignis custodiuntur usque ad diem resurrectionis et retributionis.

Quæstio 76.

Si ante resurrectionem non est operum retributio: quid utilitatis accessit latroni, quod ejus anima in paradisum introducta sit, praesertim quum paradisus sub sensum cadat, animae vero substantia sub sensum non cadat?

Responsio.

Utile fuit latroni in paradisum introëunti re discere utilitatem fidei, quae dignum eum effecit coetu sanctorum, ubi custoditur usque ad diem resurrectionis et retributionis. Habet autem paradisi sensum secundum eam sentiendi facultatem quae dicitur perceptiva, per quam vident animae seipsas et quae ipsis inferiora sunt, praeterea etiam angelos et daemones; non enim intelligit aut videt anima animam neque angelus angelum neque daemon daemonem, sed secundum illam

in coelo collocat, sed in paradiso cum Henoch et Elia. *Maranus* (in Add.).

5. Ἐκδημοῦντες ... κύριον] Ep. 2. ad Cor. V. 8..

6. Ὁ . . . σοι] Jesai. XIV. 9..

1. ἡ τ. ἔ. ἀντίδοσις] Idem quod ἀνταπόδοσις in Resp. et Quaest. 75..

2. ἐννοηματικὴν] In Resp. ad Quaest. 77. scriptor hanc facultatem vocat αἰσθητικὴν atque ἐννοητικήν — qua seipsas animae seque invicem percipiunt.

σαν ἐννοηματικὴν αἴσθησιν ὁρῶσιν ἑαυτούς τε καὶ ἀλλήλους, ἔτι δὲ καὶ τὰ σωματικὰ πάντα.

Ἐρώτησις οζʹ.

Εἰ τῇ συνεργίᾳ τῶν τοῦ σώματος αἰσθήσεων τῶν αἰσθητῶν ἡ D
ψυχὴ λαμβάνει τὴν αἴσθησιν, αἰσθητὰ δὲ τὰ καλὰ καὶ τὰ φαῦλα τυγχάνουσι, πῶς οὐκ ἀναισθητεῖ ἡ ψυχὴ χωρισθεῖσα τοῦ σώματος; Εἰ δὲ ἀναισθητεῖ, δῆλον ὅτι νενέκρωται· νεκρῶν γὰρ καὶ ζώντων διαφορὰν ἀναισθησία διακρίνει καὶ αἴσθησις.

Ἀπόκρισις.

Πᾶσαι αἱ κτισταί τε καὶ λογικαὶ οὐσίαι διπλᾶς ἔχουσι καταληπτικὰς δυνάμεις, [1] αἰσθητικήν τε καὶ νοητικήν· [2] καὶ ἐννοητικὴν μὲν λεγομένην, καθ' ἣν καταλαμβάνουσιν ἑαυτάς τε καὶ ἀλλήλας· [3] νοητικὴν δέ, καθ' ἣν δέχονται τὴν γνῶσιν τοῦ ὑπὲρ
αὐτάς. Οὐ συνεργίᾳ οὖν τοῦ σώματος αἱ ψυχαὶ τῶν αἰσθητῶν 438
λαμβάνουσι τὴν αἴσθησιν, ἀλλ' αὐτὴ ἡ ψυχὴ αἴσθησιν παρέχουσα τῇ αὐτῆς παρουσίᾳ αἰσθητικὸν τὸ ζῶον ποιεῖ· καὶ ὡς μὲν πρὸς τὸ ζῶόν [4] ἐστιν αἰσθητικόν, ὡς δὲ πρὸς ἑαυτὴν [5] ἐστιν αἰσθητική, καὶ οὐδέποτε γίνεται νεκρὰ ἡ ψυχή· νέκρωσις τοῦ ἐμψύχου γὰρ ὑπάρχει, καὶ οὐ τῆς ψυχῆς. Συνεργίας οὖν δέεται τοῦ σώματος πρὸς τὴν κατάληψιν τῶν αἰσθητῶν τὸ ἔμψυχον καὶ ἡ ἐμψυχία, οὐχὶ
ἡ ψυχή· [6] ἄλλο γὰρ τὸ ἔμψυχον καὶ ἄλλο ἡ ψυχή, [7] καὶ ἄλλο B
τὸ κατὰ μετουσίαν καὶ ἄλλο τὸ κατ' οὐσίαν.

Ἐρώτησις οηʹ.

Εἰ κατὰ τὴν ἑαυτοῦ καρδίαν εἶναι τὸν Δαυὶδ ὁ θεὸς [1] ἀπεφή-

1. *αἰσθητικήν τε καὶ νοητικήν· καὶ ἐννοητικὴν*] H. e. *ein wahrnehmendes und ein denkendes Vermögen der Auffassung* etc.. Exspectaveris *αἰσθ. τ. κ. νοητικήν· καὶ αἰσθητικὴν* etc.. Sylburgius mallet *αἰσθ. τ. κ. νοητικήν· καὶ ἐννοηματικὴν* — vel potius conjuncte *καὶ ἐννοηματικὴν μὲν λεγομένην αἴσθησιν* ut in Resp. ad Quaest. 76. (= *ac cogitativus quidem sensus dicitur quo et seipsas illae et alia aliam inter se percipiunt*). Maranus vero legendum putat *ἐννοητικήν τ. κ. νοητικήν· καὶ ἐννοητικὴν* etc.. Non mutamus.

2. *καὶ ἐννοητικὴν ... ἀλλήλας*] I. q. in Resp. praecedente *ἐννοηματικὴν λεγομένην αἴσθησιν, καθ' ἣν ὁρῶσιν αἱ ψυχαὶ ἑαυτάς τε καὶ τὰ ὑπ' αὐτάς* — et ibid. paulo post: ... *ὁρῶσιν* (nostro loco *καταλαμβάνουσιν*) *ἑαυτούς τε καὶ ἀλλήλους*. Quapropter etiam nostro loco *ἑαυτάς* dedi pro vulg. *αὐτάς*.

3. *νοητικὴν ... ὑπὲρ αὐτάς*] At

sentiendi facultatem quae dicitur perceptiva vident seipsas ac sese invicem, praeterea etiam corporea omnia.

Quæstio 77.

Si sensuum corporis adjumento anima res sub sensum cadentes percipit, cadunt autem sub sensum bona et mala: quomodo sensu non caret anima a corpore separata? Quodsi sensu caret, patet eam mortuam esse; nam mortuorum et viventium discrimen in non sentiendo et sentiendo positum est.

Responsio.

Omnes creatae et rationales substantiae duas habent cognoscendi facultates, perceptivam et intellectivam: perceptivam quidem, qua et seipsas et sese invicem percipiunt; intellectivam autem, qua eorum quae supra ipsas sunt cognitionem accipiunt. Non igitur adjumento corporis animae res sub sensum cadentes percipiunt, sed ipsa anima sensum praestat sua praesentia atque efficit ut animal sentiendi vim habeat; et quod quidem ad animal attinet, sentiendi vim habet, quod autem ad seipsam, sentiendi facultate praedita est: neque umquam moritur anima; mors enim animalis est, non animae. Adjumento igitur corporis indiget ad ea quae sub sensum cadunt percipienda animal et animalis conditio, non vero anima; aliud enim est animal et aliud anima, item aliud quod secundum participationem est et aliud quod secundum essentiam.

Quæstio 78.

Si secundum cor suum Davidem esse deus pronuntiavit:

facultate perceptiva vident animae tantummodo ea quae sunt ὑπ' αὐτάς (vid. not. anteced.).

4. ἔστιν αἰσθητικόν] Sylburg. male conjectat ἔστιν αἰσθητόν = *est quiddam sensu perceptibile.*

5. ἔστιν αἰσθητική] H. e. jam per se (κατ' οὐσίαν) obtinet perceptivam istam facultatem, neque eam tum demum accipit quum jungitur cum corpore organico. Cf. Gass. l. c. p. 95.. — Hîc quoque (vid. not. 1.) Maran. vult ἐννοητικὴ scribi

6. ἄλλο . . . ἡ ψυχή] Haec omnia desunt in editione Maraniana.

7. καὶ ἄλλο etc.] Aliud est id quod communicatione alterius constat (h. e. τὸ ἔμψυχον, *animatum*), aliud quod sua ipsum essentia subsistit (h. e. ἡ ψυχή).

1. ἀπεφήνατο] Cf. 1. Sam. XIII. 14. (Actt. apostt. XIII. 22.).

νατο, πῶς μετὰ ταῦτα μοιχείαν καὶ φόνον ὁ αὐτὸς προφήτης εἰργάσατο; Καὶ εἰ ταῦτα ὑπὸ θεοῦ ὡς φαῦλα μεμίσηνται, διὰ τί ἐκ τῆς μοιχαλίδος τὸ γένος ὁ θεὸς τοῦ προφήτου συνέστησε, καὶ τὸν δεσπότην Χριστὸν ἐξ αὐτῆς γενεαλογεῖσθαι ἐποίησε; Τούτου δὲ ἔχοντος οὕτως, πῶς ἡ γραφὴ ἀληθεύει λέγουσα ὅτι [2] Τέκνα μοιχῶν C
ἀτέλεστα;

Ἀπόκρισις.

Καὶ γὰρ ὁ διὰ μετανοίας τὰ οἰκεῖα σφάλματα διορθωσάμενος Δαυὶδ καὶ [3] κατὰ τοῦτο εὑρέθη ὡς [4] καρδία θεοῦ, [5] τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. [6] Καὶ ὃν μὲν μοιχικῶς ἐγέννησεν ἐκ τῆς τοῦ Οὐρίου τοῦτον ἐθανάτωσεν ὁ θεός, διὰ τὸ εἶναι τέκνα μοιχῶν ἀτέλεστα· τοὺς δὲ μετὰ τοῦτον γεννηθέντας οὐκ ἐθανάτωσε, διὰ τὸ λαβεῖν αὐτὸν D
ταύτην μετὰ τὴν ἀναίρεσιν τοῦ Οὐρίου εἰς γυναῖκα [7] ἐπιεικῶς. Τιμῶν δὲ τὴν μετάνοιαν [8] ὁ θεὸς ἐν τοῖς ἐκ τῆς τοῦ Οὐρίου γεννηθεῖσι συνεστήσατο τοῦ Δαυὶδ τὸ γένος ὁ θεός, καὶ τὸν Χριστὸν διὰ τὴν αὐτὴν αἰτίαν ἐξ αὐτῆς κατάγεσθαι ἐποίησεν.

Ἐρώτησις οθ'.

Εἰ πάντων τῶν βασιλέων Ἰσραὴλ καὶ Ἰούδα τὸν περὶ εὐσέβειαν ζῆλον ὁ Ἰωσίας θερμότατον ἐπεδείξατο, [1] τὰς στήλας τῶν εἰδώλων συντρίψας, καὶ σὺν τοῖς εἰδωλικοῖς θυσιαστηρίοις τῶν Ἑλλήνων τὰ 439
ὀστέα τεφρώσας, καὶ τὰ ἄλση τῆς πλάνης ἄρδην ἐκκόψας, καὶ τοὺς ἐν τοῖς ὑψηλοῖς θυμιῶντας καὶ θύοντας τοῦ ταῦτα ἐκτελεῖν ἀποστήσας, καὶ τὴν θείαν ἀνυψώσας λατρείαν, καὶ λαμπρῶς τὰς τοῦ νόμου ἑορτάς, ὡς μαρτυρεῖ ἡ γραφή, τὸν λαὸν ἐπιτελέσαι ποιήσας· καὶ ξίφει μὲν ἑλληνικῷ τὴν ζωὴν ἐκεῖνος βιαίως ἀπέθετο, οἱ δὲ τούτου παῖδες αἰχμάλωτοι εἰς Βαβυλῶνα ἀπήχθησαν καὶ πρὸς δουλείαν ἐξεδόθησαν πολυχρόνιον Ἕλλησι· πῶς ἐπὶ τούτοις οὐκ ἂν εἴποιεν B
ἀληθεύοντες Ἕλληνες, ὅτι ἀνθ' ὧν εἰς τὰ σεβάσματα αὐτῶν ἐπλημμέλησεν [2] ἡ οὕτως αὐτῷ πικρὰ συνήντησεν ἔκβασις; Ποῦ δὲ καὶ

2. Τέκνα μ. ἀτέλεστα] Sap. III. 16..
3. κατὰ] Maran. male μετά.
4. καρδία] Morell. et Maran. καρδίαν.
5. τοῦ ... αὐτόν] Ezech. XXXIII. 11..
6. Καὶ ... θεός] Cf. 2. Sam. XII. 14. sqq..
7. ἐπιεικῶς. Τιμῶν etc.] Codd.

quomodo postea adulterium et caedem idem propheta patravit? Et si haec a deo ut mala odio habentur: cur ex adultera genus prophetae deus deduxit, atque ut dominus Christus ex eadem per genealogiam recenseretur effecit? Hoc autem quum ita se habeat: quomodo verum loquitur scriptura dicens: *Filii adulterorum non ad finem perveniunt?*

Responsio.

Etenim qui per poenitentiam propria delicta emendavit David etiam ob eam causam uti cor dei inventus est, qui *non vult mortem peccatoris sed ut convertatur et vivat.* Et ei quidem quem per adulterium ex Uriae uxore susceperat mortem inflixit deus, quia *filii adulterorum non ad finem perveniunt;* iis autem qui post illum geniti fuerunt mortem non inflixit, quia illam David occiso Uria uxorem ex aequo assumserat. Honorans autem poenitentiam deus in filiis ex Uriae uxore genitis genus Davidis constituit, atque ut Christus ob eamdem causam ex ea deduceretur effecit.

Quæstio 79.

Si omnium regum Israelis et Judae calidissimum pietatis studium Josias declaravit, qui columnas simulacrorum contrivit, et cum aris simulacrorum ossa gentilium in cineres redegit, et lucos erroris funditus excidit, et eos qui in locis excelsis adolebant et sacrificabant ab hoc cultu abduxit, et divino cultui decus et honorem conciliavit, et ut splendide legis dies festos, ut testatur scriptura, populus celebraret effecit — et gladio tamen gentili vitam violenter amisit, ejusque filii captivi Babylonem abducti sunt et in longam servitutem gentilibus traditi: quomodo ob haec non vere dixerint gentiles, propterea quod eorum sacra violaverit idcirco tam acerbum ei exitum obtigisse? Ubinam autem reperiemus eum

msti: . . . εἰς γυναῖκα. ἐπιεικῶς τιμῶν etc..

8. ὁ θεὸς . . . ὁ θεός] Alterutrum abundat. Vid. Quaest. 62. not. 4..

1. τὰς στήλας etc.] De Josia ejusque filiis cf. 2. Regg. XXIII. (2. Chron. XXXIV. — XXXVI.).

2. ἢ] Stephan. ἤ.

εὑρήσομεν αὐτὸν ἀμοιβὰς τοσούτων κατορθωμάτων δεξάμενον; Καὶ πρὸς ποῖον τῶν ἔπειτα ὄφελος αἱ μετὰ τοσούτων κατορθωμάτων μέγεθος τοῖς περὶ τὸν Ἰωσίαν συναντήσασαι συμφοραὶ γραφῇ παρεδόθησαν;

Ἀπόκρισις.

Ὁ καιρὸς τῆς ἀμοιβῆς τῶν ἐν εὐσεβείᾳ μετ' ἀρετῆς κατορθω- C
σάντων οὐχ ὁ παρὼν ἐστιν ἀλλ' ὁ μέλλων, καθ' ὃν αἱ ἀμοιβαὶ ἀναφαίρετοι εἰς ἀεὶ προσμένουσι τοῖς ἐκδεχομένοις αὐτάς. Ὀδυνηρὸν δὲ τέλος ἐδέξατο τῆς ζωῆς Ἰωσίας, [3] διὰ τὸ παρακοῦσαι αὐτὸν τοῦ προστάγματος Ἱερεμίου εἰρηκότος αὐτῷ ἐκ προστάγματος θεοῦ μὴ ἐξελθεῖν εἰς συνάντησιν τοῦ βασιλέως Αἰγύπτου εἰς πόλεμον, [4] καθὼς φησιν ὁ Ἱερεμίας. Ἵνα οὖν καθαρὸν αὐτὸν ἁμαρτημάτων παραλάβῃ ἐκ τοῦ βίου ὁ δεσπότης θεός, διὰ τοῦτο συνεχώρησεν ἑλληνικῷ ξίφει δίκας δοῦναι ταύτης τῆς παρακοῆς, πρὸς τὴν διδασκαλίαν τῶν ἑξῆς ἀνθρώπων, τοῦ τε μὴ ἀπειθεῖν τοῖς προφήταις, καὶ D
τοῦ [5] Εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἁμαρτωλὸς καὶ ἀσεβὴς ποῦ φανεῖται; Οἱ δὲ υἱοὶ τοῦ Ἰωσίου εἰ μεινάντων αὐτῶν ἐν τῇ εὐσεβείᾳ τοῦ πατρὸς αὐτῶν αἰχμάλωτοι ἐγένοντο, εἶχεν ἂν χώραν ὁ τῶν Ἑλλήνων λόγος, ὅτι ἀνθ' ὧν ἐπλημμέλησεν ὁ Ἰωσίας εἰς τὰ τῶν εἰδώλων σεβάσματα οἱ υἱοὶ αὐτοῦ αἰχμάλωτοι ἐγένοντο· εἰ δὲ ἀπέστησαν μὲν τῆς εὐσεβείας τοῦ πατρὸς αὐτῶν, ἀνέλαβον δὲ τῶν εἰδώλων τὴν λατρείαν, καὶ εἰδωλολατροῦντες ἠχμαλωτίσθησαν, προδήλως ψευδὴς ὁ λόγος τῶν Ἑλλήνων.

Ἐρώτησις π'. 440

Εἰ μακροθυμεῖν ἡμᾶς πρὸς πάντας ἡ γραφὴ διδάσκει, πῶς οὐκ ἔπταισεν Ἐλισσαῖος, [1] θανατώσας δι' ἀρᾶς τοὺς ὑβρίσαντας αὐτὸν παῖδας καὶ μάλιστα βρέφεσιν [2] ἀπειροκάκοις μνησικακήσας, καὶ τὸν διὰ τῶν θηρίων αὐτοῖς ἀντὶ ψιλῆς τῆς εἰς αὐτὸν ὕβρεως ἐπήγαγε θάνατον;

Ἀπόκρισις.

Ὅτε διὰ τῆς μακροθυμίας τῶν ὑβριζομένων οὐ γίνεται ἡ διόρ- B

3. διὰ τὸ παραϰ. etc.] Cf. 2. Chron. XXXV. 20..

4. καθὼς φ. ὁ Ἱερεμ.] Haec conjiciendo dicuntur ab hoc scriptore. *Maranus.*

5. Εἰ ... φανεῖται] Prov. XI.

tot recte factorum mercedem accepisse? Atque ad quam posterorum utilitatem calamitates, quae Josiae ejusque familiae post tot ac tanta recte facta evenerunt, literis mandatae sunt?

Responsio.

Tempus mercedis eorum qui pietatem ac virtutem coluerunt non praesens vita est sed futura, in qua iis qui remunerabuntur permanebunt praemia nunquam auferenda. Vitae autem tristem exitum habuit Josias, quia non paruit praecepto Jeremiae, qui dei jussu ei dixerat ne in occursum regis Aegypti ad bellum gerendum prodiret, quemadmodum ait Jeremias. Ut igitur eum a peccatis purum susciperet ex vita dominus deus, propterea permisit ut gentili gladio poenas daret hujus inobedientiae, ad posterorum documentum, ne prophetis obedire detrectent, tum etiam ut illud confirmaretur: *Si justus vix servatur, peccator et impius ubi apparebit?* Filii autem Josiae si permanentes in pietate patris sui capti fuissent, locum haberet gentilium oratio, propterea quod violasset Josias simulacrorum sacra idcirco filios ejus captos esse; sed si a pietate patris discesserunt, et simulacrorum cultum amplexi sunt, et simulacra colentes capti sunt, manifeste mendax est oratio gentilium.

Quæstio 80.

Si patientiam nos omnibus exhibere scriptura docet: quomodo non peccavit Elisaeus, qui pueros, a quibus contumeliam acceperat, morti per imprecationem tradidit ac maxime infantibus malitiae expertibus succensuit, iisque per feras ob levem ipsi factam injuriam mortem intulit?

Responsio.

Quum patientia eorum qui injuriam accipiunt non pro-

31. (ep. 1. Petr. IV. 18.).

1. ϑανατώσας etc.] Cf. 2. Regg. II. 23. sqq..

2. ἀπειροκάκοις] H. e. *malitiam non expertis* (Maran. *inexpertis mali*) sive *expertibus malitiae.* Praeter necessitatem Langus ἀπειροκάλοις legit.

θωσις, τότε ἡ ἀποτομία τῆς μακροθυμίας τοῖς ἀδιορθώτοις μάλιστά ἐστι χρησιμωτέρα. Οὐ χρὴ οὖν διαβάλλειν τὸν προφήτην ἐπὶ τῇ ἀποτομίᾳ. Εὑρηκὼς γὰρ τὴν μακροθυμίαν μὴ παρέχουσαν τοῖς ἁμαρτάνουσι τῆς ἁμαρτίας τὴν αἴσθησιν, καὶ ἐπειδὴ τὰς φωνὰς ταύτας, ἃς ἀτιμάζοντες τὸν προφήτην ἔλεγον οἱ παῖδες, παρὰ τῶν γονέων C αὐτῶν ἐδιδάχθησαν ἀεὶ πρὸς τοὺς προφήτας ἀπεχθῶς ἐσχηκότων (τὸ γὰρ [3] Ἀνάβαινε φαλακρὲ πρὸς διασυρμὸν ἔλεγον τῆς τοῦ Ἠλία ἀναλήψεως, ὡς ἂν εἰ τοῦτο λέγοντες· Λαμβανέτω καί σε πνεῦμα καὶ ῥιψάτω σε εἰς ὄρος ἄβατον ὡς κἀκεῖνον ἔρριψεν, ἵν' ἀπαλλαγῶμεν καί σου ὡς κἀκείνου ἀπηλλάγημεν), διὰ τοῦτο τῇ ἀναιρέσει τῶν παίδων ἐμαστίγωσε τοὺς γονεῖς, ἵνα μάθωσι μὴ ἀτιμάζειν τοὺς προφήτας καὶ δι' αὐτῶν τὸν θεόν.

Ἐρώτησις πα'.

Εἰ πᾶσα πλάνη τῇ Χριστοῦ παρουσίᾳ κατήργηται, πῶς διὰ D τῶν καλουμένων ἐγγαστριμύθων οἱ δαίμονες φθέγγονται; Πῶς δὲ οὐκ εὐτελῆ καὶ καταφρονήσεως ἄξιον τὸν χριστιανισμὸν παριστῶσιν, ὅταν ἐν σώμασι Χριστιανῶν τὰ μὲν τῆς ἀπάτης ἐπιδείκνυνται ἔργα, τὰ δὲ τῆς μαντείας ἀποφθέγγονται λόγια;

Ἀπόκρισις.

Εἰ κατὰ τὸ εἰρημένον [1] οὐδέπω τὰ πάντα αὐτῷ ὑποτεταγμένα εἰσίν, ἄχρις ἂν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν, [2] ὡς 441 εἶναι δῆλον ὅτι οὔπω κατήργηται πᾶσα τῶν δαιμόνων ἡ πλάνη· ἀλλ' οἷς μὲν ὁ Χριστὸς πεπίστευται ἐν τούτοις πᾶσα τῶν δαιμόνων ἡ πλάνη κατήργηται, οἷς δὲ ὁ Χριστὸς ἔτι ἀπιστεῖται [3] ἐν αὐτοῖς ἐνεργοῦσιν οἱ δαίμονες τὴν πλάνην. Καὶ τὰ φαντάσματα, οἷς οἱ ἐγγαστρίμυθοι κέχρηνται πρὸς τὸ λαλεῖν καὶ πράττειν τὰ τῆς μαντείας λόγια καὶ ἔργα, οὐκ ἔστιν ἀληθινὰ σώματα, ἀλλὰ φαντάζουσιν οἱ δαίμονες τὰς ὄψεις τῶν ὁρώντων, [4] ὡς B σώματα ὁρᾶν τὰ μὴ σώματα.

Ἐρώτησις πβ'.

Εἰ οὐδαμοῦ ὀνόματα δαιμόνων ἡ γραφὴ τοῖς ἀνθρώποις ἔδει-

3. Ἀνάβ. φαλ.] 2. Regg. II. 23..

1. οὐδέπω ... ἐξουσίαν] Ep. ad Hebr. II. 8. et 1. ad Cor. XV. 24..

2. ὡς εἶναι δῆλον] Est ἀνανταπόδοτον, ut in ep. ad Diogn. c. 3.: εἰ μὲν ἀπέχονται . . . [ὀρθῶς φρονοῦσι]. Apodosis facile suppletur.

movet emendationem, tunc severitas patientia utilior est iis praesertim qui non corriguntur. Non igitur vituperandus ob severitatem propheta. Nam quum reperisset patientia non praestari peccantibus sensum peccati, et quandoquidem pueri voces istas, quas per probrum in prophetam dicebant, a parentibus semper prophetas odio habentibus didicerant (nam *Adscende calve!* jocandi causa dicebant in Eliae assumtionem, perinde ac si hoc dicerent: Assumat etiam te spiritus et projiciat te in montem inaccessum sicuti illum quoque projecit, ut quemadmodum ab illo ita etiam a te liberati simus!): idcirco puerorum nece castigavit parentes, ut discerent contumeliam prophetis et per eos deo non facere.

Quæstio 81.

Si omnis impostura Christi adventu sublata est: quomodo per eos qui ventriloqui dicuntur daemones loquuntur? Quomodo autem non vilem et adspernabilem efficiunt christianismum, quum in corporibus Christianorum et fraudis edunt opera et divinationis proferunt responsa?

Responsio.

Si secundum id quod dictum est *nondum omnia ei subjecta sunt, donec aboleverit omnem principatum et potestatem*, [non recte illud se habet,] ita ut manifestum sit nondum sublatam esse omnem daemonum imposturam: sed a quibus Christo fides habetur in iis omnis daemonum sublata impostura, a quibus autem nondum Christo fides habetur in iis daemones errorem operantur. Ac phantasmata, quibus ventriloqui utuntur ut loquantur et agant divinationis opera et responsa, non sunt vera corpora, sed daemones praestigiis decipiunt oculos spectantium, ut quasi corpora adspiciant quae non sunt corpora.

Quæstio 82.

Si nullibi nomina daemonum scriptura hominibus mon-

3. *ἐν αὐτοῖς*] Congruentius *ἐν τούτοις*.

4. *ὡς σώματα ὁρᾶν*] H. e. *tamquam* (*ὡς*) *corpora videre*. Langus: *ut (so dass) corpora cernant*. Vid. Quaest. 26. not. 4..

ξε, πῶς οἱ Ἰουδαῖοι ἐπὶ τοῦ κυρίου τὸ τοῦ Βεελζεβοὺλ ὡς ἐγνωσμένον [1] ὠνόμαζον ὄνομα, ἐν τούτῳ φάσκοντες αὐτὸν τοὺς δαίμονας ἐκβάλλειν; Πῶς δὲ καὶ αὐτὸς ὁ δεσπότης ὡς γινώσκουσι τοῖς μαθηταῖς τὴν τοῦ δαίμονος κλῆσιν ἔλεγεν· [2] Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν; Τίς δὲ ἡ ἑρμηνεία τοῦ τοιούτου ὀνόματος;

Ἀπόκρισις. C

Ὥσπερ τὸ εἶναι δαίμονας ὑπ' αὐτῶν τῶν δαιμόνων ἐμάνθανον οἱ ἄνθρωποι, οὕτως καὶ τὰς ὀνομασίας αὐτῶν παρ' αὐτῶν ἐδιδάχθησαν. Πρῶτον γὰρ ἔθυσαν οἱ ἄνθρωποι τοῖς δαίμοσι, καὶ ὕστερον εἶπεν ἡ θεία γραφὴ τὸ [3] Ἔθυσαν δαιμονίοις καὶ οὐ θεῷ. Καὶ καθάπερ περὶ τοῦ εἶναι τοὺς δαίμονας οὐδὲν φαίνεται ἡ γραφὴ εἰρηκυῖα, ὅμως δὲ λέγει· Ἔθυσαν τοῖς δαιμονίοις καὶ οὐ θεῷ· οὕτως καὶ περὶ τῆς ὀνομασίας αὐτῶν μηδὲν εἰρηκυῖα λέγει τὰ ὀνόματα τῶν δαιμόνων, τοῦ τε Βεελζεβοὺλ D
καὶ τοῦ Βελίαρ. [4] Ποία, φησί, συμφώνησις Χριστῷ πρὸς Βελίαρ; Οἷς γὰρ ἐκέχρηντο οἱ ἐπαοιδοὶ ὀνόμασι πρὸς τὰ προκείμενα αὐτοῖς ἔργα, ταῦτα ἀναγκαίως [5] παρ' αὐτῶν ἐμάνθανον· [6] κατὰ γὰρ τὸν τρόπον τῆς θεραπείας οὕτως καὶ τὴν προσηγορίαν τῆς κλήσεως αὐτῶν ὠνόμαζον. Εἴρηται δὲ τῷ Ὠριγένει τούτων τῶν ὀνομάτων ἡ ἑρμηνεία [7] ἐν τῇ Ἑρμηνείᾳ τῶν ἑβραϊκῶν ὀνομάτων.

Ἐρώτησις πγ'.

Εἰ ταῖς τῶν ἀλόγων θυσίαις τὸ θεῖον οὐχ ἥδετο, καθὼς 442
τινες ἔφασαν καὶ ἡ νῦν δὲ διδάσκει κατάστασις, διὰ τί πρὸ [1] τοῦ νόμου τῷ Νῶε τὸ θύειν προσέταττε, καὶ μάλιστα ὅτε εἰδωλικαὶ θυσίαι οὐδέπω ἐγίνοντο; Εἰ δὲ ἥδετο ταύταις, διὰ τί μετὰ τὸν νόμον ἡ τούτων χρῆσις ἐπαύσατο;

1. ὠνόμαζον] Stephan. ὠνόμασον. Caeterum cf. ev. Matth. XII. 24..

2. Εἰ... ἐκάλεσαν] Ev. Matth. X. 25..

3. Ἔθυσαν ... θεῷ] Deuter. XXXII. 17..

4. Ποία ... Βελίαρ] Ep. ad Cor. VI. 15..

5. παρ' αὐτῶν] Scil. τῶν δαιμόνων.

6. κατὰ γὰρ etc.] Gelenius: *pro vario curandi modo* —. Maranus: *Ut curandi modum, ita et no-*

stravit: quomodo Judaei tempore domini nomen *Beelzebulis* ut notum appellabant, quum in eo dicerent daemones a domino ejici? Quomodo autem ipse quoque dominus quasi nota esset discipulis appellatio daemonis dicebat: *Si dominum domus Beelzebulem appellaverunt —?* Quaenam autem hujus nominis interpretatio?

Responsio.

Quemadmodum daemones esse ab ipsis daemonibus homines didicerunt, ita etiam eorum nomina ab ipsis edocti sunt. Prius enim homines immolarunt daemonibus, ac postea dixit divina scriptura illud *Immolaverunt daemoniis et non deo.* Et quemadmodum scriptura de daemonibus nihil videatur dixisse et tamen dicit: *Immolaverunt daemoniis et non deo:* ita etiam de eorum appellatione quum nihil dixerit, profert nomina daemonum, Beelzebulis et Beliaris. *Quae,* inquit, *consensio Christum inter atque Beliarem?* Quibus enim utebantur incantatores nominibus ad proposita sibi opera, ea ab illis necessario ediscebant; nam pro colendi modo appellationem quoque nominis eorum proferebant. Allata autem ab Origene horum nominum interpretatio in Interpretatione hebraicorum nominum.

Quæstio 83.

Si numen divinum expertibus rationis victimis non delectabatur, ut nonnulli dixerunt rerumque praesentium status declarat: cur ante legem praecepit Noacho ut sacrificaret, praesertim quum nondum tunc simulacris victimae offerrentur? Sin his delectabatur: cur earum usus post legem desiit?

mina sua declarabant. Langus: *Nam secundum culturae modum nominum eorum vocabula quoque edere instituerunt.*

7. ἐν τῇ Ἑρμ. τ. ἑβρ. ὀν.] Hoc Onomasticon praeter Pseudo-Justinum (hic et Qu. 86.) nemo veterum scriptorum commemoravit. Videsis quae Gass. l. c. p. 109. not. 55. et Redepenning in libro de Origenis vita et doctrina Tom. I. (Bonn. 1841) p. 453. sqq. exposuerunt.

1. τοῦ νόμου] Desideratur articulus in codd. mstis et in editione Stephan.; recte paulo post: διὰ τί μετὰ τὸν νόμον — et in Resp.: πρὸ τοῦ νόμου.

Ἀπόκρισις.

Οὐδεὶς τῶν θυσάντων τὰ ἄλογα θυσίαν τῷ θεῷ πρὸ τοῦ νόμου κατὰ τὴν θείαν διάταξιν ἔθυσε, [2]κἂν φαίνεται ὁ θεὸς B ταύτην προσδεξάμενος, τῇ ταύτης ἀποδοχῇ δεικνύων τὸν θύσαντα εὐάρεστον αὐτῷ. Ἃ δὲ [3]προσέταξε τῷ Ἀβραὰμ λαβεῖν ζῶα τριετίζοντα, ὡσαύτως δὲ καὶ κριὸν ὃν ὑπὲρ τοῦ Ἰσαὰκ προσήνεγκε θῦσαι, οὐχ ὡς [4]ταῖς τούτου θυσίαις ἡδόμενος, ἀλλὰ χρείας ἕνεκα προμηνυτικῆς τῶν ἐσομένων· τῷ δὲ Νῶε οὐδαμοῦ φαίνεται ὁ θεὸς προστάξας προσαγαγεῖν αὐτῷ τὴν τῶν ἀλόγων θυσίαν.

Ἐρώτησις πδʹ. C

Εἰ διπλοῦν [1]τῷ ἐν Ἠλίᾳ χάρισμα λαβεῖν Ἐλισσαῖος [2]ἠκούσθη, πῶς οὔτε ἁπλᾶ οὔτε διπλᾶ θαύματα ἐποίησεν, οἷον [3]ὑετὸν ἐπέχειν καὶ λιμῷ πιέζειν τὴν γῆν, πυρὸς [4]κατὰ θυσιῶν οὐρανίου φοράν, ἱερέων ἀνομούντων σφαγάς, [5]πεντηκονταρχῶν ὁλο[καύτωσιν], καὶ τὰ λοιπά; Πόθεν οὖν Ἐλισσαῖος δειχθήσεται τὴν ἑαυτοῦ αἴτησιν καὶ τὴν τοῦ Ἠλία ὑπόσχεσιν κομισάμενος;

Ἀπόκρισις.

Οὐκ ᾐτήσατο Ἐλισσαῖος τὸ διπλοῦν τοῦ πνεύματος πρὸς D ποίησιν τῶν αὐτῶν διπλῶν ἔργων, ἀλλὰ πρὸς τὸ ἰσχύειν ἁπλῶς ἐκτελεῖν ὅσα ἦν χρεία τοῦ γενέσθαι ὑπ' αὐτοῦ μετὰ μείζονος περιουσίας δυνάμεως. Τῆς δὲ αἰτήσεως ὅτι οὐκ ἀπέτυχε, μαρτυροῦσι τὰ δι' αὐτοῦ γεγονότα θαύματα, ὧν τινὰ μὲν διπλᾶ, τινὰ δὲ ἁπλᾶ ἐξετέλεσε. Τὸ γὰρ ἐγεῖραι δύο νεκρούς, [6]ἕνα μὲν ζῶντος αὐτοῦ, ἕνα δὲ τελευτήσαντος, τὸ διπλοῦν ἐδήλου τῆς ἐν τοῖς λοιποῖς θαύμασιν, εἰ ἐβούλετο, περιουσίας τῆς ἐν αὐτῷ θείας τοῦ πνεύματος χάριτος. Καὶ ἐπὶ μὲν τοῦ Ἠλία πρὸς τὴν χρείαν ἐγίνετο τοῦ ἐλαίου [7]ἡ ἐπίδοσις, ἐπὶ δὲ τοῦ Ἐλισσαίου καὶ 443

2. κἂν φαίνεται] Exspectabas κἂν φαίνηται. Justin. Apol. I. c. 55.: κἂν ὑμεῖς ἀπιστεῖτε. — Caeterum cf. Genes. VIII. 21..

3. προσέταξε] Cf. Genes. XV. 9. et XXII. 13..

4. ταῖς τούτου θυσίαις] H. e. Abrahami victimis. Langus male: *oblatione ejus.*

1. τῷ] Ita codd. msti. Sylburg. vero ac Morell. haud male τὸ dederunt.

2. ἠκούσθη] Cf. 2. Regg. II. 9. sq..

3. ὑετὸν ἐπέχειν etc.] Cf. 1. Regg. XVII. sq..

Responsio.

Nemo ex iis qui expertia rationis immolarunt victimam deo ante legem divina jussione obtulit, quamvis appareat deum eam suscepisse, ejus approbatione demonstrantem sibi gratum esse sacrificantem. Quod praecepit Abrahamo, ut trima animalia sumeret, item arietem quem loco Isaaci obtulit, non eo factum est quod illius victimis delectaretur, sed in usum futurorum praenuntium; Noacho autem nusquam apparet deum praecepisse ut sibi victimam expertium rationis offerret.

Quæstio 84.

Si gratiae, quae in Elia fuerat, donum duplicatum Elisaeus impetravit: quomodo nec simplicia nec duplicia edidit miracula — quale est pluviam inhibere et fame terram premere, coelestis ignis in victimas lapsus, sacerdotum iniquorum caedes, quinquagenarii praefecti facti holocaustum ignis, et reliqua? Unde igitur Elisaeum demonstrabitur et propriam petitionem et Eliae promissionem reportasse?

Responsio.

Non petiit Elisaeus duplicatum spiritus donum ut eadem opera bis ederet, sed ut posset simpliciter perficere quaecumque opus erat ab eo fieri cum uberiori potestatis virtute. Petitione autem illum minime excidisse, testantur ab eo edita miracula: quae partim simplicia, partim duplicia praestitit. Nam quod duos excitavit defunctos, alterum adhuc vivus, alterum jam mortuus, id duplicatam declaravit vim in reliquis miraculis, si ea uti voluisset, exuberantis in eo divinae per spiritum gratiae. Atque Eliae quidem tempore ad necessarium usum, Elisaei vero supra usum fuit olei incremen-

4. *κατὰ θυσιῶν*] Codd. msti et Stephanus *καὶ θυσιῶν*. Emendationem debemus Sylburgio. Similis commutatio est Quaest. 62. (not. 5.).

5. *πεντηκ.* etc.] Codd. msti et editi *πεντηκονταρχῶν ὁλο * καὶ τὰ λοιπά*. Sylburgio legendum videtur aut *ὁλοκαύτωσιν* aut *ὁλόκληρον ἐκπύρωσιν*. Cf. 2. Regg. I. 14.: *Ἰδοὺ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε τοὺς δύο πεντηκοντάρχους*.

6. *ἕνα ... τελευτήσαντος*] Cf. 2. Regg. IV. 17. sqq. et XIII. 21..

7. *ἢ*] Morell. *οὐ*.

ὑπὲρ τὴν χρείαν. Καὶ ὁ μὲν Ἠλίας πῦρ κατήγαγεν ἐκ τοῦ οὐρανοῦ πρὸς τὴν ἄμυναν τῶν ἐχθρῶν, ὁ δὲ Ἐλισσαῖος ἵππους καὶ ἀναβάτας πυρὸς κατήγαγεν ἐκ τοῦ οὐρανοῦ πρὸς βοήθειαν τῷ Ἰσραήλ.

Ἐρώτησις πε΄.

Εἰ τότε ἐστὶ τελεία ἀνάστασις, ὅτε ὁ τέλειος ἀνίσταται ἄνθρωπος, πῶς λέγει μετὰ τὸ δεσποτικὸν πάθος [1] ἡ γραφὴ ὅτι πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη; Ὅπερ οὐκ εἶπεν B
ἐπὶ τῶν ἄλλων ὧν ὁ κύριος ἤγειρεν, οἷον ἐπὶ Λαζάρου καὶ ἐπὶ τοῦ υἱοῦ τῆς χήρας ἢ περὶ τῆς θυγατρὸς Ἰαείρου, ἀλλ' ἀπολύτως ὅτι τόνδε ἢ τήνδε ἀνέστησε. Πῶς οὖν ἐπὶ τούτων [2] μόνων σωμάτων ἀναστάσεως μέμνηται καὶ ἐπάγει ὅτι ἐνεφανίσθησαν πολλοῖς; Ὅπερ [3] τῷ πλείστῳ μέρει φαντασίας ὑπόνοιαν δίδωσι. Καὶ εἰ τῷ ὄντι [4] ἔμψυχα ἀνέστησαν σώματα, καὶ εἰ ἐπεβίωσαν ἢ εὐθέως ἐτελεύτησαν, [5] ἢ μένουσιν ἐν ἀθανασίᾳ καὶ ὅποι, καὶ τί C
τοῖς μετ' ἐκείνους ἐκ τῶν ἐπ' αὐτοῖς γεγονότων τὸ ὄφελος δίδωσι, δίδαξον.

Ἀπόκρισις.

Εἰ τελείαν ἀνάστασιν ταύτην καλοῦμεν τῶν ἀνισταμένων ἀνθρώπων, τῶν ψυχῶν εἰσοικιζομένων πάλιν εἰς τὰ σώματα τῶν ἀνισταμένων, δῆλον ὅτι πάντες οἵ τε ἀναστάντες, οἵ τε μέλλοντες ἀνίστασθαι ὑπὸ τοῦ κυρίου, [6] τέλειοι ἀνέστησαν· ἀδύνατον γὰρ γενέσθαι νεκρῶν ἀνάστασιν, τῆς ψυχῆς μὴ εἰσοικιζομένης εἰς τὸ οἰκεῖον σῶμα. Κἂν οὖν εἴπῃ ἡ θεία γραφὴ ὅτι ὁ δεῖνα ἀνέστη ἐκ τῶν νεκρῶν ἢ ὅτι σώματα ἀνέστησαν ἐκ τῶν D
νεκρῶν, χρὴ ἡμᾶς δι' ἑκατέρας φωνῆς τὴν τελείαν νοεῖν ἀνάστασιν, τὴν κατ' ἀπόδοσιν ψυχῆς τῷ σώματι γινομένην. Καὶ καθάπερ, ὅταν εἴπῃ ἡ θεία γραφή· [7] Ὁ ἐγείρας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ τῶν νεκρῶν ζωοποιήσει τὰς ψυχὰς καὶ τὰ σώματα ἡμῶν, οὔτε ἀτελῆ λέγει τὴν ἀνάστασιν οὔτε φαντασίας δίδωσιν ὑπόνοιαν, ἀλλὰ τελείαν ἀναστάσεως τὴν πίστιν·

1. ἡ γραφὴ] Cf. ev. Matth. XXVII. 52..

2. μόνων] Morell. et Maran. μόνον contra codd. mstos.

3. τῷ πλ. μέρει] Scil. τῶν ἀνθρώπων.

Non a domino dictum est illud *Qui metuit non est perfectus in caritate*, etsi is qui dixit id de sententia domini dixit; illud autem *Metuite potius eum qui potest et animam et corpus perdere in gehenna* non ad tollendam caritatem perfectam est dictum. Nam qui majore dei timore minorem hominum timorem abolet is caritate dei hoc facit: ita ut major dei timor sit, quia timemus ne rebus carissimis excidamus. Quo enim pretiosius est id quod credimus; eo magis amatur; et quo magis amatur, eo magis timet is qui amat ne illo excidat, quamdiu pro eo quod amat est in certamine. At certamine soluto simul solvitur etiam timor eo quod amamus excidendi. Quocirca ad id usque tempus timor dei necessarius est: neque enim ut odium abolet caritatem (nam fieri nequit ut eumdem et amemus et oderimus), sic etiam timor; possumus enim eumdem et amare et metuere.

Quæstio 99.

Si animalium rationis expertium sacrificia deus in lege fieri praecepit, ut his homines suum illum colendi studium significarent: quomodo gentiles ob immolatos homines maximae arguuntur impietatis? Quod quidem antiquos fecisse dicunt ut plus honoris ei qui praestantior apud ipsos putabatur deo haberent, dum illum ratione utentium sacrificio

2. *Φοβεῖσθε ... δυνάμενον*] Ev. Matth. X. 28..

1. *τὸν π. α. νομ. θεὸν μείζ.*] Vulgo *τοῦ π. α. νομιζομένου θεοῦ μείζονος* — qui quidem genitivi originem debent librario dormitanti. Marano insuper vox *μείζονος* delenda videtur.

γὰρ τοῦ ἀλόγου τὸ λογικὸν τιμιώτερον, τοσούτῳ καὶ ἡ τούτου θυσία σεμνοτέρα ἐκείνης. [2] Καὶ τοῦτο δείκνυται ἐκ τῶν κατὰ τὸν Ἰεφθάε σαφέστερον, ὅς, τὴν ἰδίαν θυγατέρα προσκομίσας θυσίαν, [3] ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ὑπὸ τοῦ ἀποστόλου ἐν τῷ καταλόγῳ τῶν εὐσεβῶν μνημονεύεται.

Ἀπόκρισις. B

[[4] Οὐ χρὴ] σκοπεῖν τὴν κατὰ τὸν νόμον θεῷ προσφερομένην θυσίαν, ὅτι τῶν ἀλόγων ἐστὶν αἵματα, ἀλλὰ τὸ πῶς προσεδέξατο ταύτην ὁ θεὸς προσαγομένην αὐτῷ. Εἰ μὲν γὰρ τὸ αἷμα τῶν ἀλόγων ζώων τὸ προσφερόμενον οὕτως [5] προσεδέξατο [ὡς εἰ] τὴν ἑαυτοῦ ψυχὴν προσήνεγκεν ὁ τοῦτο [προσφέρων,] δῆλον ὅτι ἡ μὲν θυσία τὴν πρώ[την τάξιν ἔλαβεν] ἀπὸ τῆς εὐδοκίας τοῦ ταύτην οὕτως προσδεξαμένου καὶ ὁ θεὸς τὴν πρώτην τιμήν. Ὅτι δὲ ὡς C τὴν ἑαυτοῦ ψυχὴν οὕτως προσέφερε τῷ θεῷ ὁ τὸ αἷμα τῶν ἀλόγων προσενέγκας, μαρτυρεῖ ἡ θεία γραφὴ λέγουσα· [6] Ἀντὶ τῆς ψυχῆς, [7] φησί, τῶν προσφερόντων τὸ αἷμα τῶν θυσιῶν αὐτῶν προσφέρεται εἰς τὰ ἅγια τῶν ἁγίων. Μὴ οὖν ἀπὸ τῆς φύσεως τοῦ προσαγομένου ἀλλ᾽ ἀπὸ τῆς διαθέσεως τοῦ προσδεχομένου κριτέον τῆς θυσίας τὴν τάξιν καὶ τοῦ θεοῦ τὴν τιμήν, τοῦ διὰ τὸ φείδεσθαι τοῦ γένους τῶν ἀνθρώπων μὴ βουληθέντος ἀναλῶσαι τοὺς ἀνθρώπους εἰς θυσίαν καθ᾽ ἡμέραν προσαγομένους καὶ ἀφανίσαι τὸ D γένος, ἀλλὰ δεδωκότος τοῖς μὲν ἀνθρώποις τὸ αὐξάνεσθαί τε καὶ τὸ διαμένειν, ταῖς δὲ θυσίαις αὐτῶν τὴν μεγίστην τάξιν. Οἱ δὲ παρ᾽ Ἕλλησι θρησκευόμενοι θεοί, ἅτε δαίμονες ὄντες πονηροί τε καὶ μισάνθρωποι, θυσίαις ἔχαιρον μειωτικαῖς τε καὶ ἀφανιστικαῖς τοῦ γένους τῶν ἀνθρώπων· [8] ὅπερ ἐστὶ δεῖγμα μέγιστον τῆς μὲν τῶν ἑλληνικῶν θεῶν θηριώδους ἀπανθρωπίας, τῆς δὲ τῶν Ἑλλήνων ἀθεότητος, τῷ ἀφανισμῷ τοῦ γένους τῶν ἀνθρώπων μειζό-

2. *Καὶ τοῦτο* etc.] Similiter Julianus ap. Cyrillum Alex. c. Jul. (Opp. Tom. VI.) IX. 312. et X. 351. sqq..

3. *ἐν τῇ π. Ἑβρ. ἐπιστ.*] Cf. ep. ad Hebr. XI. 32. coll. Judd. XI. 30. sq..

4. *Οὐ χρὴ*] Haec verba in codd. mstis et editis desiderantur. Lacunam Sylburg. explevit verbis *οὐ χρὴ ἐν ταῖς ἰουδαϊκαῖς ἱερουργίαις*, Maran. *οὐ δεῖ* conjectavit.

5. *προσεδέξατο* etc.] Codd. msti et editi *προσεδέξατο * τὴν ἑαυτοῦ*

colunt; quanto enim id quod ratione praeditum est rationis experte praestat, tanto hujus victima pretiosior quam illius. Atque id clarius demonstratur ex iis quae Jephthae evenerunt, qui, quum propriam filiam obtulerit victimam, in epistola ad Hebraeos ab apostolo inter pios recensetur.

Responsio.

Non est in oblata deo secundum legem victima hoc considerandum, sanguinem esse animalium rationis expertium, sed quomodo eam susceperit deus sibi oblatam. Nam si oblatum sanguinem animalium rationis expertium ita suscepit quasi is qui offerebat suam ipsius animam offerret, liquet et victimae ex suscipientis voluntate praecipuum pretium accessisse et deo praecipuum honorem. Eum autem qui sanguinem animalium rationis expertium deo offerebat ut suam ipsius animam hoc modo obtulisse, testatur divina scriptura dum ait: *Pro anima eorum qui offerunt sanguis victimarum eorum offertur in sancta sanctorum.* Non igitur ex rei oblatae natura sed ex suscipientis consilio etiam victimae dignitas et dei honor dijudicandus, qui, quia hominum generi parcebat, homines quotidie in sacrificium oblatos consumere et genus abolere noluit, sed concessit hominibus quidem ut crescerent et permanerent, eorum autem victimis ut maximum pretium obtinerent. Culti autem apud gentiles dii, utpote daemones improbi hominibusque infensi, victimis gaudebant quae genus humanum minuere et abolere poterant: quod quidem argumentum maximum est non tantum efferatae deorum gentilium inhumanitatis, sed etiam gentilium impietatis, qui generis humani abolitione prolixius, ut dicti-

*ψυχὴν προσήνεγκεν ὁ τοῦτο * δῆλον ὅτι ἡ μὲν θυσία τὴν πρω * ἀπὸ τῆς* etc.. Sylburgius sanari vulnus putavit legendo: *προσεδέξατο [ὁ θεὸς ὥσπερ εἰ] . . . [αὐτῷ προσφέρων]...πρώ[της τιμῆς δόκησιν ἔσχεν] ἀπὸ τῆς* etc.. Maranus sic ut supra in textu exhibui.

6. *Ἀντὶ ... ἁγίων*] Levit. XVII. 11..

7. *φησί*] Hoc verbum, nisi ad ipsum citatum locum refers (scil. *θεός*), abundanter dictum est.

8. *ὅπερ* etc.] Cf. Clement. Alex. Protrept. c. 3..

νως, ὥς φασι, μᾶλλον δὲ αἰσχίστως πειρωμένων τιμᾶν τοὺς ἑαυ- 455
τῶν θεούς. Αἰτία δέ, δι' ἣν ὁ Ἰεφθάε ἐν τῷ καταλόγῳ τῶν εὐσε-
βῶν ἠριθμήθη, ἔστιν αὕτη. Ἠιτήσατο ὁ Ἰεφθάε νίκην κατὰ τῶν
ἐχθρῶν· ὑπὲρ δὲ ταύτης τῆς νίκης εὐχαριστικὴν εὐχὴν ἀορίστως
ηὔξατο, τὸ προσαγαγεῖν εἰς θυσίαν τὸ ἐκ τοῦ οἴκου αὐτοῦ ἐξερχό-
μενον εἰς ἀπάντησιν αὐτῷ ἐκ τοῦ πολέμου τροπαιούχῳ ἐπανερχο-
μένῳ. Δεξάμενος δὲ ὁ διάβολος τὸ ἀόριστον τῆς εὐχῆς ἐμηχανᾶτο
ἐξ αὐτοῦ θεῖναι τῷ Ἰεφθάε παγίδα παραβάσεως, καὶ κινεῖ τὴν θυ-
γατέρα αὐτοῦ, μονογενῆ οὖσαν, μετὰ κιθάρας ἐξελθεῖν ἐκ τοῦ οἴ- B
κου εἰς συνάντησιν αὐτῷ, ἵνα φεισαμένου τοῦ Ἰεφθάε τῆς θυ-
γατρὸς ἀναγκασθῇ ποιήσασθαι τῆς εὐχῆς τὴν ἀθέτησιν. Ἀλλ'
ὅμως παγίδα θεὶς ὁ διάβολος τοῦ θηράματος οὐκ ἔτυχε, προτι-
μοτέραν ἡγησαμένου τοῦ Ἰεφθάε τῆς ζωῆς τῆς θυγατρὸς τὴν ἀπό-
δοσιν τῆς εὐχῆς. Συνεχώρησε δὲ ὁ θεὸς προσενεχθῆναι αὐτὴν εἰς
θυσίαν, οὐχ ὡς [9] ἀνθρωπίνου αἵματος τερπόμενος, ἀλλὰ πρὸς
διδασκαλίαν τῶν ἑξῆς ἀνθρώπων [10] τοῦ μηδέποτε ἀορίστως εὔ-
ξασθαι τῷ θεῷ· πολλὰ γάρ ἐστιν ἄτοπα κατὰ τὴν οὕτως ἀόριστον C
εὐχὴν [11] εὐλαβησόμενα, ὧν τοῦ μὴ γενέσθαι ὁ θεὸς προνοησά-
μενος συνεχώρησε θυσίαν γενέσθαι τοῦ Ἰεφθάε τὴν θυγατέρα·
ὅπερ οὐκ ἦν τῆς προαιρέσεως προηγουμένως οὔτε τοῦ θεοῦ οὔτε
τοῦ Ἰεφθάε, ἀλλὰ συμβεβηκός πως τῷ ἀορίστῳ τῆς εὐχῆς. Ἐπει-
δὴ οὖν ὁ Ἰεφθάε τὴν εἰς θεὸν εὐσέβειαν φυλάττων διὰ τῆς θυ-
σίας τῆς θυγατρὸς ἀνεδείχθη, διὰ τοῦτο αὐτοῦ γέγονεν ἡ μνήμη
ἐν τῷ καταλόγῳ τῶν δικαίων.

Ἐρώτησις ρ'.

[1] Εἰ πρὸς σύστασιν τοῦ ἀληθῆ εἶναι τὴν παρὰ τῶν ὀρθοδό- D
ξων γενομένην λατρείαν τὴν τῶν θαυμάτων χάριν ἐν ταῖς αὐτῶν
ἐκκλησίαις κατ' ἀρχὰς ὁ δεσπότης δεδώρηται, διὰ τί, ἡνίκα αἱρε-
τικοὶ ἐν αὐταῖς λατρεύσαντες ἀπ' αὐτῶν τῶν ὀρθοδόξων ἀπέστη-
σαν, [2] οὐ συναπέστη τοῖς ὀρθοδόξοις ἀπὸ τῶν ἐκκλησιῶν καὶ τὰ

9. ἀνθρ. αἱμ.] Sylburg., Morell., Maran. ἀνθρ. αἵμ. [ἐκχύσει] — absque necessitate.

10. τοῦ μηδ. ἀορίστως εὔξ. τῷ θεῷ] Similiter alii patres, quos Gass. l. c. p. 53. laudavit. Praeterea de Jephthae voto Theodoretus Quaestt. in Judd. 20. ait: Ἀνόητος ἄγαν ἡ τοῦ Ἰεφθάε ὑπόσχεσις· ἔδει γὰρ αὐτὸν συνιδεῖν ὡς εἰκὸς κύνα πρῶ-

tant, vel potius turpissime deos suos colere instituebant. Causa autem, cur Jephtha inter pios numeratus sit, haec exstitit. Petierat Jephtha victoriam ex inimicis; pro tali victoria votum grati animi causa indefinite vovit, nempe id se victimam oblaturum esse quod sibi e domo sua prodiens ex bello cum victoriae insignibus revertenti obviam venisset. Arripiens autem diabolus indefinitum illud votum inde machinatur Jephthae laqueum, ut eum transgressione irretiat: adigit filiam ejus, quae unica erat, obviam patri cum cithara domo prodire, ut filiae parcens Jephtha votum violare cogatur. Sed tamen laqueo posito diabolus venatu non est potitus, quia potiorem habuit Jephtha solutionem voti quam vitam filiae. Permisit autem deus ut haec in victimae loco offerretur, non quod humano sanguine saturaretur, sed ut venturos deinceps homines doceret nunquam deo indefinite vovere; multa enim absurda in indefinito ejusmodi voto occurrentia religionem incutient: quae ne acciderent, deus providens permisit ut victima fieret Jephthae filia: quod quidem primo propositum non fuit nec deo nec Jephthae, sed quodammodo indefinito voto supervenit. Quandoquidem igitur Jephtha pietatis in deum filiae immolatione servantissimum se praestitit, idcirco ejus facta est mentio in justis recensendis.

Quæstio 100.

Si, ut constaret verum esse cultum qui ab orthodoxis exhibetur, miraculorum gratiam eorum ecclesiis ab initio dominus concessit: cur, quum haeretici qui in his ecclesiis cultum exercuerunt ab ipsis orthodoxis deficerent, non simul in gratiam orthodoxorum ab illorum ecclesiis etiam di-

τον ἢ ὄνον συναντῆσαι, τὰ κατὰ τὸν νόμον ἀκάθαρτα. Coll. Josephi Antiqq. jud. V. c. 7. §. 10..

11. *εὐλαβησόμενα*] Mallet Sylburg. *ἐκβησόμενα* — h. e. *multa enim absurda per ita indefinitum votum eventura sunt.* Etsi non mala tamen non necessaria conjectura.

1. *Εἰ πρὸς σύστ.* etc.] Cf. Gass. l. c. p. 46. sq..

2. *οὐ συναπ. τ. ὀρθ. ἀπὸ τ. ἐκκλ.*] Illud *τοῖς ὀρθοδόξοις* est

θεῖα χαρίσματα, ἀλλ' ἡ μὲν τῆς πλάνης λατρεία ταῖς ἐκκλησίαις [3]ἐπεισέφρησε, τὰ δὲ πρὸς τὴν αὔξησιν τῆς ὀρθοδοξίας ὑπὸ τοῦ θεοῦ δωρηθέντα καὶ ἐπὶ τῶν αἱρετικῶν τὴν αὐτὴν ἐν ταῖς ἐκκλησίαις εἶχεν ἐνέργειαν;

Ἀπόκρισις. 456

Εἰ μὲν διὰ τῶν αἱρετικῶν ζώντων ἢ ἀποθανόντων ἡ θεία χάρις ἐνήργει τὰ χαρίσματα, εἶχεν ἂν τὸ γινόμενον εὔλογον ἀπορίαν· εἰ δὲ οἱ τὰ θεῖα θαύματα ἐν ταῖς ἐκκλησίαις ἐνεργοῦντες ἅγιοί εἰσιν ἀπόστολοι, προφῆταί τε καὶ μάρτυρες, [4]δῆλον ὅτι τοῖς θείοις ἔργοις διαμαρτύρεται τῷ κόσμῳ ὁ θεὸς ἐκείνων εἶναι τὰς ἐκκλησίας, δι' ὧν θαύματα ἐκτελεῖται, τουτέστι τῶν ὀρθοδόξων.

Ἐρώτησις ρα'. B

Εἰ μελέτῃ λογικὸς ἅπας τὴν γνῶσιν κομίζεται, γνώσεως δὲ νόμος τῶν μειζόνων [1]προτάττειν τὰ ἥττονα, ὅπερ κρατῆσαν ἐπὶ τῶν Ἰουδαίων σαφέστερον δείκνυται, πρότερον τὰ τοῦ νόμου, εἶθ' οὕτως [2]τὰ εὐαγγέλια παρειληφότων μαθήματα· πῶς ἡμεῖς οὐκ ἀνακολούθως μανθάνομεν, πρὸ τῶν ἡττόνων τὰ μείζονα διδασκόμενοι; Λέγω δὴ τὰ τοῦ νόμου ἥττονα, τὰ δὲ τῶν εὐαγγελίων μείζονα. Μιᾶς γὰρ ἡμῶν τε καὶ τῆς [3]αὐτῶν φύσεως, μίαν εἶναι καὶ τὴν τάξιν ἐχρῆν τῆς μαθήσεως· ἐπειδὴ καί, ἐὰν C μὴ ἐν τοῖς μαθήμασι φθάσῃ τὰ χείρονα, τὰ ἀμείνω κωλύεται.

Ἀπόκρισις.

[4]Εἰ τὴν ἀνάγκην, ἣν ἔχει ἐκεῖνα τὰ μαθήματα, ὧν, εἰ μὴ προηγεῖται τῶν ἡττόνων ἡ μάθησις, τὰ ἀμείνω κωλύεται, ταύτην εἶχε τὰ ἡμέτερα μαθήματα, καὶ [5]ἀνακολούθως μαθεῖν

dativus commodi, et cum ἀπὸ τῶν ἐκκλησιῶν subaudiendum τῶν αἱρετικῶν. Maranus vero mutavit τῶν ὀρθοδόξων ἀπέστησαν in οἱ ὀρθόδοξοι ἀπέστησαν — atque transtulit: *cur, postquam has ecclesias, occupato ab haereticis cultu, orthodoxi reliquerunt, non simul* etc.. Sed quo tandem modo V. D. nominativos illos αἱρετικοὶ ... λατρεύσαντες defendere velit, equidem nescio. Locus non praeberet offensionem, si verba τοῖς ὀρθοδόξοις ἀπὸ τῶν ἐκκλησιῶν prorsus abessent.

3. ἐπεισέφρησε] Maran. ἐπεισέφρεσε contra codices.

4. δῆλον ὅτι] Codd. msti et Maran. δι' ὧν, caeteri editt. ὧν. Utraque scriptura sententiam pervertit. Itaque locum sanavi scribendo

vina dona ablata sunt, sed erroris cultus in ecclesias invasit, quae autem a deo ad incrementum rectae fidei concessa fuerant ea etiam sub haereticis eamdem in ecclesiis efficaciam habuerunt?

Responsio.

Si per haereticos vivos aut mortuos divina gratia operaretur miracula, haberet id quod evenit legitimam dubitandi causam; sed si qui divina miracula in ecclesiis edunt sancti sunt apostoli et prophetae et martyres, patet divinis operibus deum mundo testificatum esse illorum esse ecclesias, per quos miracula eduntur, id est orthodoxorum.

Quæstio 101.

Si meditando ratione praeditus quisque cognitionem assequitur, et cognitionis lex est majoribus praemittere minora, quod quidem apud Judaeos usurpatum manifestius apparet, qui legis prius, deinceps autem evangelii acceperunt disciplinas: quomodo nos non praepostero ordine discimus, qui majora prius quam minora docemur? Dico autem ea quae legis sunt minora: quae evangelii sunt majora. Quum enim una sit eorum et nostra natura, unam quoque conveniebat esse doctrinae rationem: praesertim quum in disciplinis, nisi inferiora antecesserint, praestantiora praepediantur.

Responsio.

Si necessitas, quae illis inest disciplinis, in quibus, nisi antecedat minorum doctrina, majora impediuntur, nostris quoque inesset disciplinis: nostrae etiam disciplinae ordine prae-

δῆλον ὅτι, quum praesertim haec formula (praecedente εἰ) nostro scriptori non sit infrequens.

1. προτάττειν] Codd. msti προστάσσειν incuria librariorum. Ita Stephan. quoque; reliqui editt. προτάσσειν — usui hujus scriptoris haud convenienter.

2. τὰ εὐαγγέλια π. μαθήματα] Ne suspiceris τὰ εὐαγγελικὰ π. μαθήματα. Nam Clemens quoque Alex. Paedag. I. c. 7. §. 58. τὴν εὐαγγέλιον δύναμιν et c. 8. p. 71. τὴν εὐαγγέλιον φωνὴν dixit.

3. αὐτῶν] H. e. Judaeorum.

4. Εἰ etc.] Sis vide quae Gass. l. c. p. 50. sq. de hac responsione observavit.

5. ἀνακολούθως] H. e. sine consequenti ista ratione, qua majori

τὰ ἡμέτερα μαθήματα· ἀλλ' ἐπειδὴ δυνατὸν τὰ ἡμέτερα μαθήματα καὶ ἀνακολούθως μαθεῖν, δῆλον ὅτι ἀπήλλακται τὰ ἡμέτερα D
μαθήματα ἐκείνης τῆς ἀνάγκης. Τὸ ἀνάγκης δὲ ἀπηλλαγμένον, ὡς ἂν γίνηται, ἀδιάβλητόν ἐστιν ἐπὶ τῇ ἀνακολουθίᾳ. Καὶ ταῦτα μὲν ὡς πρὸς τὴν λύσιν [6] τοῦ ἐν τῇ ἐρωτήσει σοφίσματος· πρὸς αὐτὴν δὲ τὴν ἐρώτησιν οὕτως ἀποκρινόμεθα, ὅτι οὐδὲ ἡμεῖς ἀνακολούθως διδασκόμεθα, ἀλλ' ὡς ἐμάνθανον οἱ ἀπόστολοι, πρῶτον μὲν τὰ τοῦ νόμου, ὕστερον δὲ τὰ εὐαγγέλια, [7] οὕτως καὶ ἡμᾶς ἐδίδαξαν. Μαρτυροῦσι δὲ τοῦτο αἱ αὐτῶν φωναί, ἐν αἷς κατήγγειλαν τὸ εὐαγγέλιον· [8] πανταχοῦ γὰρ ἐκ τοῦ νόμου 457
τὸν Χριστὸν κηρύξαντες, ἐκ τῶν πρώτων τὰ ὕστερα καὶ ἐκ τῶν ἡττόνων τὰ μείζονα. Τὸ γὰρ [9] Προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ἡμῶν κατ' ἐμέ· καὶ τὸ [10] Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου [ὑποπόδιον τῶν ποδῶν σου]· καί· [11] Ὅτι οὐκ ἐγκατέλειψας τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ ἡ σάρξ μου εἶδε διαφθοράν· φωναί εἰσι τοῦ νόμου προκαταγγείλασαι ἐν αὐταῖς τὸν Χριστόν, αἷς καὶ [12] ὁ ἀπόστολος χρησάμενος τοῖς Ἰουδαίοις τὸ εὐαγγέλιον ἐκήρυξε. Καὶ ὡς μὲν πρὸς τὴν μάθησιν, B
οὐδὲν διέστηκε τὰ εὐαγγέλια τοῦ νόμου· ὡς δὲ πρὸς τὴν ἐπαγγελίαν καὶ ἀπόδοσιν, διέστηκε. Τί γάρ ἐστιν ὁ νόμος; Εὐαγγέλιον προκατηγγελμένον. Τί δὲ τὸ εὐαγγέλιον; Νόμος πεπληρωμένος.

Ἐρώτησις ρβ'.

Εἰ περιττὸν καὶ [1] λεῖπον ἐν τῇ τοῦ σώματος ἡμῶν κατα-

(evangelio) solet minus (lex) praemitti. — Post *μαθεῖν* non deest *ἔδει* (Sylburg.), sed *οὐκ ἦν* (Maran.); vel potius ex sequentibus supplendum *ἀδύνατον*.

6. *τοῦ ἐν τῇ ἐρωτ. σοφίσματος*] Gass. l. c.: „Es ist leicht zu erklären, wie besonders unter heidnischen Proselyten diese Aeusserung entstehen konnte. Gerade bei der feindlichen und abgeschlossenen Stellung der Apologetik zu den Juden lag ihnen die Bemerkung nahe, dass die christlichen Lehrer, statt vornehm den gesetzlichen Standpunct von sich abzulehnen, ihn vielmehr als die angemessenste Vorbereitung sollten bestehen lassen."

7. *οὕτως κ. ἡμ. ἐδίδ.*] Cf. Actt. apostt. III. et VII..

8. *πανταχοῦ γὰρ* etc.] *Γὰρ* hic est explicantis. Post *τὰ μείζονα* autem minime *διεσάφησαν* desideratur

postero disci non possent; sed quia nostrae disciplinae etiam praepostero ordine disci possunt, patet eas liberas esse ab illa necessitate. Quod autem a necessitate liberum est id, quocumque fiat modo, vituperari non potest ob praeposterum ordinem. Atque haec quidem ad solvendum quaestionis sophisma; ipsi autem quaestioni sic respondemus. Ne nos quidem praepostero ordine docemur, sed ut didicerunt apostoli, primo quidem ea quae legis sunt, deinde evangelia, ita etiam nos docuerunt. Id autem testantur eorum voces, quibus evangelium adnuntiarunt: ubique videlicet ex lege Christum praedicantes, ex prioribus posteriora et ex minoribus majora. Illud enim *Prophetam excitabit vobis dominus deus noster ex fratribus nostris sicut me* — et illud *Dixit dominus domino meo: Sede a dextris meis, donec ponam inimicos tuos [scabellum pedum tuorum]* — et: *Quoniam non dereliquisti animam meam in orco, nec caro mea vidit corruptionem* — voces sunt legis Christum praeconio suo praenuntiantes, quibus etiam usus est apostolus quum Judaeis evangelium praedicaret. Et quod quidem ad discendi modum attinet, nihil a lege differunt evangelia; quod vero ad promissa et praestationem, differunt. Quid enim est lex? Evangelium praenuntiatum. Quid autem evangelium? Lex impleta.

Quæstio 102.

Si creator nihil quod superflueret et deesset in corporis

aut tale quodpiam verbum (Sylburg.), sed pendent verba ἐκ τῶν πρώτων τὰ ὕστερα etc. a praecedente κηρύξαντες.

9. Προφήτην ... ἐμέ] (Deuter. XVIII. 15.) Actt. apostt. III. 22.. — Langus et Maranus (in translatione) legerunt θεὸς ὑμῶν itemque ἀδελφὸς ὑμῶν. Sed adeas editt. Ni Ti ad illum locum. Ibidem pro καθ' ἐμὲ exstat ὡς ἐμέ.

10. Εἶπεν ... σου] (Ps. CIX. 1.) Actt. apostt. II. 34.. — Sicco pede transierunt hunc locum editores; scilicet desunt vulgo verba ὑποπόδιον τῶν ποδῶν σου, cujus erroris ansam repetitum pronomen σου praebuit.

11. Ὅτι ... διαφθοράν] (Ps. XV. 10.) Actt. apostt. II. 27. 31..

12. ὁ ἀπόστολος] Petrus.

1. λεῖπον] Sic codd.; at Maranus omisit.

σκευῇ ὁ δημιουργὸς οὐ πεποίηται, διὰ τί ὡς περιττὸν τὸ τῆς ἀκροβυστίας μέρος τῶν Ἰουδαίων ἀπετέμνετο; Εἰς τί δὲ χρήσιμον οὐκ ἐν ἑτέρῳ μέρει, ἀλλ' ἐν τῷ παιδοποιῷ μορίῳ τὴν περιτομὴν [2] οἱ πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας εἰλήφασι; Διὰ τί C
δέ, ἐκείνων ὡς χρησίμην ταύτην λαβόντων, τῇ τοιαύτῃ χειρουργίᾳ ὁμοίως καὶ ἡμεῖς οὐ κεχρήμεθα;

Ἀπόκρισις.

Ἐπειδὴ διὰ τὸ γῆρας αὐτοῦ τε καὶ τῆς ἐλευθέρας γαμετῆς ἐν ἀπογνώσει τοῦ παιδοποιεῖν ἐκ τῆς ἐλευθέρας [3] καθιστάμενος [ὁ Ἀβραὰμ] ἐπαγγελίαν παιδοποιΐας ἐδ[έξατο παρὰ] τοῦ θεοῦ, καὶ πιστεύσας θεῷ παρὰ τὸν χρόνον τῆς ἡλικίας ἔσεσθαι πατὴρ τοῦ ἐκ τῆς γεγηρακυίας στείρας αὐτῷ γενομένου [4] υἱοῦ, δι[ὰ τοῦτο ἔδω- D
κεν] αὐτῷ ὁ θεὸς σφραγῖδα ταύτης [τῆς πίστεως] τὴν περιτομὴν τῆς ἀκροβυστίας μορίου τοῦ διὰ μὲν τὸ γῆρας πρὸς παιδοποιΐαν ἀχρήστου γενομένου, διὰ δὲ τὴν πίστιν τοῦ Ἀβραὰμ εἰς παιδοποιΐαν γεγονότος χρησίμου. Παρέπεμψε δὲ ταύτην τὴν περιτομὴν εἰς ὅλον τὸ γένος τὸ ἐκ τοῦ παρ' ἐλπίδα πατρὸς γενομένου, ὑφιστάμενον εἰς ἀνεξάλειπτον μνημόσυνον τῆς τε τοῦ Ἀβραὰμ πίστεως καὶ τῆς τοῦ θεοῦ δυνάμεως, [5] τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. Περιτεμνόμεθα δὲ καὶ ἡμεῖς τῇ 458
περιτομῇ τοῦ Χριστοῦ διὰ τοῦ βαπτίσματος, [6] ἐκδυόμενοι τὸν Ἀδάμ, δι' ὃν ἁμαρτωλοὶ γεγονότες τεθνήκαμεν, καὶ ἐνδυόμενοι τὸν Χριστόν, δι' ὃν δικαιωθέντες ἀνιστάμεθα ἐκ τῶν νεκρῶν· [7] ἐν ᾧ, φησὶν ὁ ἀπόστολος, περιετμήθητε περιτομὴν ἀχειροποίητον τῇ ἀπεκδύσει τοῦ σώματος ὑμῶν.

2. οἱ] Codd. msti οἳ habent; sic Stephan. quoque.

3. καθιστάμενος] Codd. msti et editi καθισταμένου * ἐπαγγελίαν παιδοποιΐας ἐδ * τοῦ θεοῦ. Sylburgius locum ita sarciri posse censet: καθιστάμενος ὁ πατριάρχης Ἀβραὰμ ἐπαγγελίαν παιδοποιΐας ἐδέξατο παρὰ τοῦ παντοδυνάμου θεοῦ. Maranus (nomine Abrahami prorsus neglecto) minus recte: καθισταμένου ἐπαγγελίαν παιδοποιΐας ἐδέξατο ἀπὸ τοῦ θεοῦ. — Pro καὶ πιστεύσας, quod sequitur, Sylburgius καὶ ἐπίστευσε posuit; sed ferri potest illud participium, si καὶ interpreteris *et quidem*.

4. υἱοῦ etc.] Codd. msti et editi υἱοῦ, δι (Maran. mendose δι') * αὐτῷ ὁ θεὸς σφραγίδα (sic) ταύτης * τὴν περιτομὴν etc.. Sylburgius explet sic: υἱοῦ, διὰ τοῦτο ἔδω-

nostri compositione fecit: quare ut pars inutilis praeputium a Judaeis resecabatur? Quam autem ob utilitatem non in alia parte, sed in genitali membro circumcisionem receperunt qui ante domini Christi adventum fuerunt? Quare autem, quum illi eam ut utilem receperint, nos itidem ejusmodi manus operatione non utimur?

Responsio.

Quandoquidem Abrahamus, qui propter senectutem et suam et liberae conjugis deposuerat spem liberorum ex libera suscipiendorum, promissum a deo accepit prolis generandae, et quidem deo promittenti credens se praeter aetatis tempus patrem futurum esse illius filii qui ei ex anu sterili genitus est: idcirco dedit ei deus sigillum hujus fidei circumcisionem praeputii in parte inutili quidem ob senectutem facta ad liberos suscipiendos, sed idonea propter Abrahami fidem facta ad prolem generandam. Transmisit autem illam circumcisionem in universum genus illius qui pater praeter spem factus est, ut constaret ad indelebilem memoriam quum fidei Abrahami tum potentiae dei, *qui vivificat mortuos et vocat ea quae non sunt tamquam quae sunt.* Circumcidimur autem nos quoque circumcisione Christi per baptismum, exuentes Adamum, per quem peccatores facti mortui eramus, et induentes Christum, per quem justificati resurgimus ex mortuis: *in quo*, inquit apostolus, *circumcisi estis circumcisione non manu facta exuendo corpore vestro.*

κεν αὐτῷ ὁ ϑ. σφρ. ταύτης τῆς ἐπαγγελίας τὴν περιτομὴν etc.. Melius Maranus (cum Lango): υἱοῦ, διὰ τοῦτο ἔδωκεν αὐτῷ ὁ ϑ. σφρ. ταύτης τῆς πίστεως τὴν περιτομὴν etc.. Cf. Quaest. 27. not. 7.. — Ea de re etiam Paulus in ep. ad Rom. c. IV. loquitur.

5. τοῦ ... ὄντα] Ep. ad Rom. IV. 17..

6. ἐκδυόμενοι etc.] Cf. ep. ad Ephes. IV. 22. sq., ad Coloss. III. 9. sq., ad Rom. XIII. 14., ad Gal. III. 27..

7. ἐν... ὑμῶν] Ep. ad Coloss. II. 11.. Habet Stephan. περιτμήϑητε et ἡμῶν. Apostolus autem ad τοῦ σώματος addit τῆς σαρκὸς (pro ὑμῶν) h. e. *exuenda indole pristina, quae cupiditatibus sensuum regebatur.* Vid. Baumgarten-Crusium ad locum.

Ἐρώτησις ργ'.

Εἰ ὁ προσταχθεὶς ποιῆσαι τὰ κατὰ δύναμιν ἔπαινον ἢ μέμ-
ψιν ἐν τῷ ποιῆσαι ἢ μὴ ποιῆσαι κομίζεται, δῆλον ὅτι ὁ τὰ ὑπὲρ
δύναμιν μὴ ποιήσας, ἐπεί εἰσιν ἀδύνατα, ὑπάρχει ἀνεύθυνος. B
Πῶς οὖν [1] ὁ [θεὸς τὰ] ὑπὲρ δύναμιν ἐπιτάττων, τουτέστι τὸ μὴ
ἁμαρτάνειν, τὸν ἁμαρτάνοντα ὑποβάλλει κολάσεσι, τοῦ ἀνθρώ-
που ἀδυνάτου ὄντος πρὸς τὴν τοῦ νόμου ἐκπλήρωσιν; Μαρτυ-
ρεῖ δὲ τούτοις καὶ ὁ ἀπόστολος, [2] Οὐ δικαιωθήσεται, λέγων, ἐξ
ἔργων νόμου πᾶσα σάρξ.

Ἀπόκρισις.

Τὸ παντὶ ἀνθρώπῳ ἀδύνατον τοῦτο καὶ [3] τινὶ ἀνθρώπων ὑπ-
άρχει ἀδύνατον, οἷον τὸ πέτεσθαι ἐν τῷ ἀέρι ὡς ἀετὸς τινὶ ἀν-
θρώπῳ ἀδύνατόν ἐστιν, ὅτι καὶ παντὶ ἀνθρώπῳ ἐστὶν ἀδύνατον· C
καὶ ἀνάπαλιν τὸ τινὶ ἀνθρώπῳ δυνατόν, ὡς τὸ πλεῖν, καὶ παντὶ
ἀνθρώπῳ δυνατὸν ὑπάρχει. Ἀλλ' εἰ, καθὼς φησιν ἡ θεία γραφή,
τινὲς τῶν ὑπὸ τὸν νόμον δικαιοσύνῃ γεγόνασιν ἄμεμπτοι, δῆλον
ὅτι καὶ πᾶσι τοῖς ὑπὸ τὸν νόμον ὑπῆρχε δυνατὸν τῷ ὁμοίῳ τρό-
πῳ κατὰ τὴν ἐκ νόμου δικαιοσύνην γενέσθαι ἀμέμπτοις. Λέγει
γὰρ ὁ μὲν μακάριος Παῦλος ὁ ἀπόστολος περὶ ἑαυτοῦ ὅτι [4] Κατὰ
τὴν δικαιοσύνην τὴν ἐκ νόμου γενόμενος ἄμεμπτος· ὁ δὲ μακά-
ριος Λουκᾶς ὁ εὐαγγελιστὴς περὶ τοῦ Ζαχαρίου καὶ τῆς γυναικὸς D
αὐτοῦ [5] Ἐλισσάβετ ὅτι [6] Ἦσαν δίκαιοι ἀμφότεροι ἐναντίον τοῦ θεοῦ,
πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου
ἄμεμπτοι. Τί δέ ἐστι πᾶσα ἡ κατὰ τὸν νόμον δικαιοσύνη; Τὸ
ἀγαπᾶν τὸν θεὸν μὲν ὑπὲρ ἑαυτόν, τὸν πλησίον δὲ ὡς ἑαυτόν·
ὅπερ οὐκ ἔστιν ἀδύνατον ἀνθρώποις βουληθεῖσι. Τὸ οὖν Ἐξ ἔρ-
γων νόμου μὴ δικαιωθῆναι πᾶσαν σάρκα οὐ διὰ τὸ μὴ δύνασθαι
τὰ ἀδύνατα λέγει, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι τὰ δυνατά. Τῇ γὰρ
βουλήσει πρὸς τὰ δυνατὰ κεχρήμεθα, οὐ πρὸς τὰ ἀδύνατα· τοῖς 459
γὰρ δυνατοῖς καὶ ἐφ' ἡμῖν οὖσιν ὁ ἔπαινος ἢ ὁ ψόγος γίνεται πρα-
χθεῖσιν ἢ μὴ πραχθεῖσι. [7] Τοῦ δὲ Διὰ τὸ μὴ αἱρεῖσθαι καὶ οὐ διὰ

1. ὁ etc.] Codd. msti et editi ὁ * ὑπὲρ etc. — quem quidem defectum Sylburgius explevit ὁ θεὸς ὁ τοῖς ἀνθρώποις τὸ ὑπὲρ etc., Maranus vero sic ut supra dedi in textu.

2. Οὐ ... σάρξ] Ep. ad Rom. III. 20..

3. τινὶ ἀνθρώπων] Ferri potest: congruentius tamen τινὶ ἀνθρώπῳ, ut mox, quoniam scilicet

Quæstio 103.

Si qui jussus est ea facere quae in ipsius potestate sita sunt is laudem aut vituperium faciendo aut non faciendo reportat, manifestum est eum qui majora viribus suis non fecit, siquidem impossibilia sunt, extra reprehensionem esse. Quomodo igitur deus ea praecipiens quae supra vires sunt, hoc est non peccare, peccantem subjicit suppliciis, quum homo legem implere non possit? Testatur haec etiam apostolus dicens: *Non justificabitur ex operibus legis omnis caro.*

Responsio.

Quod omni homini impossibile est id etiam alicui homini est impossibile, velut in aëre volare instar aquilae impossibile est alicui homini, quia etiam omni homini impossibile est; et rursus quod alicui homini possibile est, ut navigare, id etiam omni homini est possibile. Sed si, ut ait divina scriptura, nonnulli eorum qui sub lege fuerunt justitia inculpati fuere, liquet etiam omnibus qui sub lege fuerunt possibile fuisse ut simili modo secundum legis justitiam essent inculpati. Ait enim beatus Paulus apostolus de seipso: *Secundum justitiam*, *quae est ex lege*, *factus irreprehensibilis* — beatus autem Lucas evangelista de Zacharia et conjuge ejus Elisabetha: *Erant justi ambo coram deo*, *ambulantes in omnibus mandatis et statutis domini irreprehensi.* Quid autem est universa secundum legem justitia? Diligere deum supra seipsum, proximum autem sicut seipsum: quod quidem impossibile non est hominibus volentibus. Illud igitur *Ex operibus legis non justificatum iri omnem carnem* — non ideo dicit quod impossibilia non possimus, sed quod possibilia non velimus. Voluntate enim ad possibilia utimur, non ad impossibilia; iis enim factis aut non factis quae possibilia et penes nos sita sunt laudamur aut vituperamur. Hujus

eodem casu praecedit *παντὶ ἀνθρώπῳ*. *Sylburgius*.

4. *Κατὰ* ... *ἄμεμπτος*] Ep. ad Phill. III. 6..

5. *Ἐλισσάβετ*] Sic etiam Quæst. 141. pro usitatiori *Ἐλισάβετ*.

6. *Ἦσαν* ... *ἄμεμπτοι*] Ev. Luc. I. 6..

7. *Τοῦ δὲ Διὰ*] Vulgo *Τοῦ δὲ, διὰ* — ita ut desideretur *ὡς* (Syl-

τὸ μὴ δύνασθαι ἁμαρτάνομεν ἄνθρωποι ἔστι τοῦτο σημεῖον, τὸ μὴ B πάντας ἀνθρώπους πᾶσι τοῖς τῆς ἁμαρτίας εἴδεσιν ἐμπεσεῖν, ἀλλὰ τινὰς μὲν τούτῳ τῷ εἴδει τῆς ἁμαρτίας ἐμπεσεῖν, τινὰς δὲ ἐκείνῳ, καὶ τινὰς μὲν πλείοσι, τινὰς δὲ ἐλάττοσι, τινὰς δὲ οὐδενὶ κατὰ τοὺς προειρημένους δικαίους· ὅπερ οὐκ ἂν συνέβη ἀνθρώποις, τὸ τινὶ μὲν εἴδει τῆς ἁμαρτίας ἁμαρτάνειν, τινὶ δὲ οὐδέποτε ἁμαρτάνειν, εἰ ἀδυναμίᾳ φύσεως καὶ οὐκ ἀβουλίᾳ προαιρέσεως ἡμάρτανον οἱ ἄνθρωποι.

Ἐρώτησις ρδ΄.

Εἰ ἐπὶ τῶν ἐγκλημάτων χώραν μετανοίας τοῖς [1] ἡμαρτηκόσιν ὁ νόμος οὐ δίδωσιν, ἀλλὰ κίνδυνον αὐτοῖς ἐπάγει ἀπαραίτητον, πῶς μοιχείαν καὶ φόνον ὁ προφήτης Δαυὶδ ἐργασάμενος οὐ παρὰ τὸν νόμον συγγνώμης ἠξίωται; Καὶ εἰ μὲν ἀγαθὸν ἡ συγγνώμη, C
διὰ τί [2] τὸ ἀσύγγνωστον τῷ νόμῳ συνέζευκται; Εἰ δὲ φαῦλον, ὅπερ οὐκ οἶμαι, πῶς ὁ τῶν ἀγαθῶν χορηγὸς τὸ φαῦλον τῷ προφήτῃ κεχάρισται;

Ἀπόκρισις.

Εἰ ἐπὶ τῶν ἐγκλημάτων χώραν μετανοίας τῷ ἡμαρτηκότι ὁ νόμος οὐ δίδωσι, πῶς ἐν τῇ ἐνενηκοστῇ ἑβδόμῃ ἐρωτήσει προτέτακται τῆς χάριτος ὁ νόμος, ὥστε τις ἑτοιμότερος καὶ φιλανθρωπότερος [3] εἰς ἄφεσιν ἁμαρτημάτων τοῖς ἁμαρτάνουσιν, οὓς καθ' ἑκάστην ἡμέραν διὰ τοῦ βαπτίσματός τε καὶ τῆς τῶν ἀλόγων θυσίας τῆς μέμψεως ἀπολύει, νῦν δὲ ἐν τῇ προκειμένῃ ἐρω- D
τήσει ῥανὶς οὐχ ὑπολέλειπται τῷ νόμῳ φιλανθρωπίας, ἀλλὰ συνέζευκται αὐτῷ τὸ ἀσύγγνωστον, κίνδυνον ἐπάγον τῷ ἡμαρτηκότι ἀπαραίτητον; Καὶ [4] πρὸς μὲν τὸ μὴ ἀνεπισήμαντον καὶ τῶν ἐρωτήσεων τὴν ἐναντίωσιν εἰρήσθω ταῦτα· πρὸς δὲ τὴν ἐρώτησιν ἀποκρινόμεθα, ὅτι εἰ καὶ ὁ νόμος τὸ ἀσύγγνωστον ἔχει, ἀλλὰ καὶ ἡ χάρις μετάνοιαν δέδωκε τῷ ἡμαρτηκότι. Τὸ γὰρ [5] Αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις, ἀλλὰ λούσασθε καὶ καθαροὶ γένεσθε· καί, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα 460

burg.) vel ὅτι (Maran.). Supersedemus conjectura, verba sequentia (διὰ ... ἄνθρωποι) si absolute capiamus.

1. ἡμαρτηκόσιν] Reg. ἁμαρτηκόσιν. Sic etiam Stephanus; idem mox δίδοσιν.

2. τὸ ἀσύγγνωστον] H. e. *non ignoscere*. Eadem vox reperitur bis in Responsione.

autem rei: Quia non volumus, minime quia non possumus, peccamus homines: argumentum est, quod non omnes homines in omnia peccati genera labantur, sed quidam in hoc peccati genus labantur, alii in illud, et quidam in plura, alii in pauciora, alii in nulla prout ii quos jam diximus justi; quod quidem hominibus non eveniret, ut alii certum quoddam peccati genus committant, alii omnino non peccent, si idcirco homines peccarent quod natura non possit, non autem quod liberum arbitrium nolit.

Quæstio 104.

Si in criminibus locum poenitentiae peccantibus lex non relinquit, sed periculum ipsis infert non evitabile: quomodo propheta David post adulterium et caedem non praeter legem venia donatus est? Ac si quidem bonum est venia: quare legi adjunctum est ut non ignoscat? Si vero malum est, quod non puto: quomodo bonorum largitor prophetae malum concessit?

Responsio.

Si in criminibus locum poenitentiae peccanti lex non relinquit: quomodo in Quaestione nonagesima septima lex gratiae praefertur, ut promtior et humanior ad dimittenda peccantibus peccata, quos quotidie baptismate et animalium rationis expertium sacrificio absolvit crimine: nunc autem in proposita Quaestione ne gutta quidem humanitatis relinquitur legi, sed ei adjungitur non ignoscendi consuetudo, quae periculum infert peccanti non evitabile? Atque haec quidem ad id quod hac in re notabile est et ad quaestionum repugnantiam dicta sint; ipsi autem quaestioni sic respondemus. Etiamsi lex ignoscere nesciat, at gratia poenitentiam peccanti concedit. Illud enim *Manus vestrae sanguine plenae sunt, sed lavamini et mundi estote: et, etiamsi peccata vestra*

3. εἰς] Deest in codd. mstis. Ast legendam praepositionem conjecit Sylburgius, orationi Maranus inseruit.

4. πρὸς μ. τ. μὴ ἀνεπισήμ.] Maran.: *in ambigui vitium.*

5. *Αἰ . . . λευκανῶ*] Jesai. I 15. 18..

λευκανῶ· καὶ τὸ [6]Οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· φωναί εἰσι τῆς θείας χάριτος ἁμαρτωλοὺς [7]καλοῦσαι εἰς εὐπάθειαν τοῦ νόμου, διὰ μετανοίας εἰληφότας τῶν προημαρτημένων τὴν συγγνώμην. [8]Ἀγαθὴ μὲν οὖν ἐστιν ἡ συγγνώμη καὶ τῆς θείας χάριτος δῶρον, οὐκ ἔστι δὲ οὐδὲ κατὰ τὸν νόμον οὐδὲ κατὰ τοῦ νόμου, ἀλλ' ὑπὲρ τὸν νόμον καὶ ὑπὲρ τοῦ νόμου· ὑπὲρ τὸν νόμον μέν, ὅτι χάρις, ὑπὲρ τοῦ νόμου δέ, ὅτι διὰ μετανοίας ἄγει τοὺς ἁμαρτωλοὺς εἰς εὐπάθειαν τοῦ νόμου, καθάπερ καὶ τὸν Δαυίδ.

Ἐρώτησις ρε'. B

Εἰ πᾶσι μὲν ἀνθρώποις διὰ τὸ ἀσθενὲς τῆς φύσεως ἀναγκαία ἡ διὰ τῆς εὐχῆς ὑπάρχει βοήθεια, [1]ταῦτα δὲ οὐ πρόσεστι τῷ δεσπότῃ Χριστῷ, οἷα δεσπότῃ καὶ ἀρκοῦσαν πρὸς πάντα κεκτημένῳ τὴν δύναμιν, διὰ τί τῶν ἀποστόλων συχνότερον ὑπὸ τῆς γραφῆς τὸν Χριστὸν μανθάνομεν προσευχόμενον;

Ἀπόκρισις.

Ὥσπερ πεινάσας ὁ κύριος καὶ διψήσας καὶ κοπιάσας, δακρύ- C
σας τε καὶ ἱδρώσας, καίτοι δυνάμενος [2]διὰ περιουσίας δυνάμεως μηδὲν τούτων ὑπομένειν, διὰ δὲ τὸ παρέχειν γνώρισμα τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως ἑκουσίως ὑπέμεινε τὰ τῆς φύσεως ἀσθενῆ, οὕτως καὶ τὸ εὔξασθαι διὰ τὴν αὐτὴν αἰτίαν. Εἰ γὰρ ἑκουσίως ὑπομεμενηκότος αὐτοῦ τὰ ἀσθενήματα τῆς ἑαυτοῦ φύσεως τολμῶσί τινες λέγειν μὴ ὑπάρχειν αὐτὸν τῆς ἡμετέρας φύσεως, πῶς οὐκ ἂν ἔλεγον αὐτὸ τοῦτο μετὰ τῆς περιουσίας τῆς ἀποδείξεως, εἰ
συνέβη αὐτῷ μηδαμῶς αὐτὸν εὔξασθαι τῷ θεῷ καὶ πατρί; Καὶ D
ἐπειδὴ περὶ τῶν ἀποστόλων οὐδεμία γέγονεν ἀμφιβολία εἰ ἄνθρωποι ἦσαν, περὶ δὲ τοῦ σωτῆρος ἔμελλε γίνεσθαι ἀμφιβολία, διὰ τοῦτο [3]συχνότερον αὐτοῦ τοῖς λοιποῖς ἀνθρώποις καὶ τὸ εὔξασθαι αὐ-

6. Οὐ ... αὐτόν] Ezech. XXXIII. 11..

7. καλοῦσαι] Langus legit καλούσης, ad θείας χάριτος relatum. Sic Maranus quoque latine reddidit.

8. Ἀγαθὴ etc.] Cf. ep. ad Rom. c. III..

1. ταῦτα] Melius se haberet τοῦτο sc. τὸ ἀσθενὲς τῆς φύσεως.

2. διὰ περιουσίας δυνάμεως] Mallet Sylburgius διὰ περιουσίαν δυνάμεως. Sed nihil necesse est

ut coccinum fuerint, ut nivem dealbabo — atque illud *Nolo mortem peccatoris sed ut convertatur et vivat* — voces sunt divinae gratiae quae peccatores vocant ad beneficium legis, ut per poenitentiam eorum quae prius peccaverunt veniam consequantur. Itaque bona quidem venia et divinae gratiae donum, nec tamen secundum legem est nec contra legem, sed supra legem et pro lege: supra legem quidem, quia gratia, pro lege autem, quia per poenitentiam peccatores adducit ad beneficium legis, sicut etiam Davidem.

Quæstio 105.

Si omnibus hominibus propter naturae infirmitatem necessarium est precationis auxilium, illa autem nequaquam inest domino Christo, utpote domino et idoneam ad omnia potestatem habenti: cur apostolis frequentius ex scriptura Christum discimus orasse?

Responsio.

Quemadmodum esurivit dominus et sitivit et laboravit, et lacrimavit et sudavit, quamvis posset pro exuberante potentia nihil horum sustinere, sed, ut argumentum suae humanae naturae praeberet, sua sponte infirmitates naturae sustinuit: ita etiam oravit eamdem ob causam. Nam si, quum voluntate sua imbecillitates naturae suae sustinuerit, quidam dicere audent non esse eum ejusdem ac nos naturae: quomodo non id ipsum dicerent uberiori cum argumento, si contigisset ei nequaquam precari deum et patrem? Et quandoquidem de apostolis nulla exstitit dubitatio utrum homines essent, de servatore autem id venturum erat in dubium, idcirco eum frequentius quam caeteros homines etiam precatum

mutare; sensus enim est: Christum, utpote omnipotentem, haec incommoda vitare potuisse. *Maranus.*

3. σνχνότερον αὐτοῦ τ. λοιποῖς ἀνθρώποις] Sylburgius cum Lango interprete voluit σνχνότερον αὐτῶν τε (sc. τῶν ἀποστόλων) καὶ τῶν λοιπῶν ἀνθρώπων. Equidem putaverim levissima emendatione αὐτῶν pro αὐτοῦ (*frequentius quam apostolos*) legendum, et τοῖς λοιποῖς ἀνθρώποις capiendum pro dativo commodi; vide verba quae sequuntur.

τὸν κατήγγειλεν ἡ θεία γραφή. Εἰ γὰρ τῶν τῆς σαρκὸς ἀσθενειῶν ἀνώτερος διὰ τῆς ἀναστάσεως γενόμενος, ὡς [4] ἀρχιερεὺς τῆς ὁμολογίας ἡμῶν, ἐντυγχάνει τῷ θεῷ ὑπὲρ ἡμῶν, πῶς οὐχὶ μᾶλλον ἔτι ὑποκειμένου αὐτοῦ τῇ ἀσθενείᾳ τῆς σαρκὸς ἐδεῖτο μεγάλης κραυγῆς καὶ ἰσχυρᾶς καὶ δακρύων, μεθ' ὧν τὴν δέησιν προσέφερε τῷ δυνα- 461 μένῳ ῥύσασθαι αὐτὸν ἐκ θανάτου;

Ἐρώτησις ρϛʹ.

Εἰ πάντων τῶν ἀνθρώπων μίαν ἔχει ἡ σὰρξ καὶ μίαν ἡ ψυχὴ οὐσίαν, πῶς ὁ μὲν ἀργός, ὁ δὲ περὶ τὴν νόησίν ἐστιν ὀξύτερος; Ἀλλ' εἰ μὲν ἡ ψυχὴ τῆς τοιαύτης ἐστὶ διαφορᾶς αἰτία, ἀνάγκη τῶν ψυχῶν ὑπονοεῖν τὴν οὐσίαν διάφορον κατὰ τὴν διαφορὰν τῆς νοήσεως· εἰ δὲ ἡ σάρξ, ὁ αὐτὸς καὶ περὶ αὐτῆς λόγος ἁρμόσειεν. Εἰ δὲ ἔκ τινος χυμοῦ, οἷον ξηροῦ ἢ ὑγροῦ ἢ θερμοῦ ἢ B ψυχροῦ, πλεονασμοῦ ἢ ἐλλείψεως τοῦ θατέρου τὸ ἕτερον ἐπικρατέστερον γίνεται, οἷον ἀφροσύνη ἢ φρόνησις, πόθεν ἢ ὅπως γέγονέ τις τοιαύτης ποιότητος ἡ ἐπικράτεια, ἡ παρασκευάσασα τὸ ἔννουν ἢ ἄνουν ἐν ἡμῖν πλεονάζειν;

Ἀπόκρισις.

Τῆς τοῦ νοεῖν ὀξύτητος ἢ νωθρότητος αἰτίαν ἀποδεδώκασί τινες τῶν τε στοιχείων, ἐξ ὧν σύγκειται τὰ ἡμέτερα σώματα, τὴν C εὐκρασίαν καὶ τὴν δυσκρασίαν καὶ τῶν ὀργανικῶν μορίων τὴν συμμετρίαν, καὶ δοκοῦσιν ὀρθῶς ἀποδεδωκέναι τούτων τὰς αἰτίας. Εἰσὶ γάρ τινες [1] ἐν μέν γε νεότητι [2] γεννητικοί τε καὶ ἐπιδεκτικοὶ νοημάτων τυγχάνοντες, ἐν δὲ τῷ γήρᾳ εἰς τὸ ἐναντίον μεταβαλλόμενοι γίνονται περὶ τὸ νοεῖν ἀργοί· [3] ἔστι δὲ τούτοις σημεῖον τοῦ τὴν εὐκρασίαν τε καὶ δυσκρασίαν εἶναι αἰτίαν τῆς τοιαύτης [4] μετο-

4. ἀρχιερεὺς τ. ὁμολογ. ἡμῶν] Ep. ad Hebr. III. 1.; de iis quae adduntur cf. ibid. VII. 25..

1. ἐν μέν γε νεότητι] Stephan. ἐν μὲν γενεότητι. Errorem Sylburgius correxit divise scribens. Wolfius autem voluit minus belle ἐν μὲν νεότητι et Arcerius ἐν μὲν τῇ νεότητι.

2. γεννητ. τε καὶ ἐπιδ. νοηματ. τ.] Pro γεννητικοί, h. e. *qui ex se aliquid facile producunt* s. *excogitare possunt* (ingeniosi, geistig schöpferisch), vulgo legitur vitiose γενητικοί. Ἐπιδεκτικοὶ νοημάτων autem sunt *qui facile in animum et mentem alicujus intrant* (capaces, geistig empfänglich). — Vocabulo ἐπιδεκτικοὶ vulgo adjicitur ὀξεῖς. Id propterea delevi quod haud dubie,

esse divina scriptura narravit. Nam si superior infirmitatibus carnis per resurrectionem factus, ut *pontifex confessionis nostrae*, intercedit pro nobis apud deum: quomodo non magis, quum adhuc fragilitati carnis subjectus esset, valido opus habuit et vehementi clamore et lacrimis, cum quibus preces obtulit ei qui ipsum a morte potuit servare?

Quæstio 106.

Si omnium hominum unam caro et unam anima habet essentiam: quomodo hic quidem tardi, ille autem acuti est ingenii? Quodsi anima ejusmodi differentiae causa est, necesse erit existimare variam esse animarum essentiam pro ingeniorum varietate: sin caro, eadem in eam quadrabit ratio. At si ex chymo quopiam, veluti arido aut liquido vel calido aut frigido, exuberante vel deficiente alterum altero est potentius, velut insipientia aut prudentia: undenam aut quomodo ejusmodi quoddam invaluit discrimen, quod in nobis efficit ut ingenii exuberet vel acumen vel hebetudo?

Responsio.

Ingenii acuminis vel tarditatis causam quidam conferunt in elementorum, ex quibus nostra corpora constant, temperiem et intemperiem atque aptam instrumentalium partium compositionem: recteque videntur illi horum causam retulisse. Sunt enim nonnulli qui certe in juventute invenire possunt et intelligere cogitata, in senectute vero in contrarium mutati ingenio sunt hebeti; haec autem indicio sunt temperiem et intemperiem causam esse ejusmodi participationis. Similiter

ut jam Sylburgius advertit, ex margine vel ex glossa interlineari in textum irrepsit, adnotatum videlicet a viro docto qui *γεννητικούς τε καὶ ἐπιδεκτικοὺς νοημάτων* significaret eosdem esse qui paulo post *ὀξεῖς τε καὶ ἕτοιμοι* nominantur; confirmat istam Sylburgii opinionem quod infra repetitur itidem *γεννητικοί τε καὶ ἐπιδεκτικοὶ νοημάτων* sine *ὀξέων* epitheto. Displicuit Wolfii conjectura: *ἐπιδεκτικοὶ ὀξέων νοημάτων.*

3. *ἔστι*] Maran. *ἔτι* mendose. Mox pro *τούτοις* Wolfius vult *τοῦτο* scribi.

4. *μετοχῆς*] Wolfius legit *μεταβολῆς*. Langus: *participationis et inaequalitatis.*

χῆς. Ὡσαύτως δὲ καὶ οἱ λίαν μεγαλοκέφαλοι, λεγόμενοι [5] βαρυ-
κέφαλοι, διὰ τὸ μὴ σώζειν σύμμετρον ἀναλογίαν πρὸς τὰ ἄλλα D
μέρη τοῦ σώματος δι' ὑπερβολὴν μικρότητος ἢ μεγέθους, καὶ αὐτοὶ
ἀνεπιτήδειοί εἰσι τοῦ δύνασθαι εἶναι [6] γεννητικοί τε καὶ ἐπιδεκτι-
κοὶ νοημάτων. Γίνονται δὲ καὶ ἄλλοι πρὸς τὴν κατάληψιν τῶν
τῇ φύσει συνεστώτων πραγμάτων ὀξεῖς τε καὶ ἕτοιμοι καὶ ἀπὸ τῆς
θείας χάριτος, ὡς τὸ [7] Ὁ κύριος ἔδωκε [8] τῷ Σολομῶνι πλάτος καρ-
δίας, ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· καὶ ὡς τὸ
[9] Οἷς δέδοται μὲν διὰ πνεύματος λόγος σοφίας, ἄλλοις δὲ λόγος
γνώσεως.

Ἐρώτησις ρζ΄. 462

Εἰ ὑπὸ τῶν ἀπίστων πρὸς ἀπάτην εὑρέθη τὰ ᾄσματα, τοῖς δὲ ἐν νόμῳ εἰσηγήθη [1] διὰ φρενῶν νηπιότητα, οἱ τῆς χάριτος τέλεια καὶ τῶν ῥηθέντων τρόπων ἀλλότρια παρειληφότες μαθήματα διὰ τί ἐν ταῖς ἐκκλησίαις κατὰ τοὺς ἐν τῷ νόμῳ νηπίους τοῖς ᾄσμασι κέχρηνται;

Ἀπόκρισις.

[2] Οὐ τὸ ᾆσαι ἁπλῶς ἐστι τοῖς νηπίοις ἁρμόδιον, ἀλλὰ τὸ μετὰ B
τῶν ἀψύχων ὀργάνων ᾆσαι καὶ μετὰ ὀρχήσεως καὶ κροτάλων· διὸ
ἐν ταῖς ἐκκλησίαις [3] προαίρεται ἐκ τῶν ᾀσμάτων ἡ χρῆσις τῶν
τοιούτων ὀργάνων καὶ τῶν ἄλλων τῶν νηπίοις ὄντων ἁρμοδίων,
καὶ ὑπολέλειπται τὸ ᾆσαι ἁπλῶς. Ἡδύνει γὰρ τὴν ψυχὴν πρὸς
ζέοντα πόθον τοῦ ἐν τοῖς ᾄσμασιν [4] ᾑδομένου, κοιμίζει τὰ ἐκ τῆς
σαρκὸς ἐπανιστάμενα πάθη, τοὺς ὑπὸ τῶν ἀοράτων ἐχθρῶν ἐμ-
βαλλομένους ἡμῖν λογισμοὺς πονηροὺς ἀπωθεῖται, ἀρδεύει τὴν ψυ-
χὴν πρὸς καρποφορίαν θείων ἀγαθῶν, γενναίους πρὸς τὴν ἐν τοῖς C
δεινοῖς καρτερίαν τοὺς ἀγωνιστὰς ἐργάζεται τῆς εὐσεβείας, πάν-
των τῶν ἐν τοῖς βιωτικοῖς λυπηρῶν ἰαματικὸν γίνεται τοῖς εὐσε-
βέσι. [5] Μάχαιραν τοῦ πνεύματος τοῦτο ὁ Παῦλος ὀνομάζει, ἐν ᾧ

5. βαρυκέφαλοι] H. e. *gravi capite*. Langus transpositis adjectivis legit οἱ λίαν βαρυκέφαλοι, λεγόμενοι μεγαλοκέφαλοι.

6. γεννητικοί] Stephan. (ex Reg.) et Maran. γενητικοί (vid. not. 2.); vitiose Sylburg. γενγεητικοί, ex quo Morell γεγενητικοὶ (!) fecit.

7. Ὁ κύριος ... θαλάσσης] 1. Regg. IV. 29..

8. τῷ Σολομῶνι] Vulgo τῷ Σολομῶντι. Sed cf. Resp. ad Quaest. 55.. Septuaginta τῷ Σαλωμών, et in diversis lectionibus ad loc. ap. Parsons. τῷ Σωλομόντι (sic), τῷ Σολομων, τῷ Σαλωμων.

vero grandicipites, qui barones vocantur, propterea quod proportionem non servant convenientem aliis corporis partibus propter praecellentem parvitatem aut magnitudinem, minus quoque ipsi appositi sunt ad inveniendum et intelligendum cogitata. Porro etiam alii ad rerum, quae natura consistunt, cognitionem acuti et promti fiunt idque per divinam gratiam, juxta illud *Dominus dedit Salomoni latitudinem cordis, quasi arenam quae est ad litus maris* — et juxta illud *Quibusdam datur per spiritum sermo sapientiae, aliis autem sermo scientiae.*

Quæstio 107.

Si ab infidelibus ad seductionem inventa sunt carmina, iis autem qui sub lege fuerunt concessa sunt ob animi imbecillitatem: qui sub gratia sunt et perfecta atque ab iis quos dixi moribus aliena accepere instituta quomodo in ecclesiis, more eorum qui sub lege fuerunt parvulorum, canticis utuntur?

Responsio.

Non canere simpliciter parvulis convenit, sed cum inanimis instrumentis canere atque cum saltatione et crotalis: quare in ecclesiis resecatur ex canticis usus talium instrumentorum et caeterorum quae parvulis conveniunt, ac simplex relictus est cantus. Excitat enim animam ad fervens desiderium ejus quod in canticis celebratur, sedat exsurgentes ex carne appetitus, malas cogitationes nobis ab invisibilibus hostibus injectas repellit, irrigat animam ut ferax sit bonorum divinorum, fortes ad constantiam in rebus adversis efficit athletas pietatis, omnium vitae molestiarum medicina fit piis hominibus. Vocat hoc Paulus *gladium spiritus*, quo adversus

9. *Οἷς...γνώσεως*] Ep. 1. ad Cor. XII. 8..

1. *διὰ φρενῶν νηπ.*] Cf. Deuter. XXXI. 21..

2. *Οὐ τὸ ᾆσαι* etc.] De hujus responsionis argumento Gassium l. c. p. 124. sqq. adeas.

3. *προαίρεται*] Sylburgius cum Wolfio legi mallet *παρῄρηται*, *sublatus est.*

4. *ἡδομένου*] Wolfius legit *ὑμνουμένου* et Sylburgius minori mutatione *ᾀδομένου*. Non muto.

5. *Μάχαιραν τ. πνεύματος — ῥῆμα γ. ἐ. θεοῦ*] Ep. ad Ephes. VI. 17..

κατὰ τῶν [6] *ἀοράτων πολεμίων ὁπλίζει τοὺς ὁπλίτας τῆς εὐσεβείας· ῥῆμα γάρ ἐστι θεοῦ,* [7] *ὃ καὶ ἐνθυμούμενον καὶ ᾀδόμενον καὶ* [8] *ἀνακρουόμενον δαιμόνων γίνεται* [9] *ἀπελατικόν. [Ἔστιν οὖν τὰ τοιαῦ]τα τελειωτικὰ τῆς ψυχῆς ἐν ταῖς κατ' εὐσέβειαν ἀρεταῖς, διὰ τῶν ᾀσμάτων τῶν ἐκκλησιαστικῶν τοῖς εὐσεβέσι προσγινόμενα.* D

Ἐρώτησις ρη'.

Εἰ συγγνώμην ἡ ἀκούσιος ἐφέλκεται ἄγνοια, καθὼς ὑπὸ τῆς γραφῆς διδασκόμεθα, πῶς οἱ μὲν πάλαι Ἰουδαῖοι, τὸν Χριστὸν ἐξ ἀγνοίας σταυρώσαντες, πλείστων καὶ ἀνυποίστων δεινῶν ἐπειράθησαν, ὡς ἐν τοῖς [1] *περὶ τῆς ἁλώσεως λόγοις μαρτυρεῖ ὁ Ἰώσηπος, οἱ δὲ νῦν τῷ Χριστῷ ἀπειθοῦντες αὐτῶν, τῆς μὲν οἰκείας πατρίδος ἀπελαθέντες, εἰς πᾶσαν τὴν γῆν ἐλικμήθησαν, τοῖς δὲ ἔθνε-* 463 *σιν εἰς δουλείαν ἐξεδόθησαν ἄτιμον, ὡς τὰ πράγματα στήλης βοᾷ περιφανέστερον; Τὴν δὲ ἐν ἑκατέροις αὐτῶν συνίστησιν ἄγνοιαν ποτὲ μὲν ὁ κύριος·* [2] *Πάτερ, λέγων, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι· ποτὲ δὲ ὁ ἀπόστολος φάσκων·* [3] *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. Καὶ ταῦτα μὲν περὶ τῶν πάλαι Ἰουδαίων· περὶ δὲ τῶν νῦν·* [4] *Μαρτυρῶ, φησίν, αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν.*

Ἀπόκρισις. B

[5] *Ὅτε ἡ ἀκούσιος ἄγνοια τοῖς ἀγνοοῦσι νομισθῇ γνῶσις, τότε ἡ* [6] *ἀπόβασις τοῦ κατ' ἄγνοιαν πραττομένου πράγματος δείκνυσι κατ' ἀλήθειαν οὖσαν γνῶσιν ἢ κατὰ πλάνην καὶ ἄγνοιαν. Δειχθείσης δὲ τῆς νομιζομένης γνώσεως διὰ τῆς ἀποβάσεως ἀ-*

6. *ἀοράτων πολ.*] H. e. daemonum, ut ex sequentibus patescit.

7. *ὃ*] Vulgo *τὸ* inepte.

8. *ἀνακρουόμενον*] Improbat Pseudo-Justinus musicorum instrumentorum usum, utpote Christianis indignum neque in ecclesias receptum: quare Sylburgius et Maranus hic legendum esse censuerunt *ἀκουόμενον (auditum)*; at vero *ἀνακρούεσθαι* non tantum de pulsando instrumento musico usurpatur, sed tropice etiam de cantu incipiendo, imo de sermone. — Perionius reddidit: *dum et cogitatur et canitur et resonat.*

9. *ἀπελατικόν* etc.] Codd. msti et editi *ἀπελατικόν. * τα τελειωτικὰ* etc.. Sylburgius substituit haec: *ἀπελατικόν. [καὶ ἀπαξαπλῶς γίνεται τὰ τοιαῦτα μελετήμα]τα τελειωτικὰ* etc., ita reddens: *atque, ut uno verbo dicam, valent ejusmodi meditationes ad animam in verae*

invisibiles hostes armat milites pietatis; *verbum* enim *dei est*, quod et cogitatum et cantatum et pulsatum vim habet pellendorum daemonum. Conducunt igitur talia ad animae in pietatis virtutibus perfectionem, quam canticis ecclesiasticis pii consequuntur.

Quæstio 108.

Si veniam involuntaria habet ignorantia, quemadmodum a scriptura edocemur: quomodo non solum veteres Judaei, qui Christum ex ignorantia crucifixerunt, plurima et intolerabilia experti sunt mala, ut in libris de occupatione docet Josephus, sed et qui nunc ex eadem gente in Christum increduli sunt, patria sua expulsi, in universam terram dispersi sunt, gentibus autem in turpem servitutem traditi, ut res ipsae qualibet columna clarius clamitant? Utrorumque ignorationem adstruit nunc quidem dominus: *Pater*, inquiens, *remitte iis, quia nesciunt quid faciant* — nunc autem apostolus qui ait: *Nam si cognovissent, nequaquam dominum gloriae crucifixissent.* Atque haec quidem de antiquis Judaeis; de praesentibus autem: *Testor*, inquit, *de iis studium dei eos habere, sed non cognitioni accommodatum.*

Responsio.

Quando involuntaria ignoratio videtur esse ignorantibus cognitio, tunc eventus rei per ignorationem gestae demonstrat vel revera cognitionem esse vel errorem et ignorantiam. Ubi autem opinatam cognitionem ex eventu apparuerit igno-

pietatis virtutibus perficiendam, si per ecclesiasticas cantiones a piis instituantur (!). Male Maranus: ἀπελατικόν· [καὶ] τὰ τελειωτικὰ etc., sic vertens: *et quae ad animam in virtutibus pietatis propriis perficiendam conducunt, ea canticis ecclesiasticis pii consequuntur* (= προσγίνονται).

1. περὶ τῆς ἁλώσεως] Scil. terrae Judaeorum. Indicantur libri de bello judaico scripti a Flavio Josepho.

2. Πάτερ ... ποιοῦσι] Ev. Luc. XXIII. 34..

3. Εἰ ... ἐσταύρωσαν] Ep. 1. ad Cor. II. 8..

4. Μαρτυρῶ ... ἐπίγνωσιν] Ep. ad Rom. X. 2..

5. Ὅτε] Cum conjunctivo, ut saepe apud Homerum, pro ὅταν.

6. ἀπόβασις] Codd. msti et Stephan. falso ἀπόμωσις.

γνοίας ὑπαρχούσης τοῦ πράγματος, ἂν ἐμμένῃ τῇ αὐτῇ ἀγνοίᾳ ὁ ἀγνοήσας, οὐδεμίαν ἐφέλκεται συγγνώμην ἀλλὰ τιμωρίαν ἀπαραίτητον. Ἀλλ' ὅτι μὲν οὕτως ἐσταύρωσαν οἱ Ἰουδαῖοι τὸν Χριστὸν ὡς γινώσκοντες αὐτὸν [7] ἀντίθεον [καὶ σύμψη]φον ἔχοντες C
τὸν θεὸν ἐν τῇ ἀναιρέσει αὐτοῦ, παντί που δῆλον· οὐκ ἂν γὰρ αὐτὸν ἐσταύρωσαν, εἰ ἦσαν γινώσκοντες ὅτι μετὰ τὸν θάνατον [8] αὐτὸν ὁ θεὸς ἐγερεῖ ἐκ τῶν νεκρῶν. Ἐγερθεὶς δὲ ἐκ τῶν νεκρῶν ὑπὸ τοῦ θεοῦ ἔδειξε τὴν νομιζομένην κατὰ Χριστοῦ γνῶσιν τῶν Ἰουδαίων κατ' ἀλήθειαν ἄγνοιαν οὖσαν. Ἐπειδὴ οὖν μετὰ τὸ ἀναστῆναι τὸν κύριον ἐκ νεκρῶν, καὶ δειχθῆναι μήτε τὸν θεὸν σύμψηφον γεγονότα τοῖς Ἰουδαίοις ἐν τῷ θανάτῳ τοῦ Χριστοῦ μήτε τὸν Χριστὸν ἀνεγέρτως μένειν ἐν τῷ θανάτῳ κατὰ τὴν προσδοκίαν τῶν αὐτὸν σταυρωσάντων, D
ἔτι τοὺς Ἰουδαίους [9] ἐν τῇ ἀπειθείᾳ μένειν, διὰ τοῦτο οὐκ ἦσαν συγγνώμης ἄξιοι. [10] Τὸ γὰρ ἐξαργυρίζειν αὐτοῦ τὴν ἀνάστασιν καὶ κλοπὴν ταύτην νομίζειν, καὶ κωλύειν τοὺς ἀποστόλους ἐπὶ τῷ ὀνόματι αὐτοῦ μὴ ἐκτελεῖν θεῖα ἔργα ἐν τῇ δυνάμει τοῦ ἁγίου πνεύματος γινόμενα, οὐκ ἔστιν ἀκουσίου ἀγνοίας συγγνώμην ἐφελκομένης, ἀλλ' ἐγνωσμένης ἑκουσίου θεομαχίας τιμωρίαν ἐφελκομένης. Εἰ μὲν γὰρ ταύτῃ τῇ ἐλπίδι ἐσταύρωσαν τὸν Χριστὸν οἱ Ἰουδαῖοι, τοῦ μὴ κρατῆσαι τὴν διδασκαλίαν αὐτοῦ καὶ 464
τοῦ μὴ λυθῆναι τὸν ἰουδαϊσμόν, πῶς οὐκ ἔστιν ἀμφοτέρων ἀποτυχία λυτικὴ τῆς Ἰουδαίων κατὰ Χριστοῦ ἀκουσίου ἀγνοίας; Τὸ δὲ [11] Σὺ πάτερ ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι, κατὰ ταύτην εἴρηται τὴν [12] ἔννοιαν· Ὅτι, γνόντες ὅτι κατ' ἄγνοιάν με ἐσταύρωσαν, καὶ αἰτοῦσι λύτρον τῶν πλημμελειῶν αὐτῶν, παράσχοις αὐτοῖς. Οὐ γὰρ δίδοται ἄφεσις τῷ νομίζοντι τὴν ἑαυτοῦ ἁμαρτίαν μὴ εἶναι ἁμαρτίαν ἀλλὰ δικαιοσύνην. Καὶ τὸ εἰρημένον τῷ Παύλῳ, τὸ [13] Μαρτυρῶ αὐτοῖς ὅτι ζῆλον θεοῦ ἔχου-

7. ἀντίθεον etc.] Codd. msti et editi ἀντίθεον * φον ἔχοντες etc.. Reponendum est καὶ σύμψηφον, ut infra legitur: τὸν θεὸν σύμψηφον γεγονότα. Sylburgius mallet ἔτι δὲ καὶ ὡς σύμψηφον.

8. αὐτὸν] Codd. msti et Stephan. male αὐτοῦ.

9. ἐν τῇ ἀπειθείᾳ] H. e. in inobedientia, quae nata est ex incredulitate. De sententia vide Quaest. 140.. Ad μένειν autem Maranus συνέβη supplet.

10. Τὸ γὰρ . . . γινόμενα] Cf.

rationem rei esse: si is qui ignorat in eadem ignoratione permaneat, nullam habet veniam sed supplicium ineluctabile. Ac Christum quidem a Judaeis ita crucifixum fuisse ut eum dei adversarium esse sibi perspicere viderentur et deum ejus neci suffragantem habere, omnibus manifestum est; non enim eum crucifixissent, si futurum novissent ut eum post mortem deus ex mortuis resuscitaret. Resuscitatus autem ex mortuis a deo demonstravit opinatam Judaeorum cognitionem Christi fuisse revera ignorationem. Quandoquidem igitur, posteaquam suscitatus a mortuis demonstravit nec deum Judaeis in Christi nece suffragatum esse nec Christum sine resurrectione manere in morte secundum exspectationem eorum qui illum crucifixerant, adhuc Judaei in inobedientia perseverarunt: idcirco venia digni non fuerunt. Nam pecunia ejus resurrectionem redimere eamque furtum existimare, ac prohibere apostolos quominus in ejus nomine divina opera perficiant, quae vi spiritus sancti eduntur, non est involuntariae ignorantiae, quae veniam habet, sed cogitatae et voluntariae cum deo pugnae, quae supplicium non effugit. Nam si hac spe ducti Christum crucifixerunt Judaei, fore ut ejus doctrina non praevaleret neque aboleretur judaismus: an non utriusque spei contrarius exitus nihil loci relinquit involuntariae Judaeorum Christi ignorationi? Illud autem *Tu pater remitte iis*, *quia nesciunt quid faciant* — in hanc dictum est sententiam: Quia, ubi agnoverunt per ignorantiam fecisse se ut me crucifigerent, etiam petent facinorum suorum expiationem, hanc iis concede. Non enim datur remissio existimanti suum ipsius peccatum non peccatum esse sed justitiam. Illud autem Pauli: *Testor de iis studium dei eos habere, sed non cognitio-*

ev. Matth. XXVIII. 11. sqq. et Actt. apostt. IV. 1. sqq.. — *Ἐξαργυρίζειν τὴν τοῦ Χριστοῦ ἀνάστασιν* = *vendere* Christi resurrectionem h. e. argentum dare ut prematur s. eam pecuniis datis supprimere.

11. *Σὺ . . . ποιοῦσι*] Ev. Luc. XXIII. 34..

12. *ἔννοιαν* etc.] Maran. perperam edidit: *ἔννοιαν, ὅτι γνόντες . . . καὶ αἰτοῦντες λύτρον πλημμελειῶν* etc..

13. *Μαρτυρῶ . . . ἐπίγνωσιν*] Ep. ad Rom. X. 2..

σιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, πεφεισμένως εἴρηται τῇ τοῦ λόγου B
συγκαταβάσει· [14] ἀσθενὴς τοῖς ἀσθενέσι γινόμενος, ἵνα κατὰ τὸ
εἰρημένον σώσῃ τοὺς ἀσθενεῖς.

Ἐρώτησις ρθ'.

[1] Εἰ τὸ τῆς ἀναστάσεως δῶρον πᾶσι τοῖς θανοῦσιν ὁ θεὸς
διδόναι ὑπέσχετο, καὶ πάντες ἐκ τῶν τάφων ἀναστάντες τῷ κρι-
τῇ παρίστασθαι μέλλουσι, πῶς πληρωθήσεται τὸ [2] κρίνειν νεκροὺς
καὶ ζῶντας τὸν κύριον; Πῶς δὲ νεκροὶ κριθῆναι δυνήσονται, ὧν
[3] τὰ μὲν σώματα ἐν μνήμασιν ἔῤῥιπται, αἱ δὲ ψυχαὶ τῶν σωμά- C
των κεχωρισμέναι εἰσίν;

Ἀπόκρισις.

[4] Οὐ πάντες, φησί, κοιμηθησόμεθα. Κρινεῖ οὖν ζῶντας
μέν, τοὺς τότε ζῶντας· νεκροὺς δέ, τοὺς ἀνισταμένους ἐκ τῶν
νεκρῶν. [5] Ἔρχεται, φησίν, ὥρα καὶ νῦν ἐστιν, ὅτε πάντες οἱ ἐν
τοῖς μνήμασιν ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ
ἐξέρχονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ D
φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Ἐχρῆν οὖν κατὰ τὸ
πιστὸν τοῦ λόγου θεωρεῖν τὸ δυνατὸν τοῦ πράγματος καὶ μὴ ἀπο-
ρεῖν τὴν ἄλογον ἀπορίαν.

Ἐρώτησις ρι'.

Εἰ τοῖς καταλιμπάνουσι πατέρα ἢ μητέρα ἢ τέκνα καὶ τὰ
ἑξῆς ἑκατονταπλασίονα [1] ἐπηγγείλατο διδόναι ὁ κύριος, ἆρα καὶ
γυναῖκας ἑκατὸν οἱ τοιοῦτοι ἀντιλήψονται; Πῶς δέ, πολλῶν
τὰ εἰρημένα διὰ τὴν ἐντολὴν καταλιπόντων, ἐν πτωχείᾳ καὶ μο-
νότητι καὶ ἐρημίᾳ τελευτησάντων, οὐ διέψευσται ἡ τοιαύτη ὑπό- 465
σχεσις;

Ἀπόκρισις.

Ὥσπερ πατέρας καὶ μητέρας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς λέγει
τοὺς κατ' οἰκειωτικὴν διάθεσιν [2] προσλαμβανομένους τὸν Χριστόν,

14. ἀσθενὴς ... ἀσθενεῖς] Ep. 1. ad Cor. IX. 22..
1. Εἰ etc.] Cf. Augustin. de Dulcitii quaestt. 3..
2. κρίνειν ... κύριον] Actt. apostt. X. 42. et ep. 2. ad Tim. IV. 1..
3. τὰ] Stephan. τὸ vitiose.
4. Οὐ ... κοιμηθησόμεθα] Ep. 1. ad Cor. XV. 51..
5. Ἔρχεται ... κρίσεως] Evang. Joann. V. 28. (coll. 25.) et 29..
1. ἐπηγγείλατο] Cf. ev. Matth.

ni accommodatum — parcendo dictum est quadam accommodatione sermonis; *infirmis factus infirmus*, ut, quemadmodum ipse ait, infirmos salvaret.

Quæstio 109.

Si resurrectionis donum omnibus mortuis deus daturum se promisit, et omnes ex sepulcro resurgentes coram judice prodituri sunt: quomodo implebitur illud *dominum judicare mortuos et vivos?* Quomodo autem mortui judicari poterunt, quorum corpora in monumentis sunt projecta, animae vero a corporibus segregatae?

Responsio.

Non omnes, inquit, *dormiemus.* Judicabit ergo vivos quidem, qui tunc vivent; mortuos autem, qui resurgent ex mortuis. *Venit*, inquit, *hora et jam adest*, *quando omnes qui in sepulcris sunt audient vocem filii dei*, *et exibunt qui bona fecerunt in resurrectionem vitae, qui vero mala egerunt in resurrectionem judicii.* Horum igitur fide verborum credendum erat rem fieri posse nec dubitatio instituenda praeter rationem.

Quæstio 110.

Si relinquentibus patrem aut matrem aut liberos et quae sequuntur centupla se daturum dominus promisit: num etiam uxores centum talibus reddentur? Quomodo autem, quum multi ea quae recensuimus propter praeceptum reliquerint, in paupertate et orbitate et solitudine mortui sint, non falsa fuit talis promissio?

Responsio.

Quemadmodum patres et matres et fratres et sorores vocat eos qui affectus cognatione Christum assumunt, postquam

XIX. 29..

2. προσλαμβ. τ. Χρ., κατ. πατ.] Sylburg. existimat cum conjunctione legi posse καταλείψαντας δὲ πατέρα vel καταλείψαντάς τε πατέρα. At Maran. (in Add.) haud male ita scribit: προσλαμβανομένους τὸν διὰ Χριστὸν καταλείψαντα πατέρα — h. e. *Quemadmodum patres ... vocat eos a quibus affectûs cognatione assumitur is qui propter Christum patrem ... reliquit: ita* etc..

καταλείψαντας πατέρα τε καὶ μητέρα, ἀδελφούς τε καὶ ἀδελφάς, οὕτως καὶ γυναῖκα λέγει τὴν ἐν καιρῷ τῆς διὰ Χριστὸν ἐγκαταλείψεως προνοουμένην τοῦ καταλείψαντος τὴν φύσει γυναῖκα. Ἡ δὲ B ἐκκλησία τοῦ δεσπότου Χριστοῦ, ἡ ἐξ ἀρχῆς τοῦ χριστιανικοῦ κηρύγματος ὑπὸ τῶν αὐτῇ ἀντικειμένων Ἑλλήνων τε καὶ Ἰουδαίων διωκομένη καὶ ἁρπαζομένη πολυχρονίως, πόθεν ἔν τε τοῖς πνευματικοῖς καὶ ἐν τοῖς [3] ἀνθρωπικοῖς τοσαύτην ἣν ὁρῶμεν ἐπίδοσιν ἐδέξατο, μὴ τῆς θείας τε καὶ ζώσης τοῦ σωτῆρος φωνῆς τῆς [4] κατὰ πολυπλασιασμὸν ὑποσχομένης καὶ τὴν ἀντίδοσιν ἐνεργησάσης ἐν αὐτῇ; [5] Πόθεν δὲ πλούσιοι ἄνδρες τε καὶ γυναῖκες τὰς ἑαυτῶν ὑπάρξεις ἐπιφερόμενοι ἐν τῇ ἐρήμῳ τοὺς ἐκεῖσε ἀναχωρητὰς ἐζήτη- C σαν καὶ τούτων τὰ ὑστερήματα ἐπλήρωσαν, καθὰ ἔγνωμεν ἐκ τῆς ἱστορίας τῶν ἁγίων ἀρχαίων ἀνδρῶν, μηδὲ τοῦ δεσπότου Χριστοῦ δι' αὐτῶν τὴν ἰδίαν ὑπόσχεσιν ἀγαγόντος εἰς πέρας;

Ἐρώτησις ρια'.

Εἰ πρὸς σύστασιν τῆς τῶν σωμάτων ἀναστάσεως ὡς καιρίῳ τῷ κατὰ τὰ σπέρματα ὑποδείγματι ὁ ἀπόστολος [1] ἐν τῇ πρὸς Κορινθίους ἐχρήσατο, πῶς οἱ τεμνόμενοι ἢ καιόμενοι ἀναστήσονται, τῶν σπερμάτων μετὰ τομὴν ἢ καῦσιν οὐ βλαστανόντων ἀλλὰ εἰς D τὸ παντελὲς φθειρομένων;

Ἀπόκρισις.

Τῆς φύσεως οὔσης τῆς ἐργαζομένης τὰ ἐκ τῶν σπερμάτων γινόμενα, ὡς ἔμμετρον λαβούσης παρὰ τοῦ δημιουργοῦ τὴν δύναμιν, ἀνάγκη ἐπιτήδεια εἶναι τὰ σπέρματα πρὸς ποίησιν τῶν ἐξ αὐτῶν γινομένων· διὸ ἐὰν καῇ ἢ τμηθῇ τὰ σπέρματα, ἄχρηστα γίνεται τῇ φύσει πρὸς ποίησιν τῶν ἐξ αὐτῶν γινομένων. Ὁ δὲ θεὸς οὐκ ἔμμετρον ἔχει τὴν δύναμιν· διὰ τοῦτο οὐδὲν [2] αὐτῷ ἐστιν ἀνεπιτή- 466 δειον πρὸς ποίησιν πάντων ὧν βούλεται, οὐδὲ κωλύεται ὑπὸ τῆς τομῆς καὶ καύσεως τῶν σωμάτων τοῦ ποιήσασθαι αὐτῶν τὴν ἀνάστασιν. Οὐ γὰρ νόμῳ καὶ μέτρῳ φύσεως ἐργάζεται ὁ θεός, ἀλλ'

3. ἀνθρωπικοῖς] Vulgo ἀνθρώποις inepte. Jam Langus: *et in spiritualibus et in humanis rebus*. Sed tum etiam praecedens τῆς delendum est: quae quidem mutatio nimis magna foret.

4. κατὰ πολυπλ.] Maran. conjectavit καὶ τὸν πολυπλασιασμόν.

5. Πόθεν etc.] De anachoretis

patrem et matrem et fratres et sorores reliquerunt: ita etiam *uxorem* dicit eam quae curam gerit illius a quo relicta est propter Christum naturalis uxor. Domini autem Christi ecclesia, quae ab initio christianae praedicationis ab adversariis suis gentilibus et Judaeis diu vexata et direpta fuit, unde in donis spiritualibus et in humanis tantum accepisset incrementum quantum videmus, nisi divina et viva servatoris vox, quae multiplicanti ratione promisit, etiam remunerationem in ea effecisset? Unde autem divites homines et mulieres bona sua afferentes in deserto anachoretas illic degentes quaesiverunt eorumque egestatem expleverunt, id quod didicimus ex historia priscorum hominum sanctorum, nisi quia dominus Christus per eos proprium promissum ad exitum perduxit?

Quæstio 111.

Si ad asserendam corporum resurrectionem apostolus exemplo seminis ut apto in epistola ad Corinthios usus est: quomodo qui frustatim dissecantur aut comburuntur resurgent, quum semina post sectionem aut ustionem non germinent sed omnino intereant?

Responsio.

Quum natura perficiat quae ex seminibus nascuntur, ut demensa facultate ab opifice donata, necesse est ut apta sint semina ad effectionem eorum quae ex ipsis nascuntur; quare si urantur aut concidantur semina, inutilia fiunt naturae ad effectionem eorum quae ex ipsis nascuntur. Deus autem non habet demensam facultatem; quapropter nihil ei non idoneum est ad ea quae vult efficienda omnia: nec sectione et ustione corporum prohibetur quominus eorum efficiat resurrectionem. Non enim lege et mensura naturae operatur deus, sed sum-

et eremitis quae dicuntur potius ad Theodoreti quam ad Justini Martyris tempora pertinent. *Sylburgius*. Cf. Gieseler *Lehrbuch der Kirchengeschichte* T. I. P. II. (ed. 4.) p. 232. et 246. sq..

1. ἐν τῇ πρὸς Κορ.] Cf. ep. 1. ad Cor. XV. 35. sqq..

2. αὐτῷ] Libri editi (ut msti) excepto Maraniano αὐτῶν, quamquam jam Langus indicaverat errorem.

αὐθεντίᾳ βουλῆς τῆς ἐν μηδενὶ ἀπορουμένης πρὸς ποίησιν ὧν βούλεται ποιεῖν. Ἐχρήσατο δὲ ὁ ἀπόστολος τῷ κατὰ τὰ σπέρματα ὑποδείγματι εἰς πίστωσιν τῆς τῶν νεκρῶν ἀναστάσεως, ἵνα κατ' ἀναλογίαν πιστώσηται τῆς ἀναστάσεως τὸν λόγον, ὅτι, ὥσπερ οὐκ ἀπιστοῦμεν τὴν βλάστησιν τοῦ σπέρματος, ὁρῶντες ἐν τῇ γῇ ἀποθανόντος καὶ [3] ἀποβεβληκότος τοῦ σπέρματος τὴν φύσιν, οὕτως B
οὐκ ὀφείλομεν ἀπιστεῖν τῶν νεκρῶν τὴν ἀνάστασιν· ὁ γὰρ θεός, ὁ δεδωκὼς τῇ φύσει τὸ διὰ τοῦ σπέρματος ἐργάσασθαι [4] τὴν βλάστην, πολὺ μᾶλλον αὐτὸς δύναται ἐκ τοῦ θανάτου ἐγεῖραι τοὺς νεκρούς.

Ἐρώτησις ριβ'.

Εἰ τὴν βασιλείαν τοῦ Ἰσραὴλ δόξαν καὶ τρυφὴν καὶ ἄνεσιν ἐπίγειον οἱ ἀπόστολοι ὑπελάμβανον, καθά τινες ἔφασαν, διὰ τί ὁ κύριος περὶ ταύτης πρὸς αὐτῶν ἐρωτώμενος οὐ μόνον αὐτοὺς οὐ διωρθώσατο, ἀλλὰ καὶ ἐπέσφιγξεν αὐτῶν τὴν ἄγνοιαν φήσας C
πρὸς αὐτούς· [1] Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ; Αὕτη δὲ ἡ ἀπόκρισις βεβαιοῖ τὴν ἐκείνων ἐρώτησιν.

Ἀπόκρισις.

Καὶ τοῦτο ἕν ἐστι τῶν πρὸ τῆς ἐπιφοιτήσεως τοῦ ἁγίου πνεύματος μὴ δυναμένων γνωσθῆναι ὑπὸ τῶν ἀποστόλων κατὰ τὸ εἰρημένον· [2] Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνο ὁδηγή- D
σει ὑμᾶς πρὸς πᾶσαν τὴν ἀλήθειαν. Μαθόντες δὲ ὑπὸ τοῦ πνεύματος τὸ [3] Τὴν κοιλίαν καὶ τὰ βρώματα ὁ θεὸς καταργεῖ, ἐκ τῆς ἰουδαϊκῆς ὑπολήψεως εἰς τὴν ἔννοιαν μετηνέχθησαν τὴν πρέπουσαν τῇ καταστάσει τῶν ἀνισταμένων ἐκ τῶν νεκρῶν, ἐν ᾗ οὔτε βρῶσις οὔτε πόσις οὔτε γάμος, ἀλλα [4] ἰσάγγελοι ἔσονται οἱ τῆς ἀναστάσεως υἱοί. Τὸ οὖν [5] Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιρούς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, οὐκ ἔχει σχῆμα

3. ἀποβεβληκότος] Maran. ἀποβληκότος vitiose. Scriptor autem illud verbum, ut Sylburgius recte observavit, absolute accepit et neutraliter, ut sit quaedam hypallage, pro: ὁρῶντες ἐν τῇ γῇ ἀποθανόντε καὶ τὴν φύσιν ἀποβεβληκὸς τὸ σπέρμα.

4. τὴν βλάστην] Suspicatus fueris τὴν βλάστησιν. Noli mutare.

ma potestate voluntatis, quam nulla difficultas moratur in iis quae vult efficiendis. Usus est autem apostolus seminum exemplo ad adstruendam resurrectionem mortuorum, ut ex comparatione fidem faciat resurrectionis doctrinae: quia, quemadmodum minime dubitamus quin semen germinaturum sit, quamvis semen in terra mortuum videamus et naturam suam amisisse, ita non debemus mortuorum resurrectionem increduli rejicere; nam deus, qui dedit naturae ut semine operetur germen, multo magis ipse potest a morte excitare defunctos.

Quæstio 112.

Si *regnum Israelis* gloriam et delicias et remissionem terrenam existimaverunt apostoli, ut nonnulli dixere: cur dominus ea de re ab illis interrogatus non modo eos non castigavit, sed etiam eorum adstrinxit ignorantiam dum iis dicit: *Non est vestrum nosse tempora vel momenta*, *quae pater posuit pro sua potestate?* Haec ipsa responsio eorum confirmat interrogationem.

Responsio.

Et hoc ipsum ex iis unum est quae ab apostolis ante adventum spiritus sancti cognosci non potuerunt pro eo quod dictum est: *Multa habeo quae vobis dicam*, *sed non potestis ea nunc ferre; quando autem venerit ille spiritus veritatis, ducet vos ad omnem veritatem.* Ubi vero a spiritu edocti sunt illud *Et ventrem et escas deus abolebit*, ex opinione judaica ad sensum translati sunt statui eorum qui ex mortuis resurgunt convenientem: in quo neque esca neque potio neque matrimonium est, sed *angelis dei similes erunt resurrectionis filii.* Illud ergo *Non vestrum est nosse tempora vel momenta*, *quae pater posuit pro sua potestate*, non eo spectat ut con-

1. *Οὐχ . . . ἐξουσίᾳ*] Actt. apostt. I. 7..

2. *Πολλὰ . . . ἀλήθειαν*] Evang. Joann. XVI. 12..

3. *Τὴν . . . καταργεῖ*] Ep. 1. ad Cor. VI. 13..

4. *ἰσάγγελοι . . . υἱοί*] Ev. Luc. XX. 36..

5. *Οὐχ ... ἐξουσίᾳ*] Vid. not. 1..

βεβαιωτικὸν ἐρωτησάντων ἐν τῇ κατ' ἄγνοιαν ὑπολήψει, ἀλλ' ἀπορητικὸν ἀμφοτέρων, τῆς τε κατὰ τὸν χρόνον καὶ τῆς κατὰ τὸν 467
τρόπον ὑπολήψεως τῶν ἐρωτησάντων. Δηλοῖ δὲ καὶ ὁ ἀπόστολος Παῦλος τὸν τρόπον ἐκείνης τῆς καταστάσεως ἐν οἷς λέγει· [6]Ἡ βασιλεία τοῦ θεοῦ οὐκ ἔστι βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ.

Ἐρώτησις ριγ'.

[1]Εἰ τέλειον τότε νοοῦμεν [2]τὸ τέλειον [κατὰ τὸ εἰωθὸς] ὅτε πάντα κέκτηται τέλεια, τέλειον δὲ ἄκρως τὸ καθ' ὁτιοῦν προσ- B
θήκην ἢ αὔξησιν μὴ δεχόμενον, πῶς ὁ θεὸς μὲν προϋπάρχων τῆς κτίσεως, ὕστερον δὲ τὴν κτίσιν ποιησάμενος, οὕτω [3]θεὸς τὸ δημιουργὸς ὄνομά τε καὶ πρᾶγμα προσέλαβε, καὶ ἐκ τοῦ θεὸς εἰς τὸ καὶ δημιουργὸς εἶναι τὴν αὔξησίν τε καὶ τὴν γένεσιν δέδεκται;

Ἀπόκρισις.

Ἄλλο τὸ [4]αὐτὸ εἶναι, καὶ ἄλλο τὸ ἄλλου εἶναι· ἄσχετον μὲν C
τὸ αὐτὸ εἶναι, σχετικὸν δὲ τὸ ἄλλου εἶναι. Ἐπειδὴ οὖν τὸ τέλειον τοῦ θεοῦ ἐν τῷ αὐτὸ εἶναι, διὰ τοῦτο οὐκ αὔξει αὐτὸν τὸ ἄλλου εἶναι. Καὶ καθάπερ τὸ ἀρχὴν εἶναι ἀριθμοῦ οὐδὲν συντελεῖ τῷ ἑνὶ πρὸς τὴν αὐτοῦ τελειότητα (καὶ γὰρ μὴ ὄντος αὐτοῦ ἀρχῆς ἀριθμοῦ τέλειον ἦν, καὶ γινομένου αὐτοῦ ἀρχῆς ἀριθμοῦ οὐκ ηὐξήθη), οὕτως καὶ ὁ θεὸς πρὸ τῆς κτίσεως ἦν τέλειος, καὶ μετὰ τὴν κτίσιν οὐκ ηὐξήθη. Οὐδὲν οὖν τῶν διὰ τῆς κτίσεως αὔξει θεόν ([5]Σὺ γάρ, φησίν, ὁ αὐτὸς εἶ), ἀλλὰ τὴν σχέ- D
σιν ἣν ἔχει πρὸς τὴν κτίσιν πολυτρόπως ([6]Σφόδρα, φησίν, ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς), καὶ γὰρ ὡς πατὴρ καὶ δεσπότης καὶ κριτὴς καὶ ποιμὴν καὶ τὰ τούτοις ὅμοια. [7]Καὶ κα-

6. Ἡ βασιλεία ... ἁγίῳ] Ep. ad Rom. XIV. 17..

1. Εἰ τέλειον etc.] De Quaestt. 113. et 114., ab Origenis sentiendi ratione non abhorrentibus, Gassium l. c. p. 78. sq. adeas.

2. τὸ τέλειον etc.] Codd. msti, Stephan., Sylburg., Morell. τὸ τέλειον * ὅτε —. Maranus spatium vacuum prorsus neglexit, at Sylburgius supplevit *κατὰ τὴν συνήθειαν λεγόμενον (quod perfectum more solito dicitur).*

3. θεὸς] Vid. Quaest. 78. not. 8..

4. αὐτὸ εἶναι] Wolfius ἑαυτοῦ εἶναι voluit, quia sequitur ἄλλου εἶναι. Nulla mutandi necessitas.

5. Σὺ ... εἶ] Psalm. CI. 27..

firmentur qui opinione ducti non scienter suscepta interrogaverant, sed ut in angustias conjiciantur utraque, scilicet quae interrogantes opinantur et de tempore et de modo. Declarat vero etiam Paulus modum illius status quum dicit: *Regnum dei non est cibus et potus, sed justitia et pax et laetitia in spiritu sancto.*

Quæstio 113.

Si perfectum esse tum demum intelligimus solito more id quod perfectum est quum omnia habet suis absoluta numeris, perfectum autem id summe est quod prorsus nulla re accessionem vel incrementum recipit: quomodo deus, qui ante creationem fuit et postea creationem perfecit, ita *opificis* et nomen et rem recepit, atque, quum esset deus, opifex factus est et hoc titulo auctus?

Responsio.

Aliud est idem esse, et aliud alterius esse; atque idem quidem esse relationem non admittit, alterius autem esse relationem admittit. Quandoquidem igitur perfectio dei in eo est quod idem sit: idcirco non auget eum id quod alterius est. Ac quemadmodum unitati nihil confert ad ejus perfectionem, quod principium sit numeri (nam etiamsi numeri principium non esset, perfecta tamen esset: et quum principium numeri facta sit, non tamen est aucta): ita deus quoque ante creationem erat perfectus, et post creationem auctus non est. Non igitur quidquam eorum quae per creationem sunt auget deum (*Tu enim*, inquit, *idem es*), sed relationem quam ad creaturam obtinet multifariam (*Nimis*, inquit, *exaltatus es super omnes deos*), scilicet tamquam pater et dominus et judex et pastor et quae sunt his similia. Ac quemad-

6. *Σφόδρα . . . θεούς*] Psalm. XCVI. 9..

7. *Καὶ καθάπερ* etc.] Codd. msti *καὶ καθάπερ* etc. . . . *κόσμους* * *το καὶ δύναται ποιεῖν* etc. . . . *εἰς τὸ ὑπερ* * *ον· εἰ δὲ* etc.. Sic editores quoque, nisi quod Maranus priorem lacunam male praetermisit. Sylburgius autem a Lango monitus legit: *καὶ καθάπερ . . . κόσμους,* [*καίπερ τοῦ*]*το* [*καὶ ἐδύνατο*] *καὶ δύναται ποιεῖν, . . . εἰς τὸ ὑπὲρ* [*πάντας ὑπερυψοῦσθαι, οὕτως οὐδὲ αὔξην τινὰ ἔλαβεν ἐκ τοῦ ἕνα*

θάπερ ὁ θεὸς μὴ ποιήσας πλείονας κόσμους, [καίπερ τοῦ]το καὶ δύναται ποιεῖν, οὐκ ἀτελὴς ἐκ τούτου ἐδείχθη ἡ αὐτοῦ τελειότης εἰς τὸ ὑπερ[υψοῦσθαι αὐτ]όν· εἰ δὲ μὴ ποιήσας πλείονας κόσμους ὁ θεὸς οὐκ ἐμειώθη, οὐδ' ἄρα ποιήσας ἕνα κόσμον ηὐξήθη.

Ἐρώτησις ριδ'. 468

Εἰ τὸ εἶναι τῇ δυνάμει τοῦ εἶναι τῇ ἐνεργείᾳ καθέστηκεν ἔλαττον, πῶς ὁ τοῦ κόσμου ποιητής, πρὸ τῆς τοῦ κόσμου ποιήσεως ποιητὴς [1] ὢν δυνάμει καὶ οὐκ ἐνεργείᾳ, τῷ τῆς ἐλαττώσεως οὐχ ὑποπίπτει ὀνόματι;

Ἀπόκρισις.

Ὧν ἡ δύναμις τῆς ἐνεργείας φυσικῇ τινι ἀνάγκῃ ὑφέστηκεν, B τούτων ἡ δύναμις ἐλάττων τῆς ἐνεργείας καθέστηκεν· οὗ δὲ ἡ δύναμις τῆς ἐνεργείας οὐ φυσικῇ ἀνάγκῃ ἀλλὰ ἰδίᾳ βουλῇ ὑφέστηκεν, οὗτος ἀνυπόβλητος τῷ τῆς ἐλαττώσεως ὀνόματι. [2] Διενοήθης, φησί, καὶ πάντα σοι πάρεστιν.

Ερώτησις ριε'.

Εἰ τὸ κλίνειν τὸ γόνυ ἐν ταῖς προσευχαῖς τοῦ ἑστῶτας εὔχεσθαι μᾶλλον θεῷ τοὺς εὐχομένους [1] παρίστησι καὶ πλεῖον ἐφέλκεται τὴν θείαν συμπάθειαν, διὰ τί ἐν ταῖς κυριακαῖς ἡμέραις καὶ C ἀπὸ τοῦ πάσχα ἕως τῆς πεντηκοστῆς γόνυ οὐ κλίνουσιν οἱ εὐχόμενοι; Πόθεν δὲ καὶ ἡ τοιαύτη ἐν ταῖς ἐκκλησίαις εἰσῆλθε συνήθεια;

Ἀπόκρισις.

[2] Ἐπειδὴ ἀμφοτέρων ἐχρῆν ἡμᾶς ἀεὶ μεμνῆσθαι, καὶ τῆς ἐν ταῖς ἁμαρτίαις πτώσεως ἡμῶν καὶ τῆς χάριτος τοῦ Χριστοῦ ἡμῶν, δι' ἧς ἐκ τῆς πτώσεως ἀνέστημεν, διὰ τοῦτο ἡ ἐν ταῖς ἓξ ἡμέραις ἡμῶν γονυκλισία σύμβολόν ἐστι τῆς ἐν ταῖς ἁμαρτίαις πτώσεως

δημιουργῆσαι κόσμον]· εἰ δὲ etc. — h. e. *et quemadmodum ... imperfecta probata non est perfectio ejus, qua super [omnes deos exaltatus est: ita neque eo, quod unum condidit mundum, incrementum aliquod cepit]; quodsi propterea* etc.. At tamen ista explendi ratione, sequentia si respicis, mira exsisteret tautologia. Maranus: καὶ καθάπερ ... κόσμους, ὃ (pro το) καὶ δύναται ποιεῖν ... εἰς τὸ ὑπερ[υψωθῆναι αὐτ]όν· εἰ δὲ etc.. — Est in enuntiatione, prout supra in textu comparet, duplex ἀνακολουθία: ὁ θεὸς ... ἡ αὐτοῦ τελειότης, atque: κα-

modum, quod deus plures mundos non condiderit, quum id etiam praestare posset, non ideo manca demonstrata est perfectio ejus quominus superexaltetur: — si, inquam, propterea quod plures mundos non condiderit deus imminutus non est, eo certe quod unum mundum condiderit adauctus quoque non est.

Quæstio 114.

Si potestate esse minus est quam actu esse: quomodo mundi conditor, quum ante mundum conditum potestate conditor fuerit et non actu, non huic incommodo subjectus est ut minus de eo dicatur?

Responsio.

Quorum operandi potestas naturali quadam necessitate constat, eorum potestas minor est quam actus; cujus autem potestas operandi non naturali necessitate sed propria voluntate constat, in eum minus non cadit. *Cogitasti*, inquit, *et omnia tibi praesto sunt.*

Quæstio 115.

Si genu flectere in precibus magis deo precatores commendat quam stantes precari ac magis divinam misericordiam conciliat: quare dominicis diebus et a paschate usque ad pentecosten genu non flectunt qui precantur? Unde autem talis etiam in ecclesias ingressum habuit consuetudo?

Responsio.

Quandoquidem utriusque nos semper meminisse oportet, et nostri in peccata lapsus et gratiae Christi nostri, per quam ex peccatis surreximus, idcirco genuum in sex diebus flexio signum est nostri in peccata lapsus: quod autem die domini-

ϑάπερ ... εἰ. Sed nullam habet offensionem. Particula δέ, quod quidem apud classicos quoque scriptores observas, infertur post εἰ, ut ad sententiam primariam (nostr. *also)* revocet.

1. ὢν] Maran. male ὤν.

2. *Διενοήϑης ... πάρεστιν*] Is locus unde sumtus sit equidem nescio; exstat quoque infra in Quæstt. Gentt. ad Christ. 11, 4.: *Διενοήϑης, φησί, καὶ πάρεστιν.*

1. *παρίστησι*] Pro *συνίστησι.*

2. *'Επειδὴ* etc.] Cf. Gass. l. c. p. 117. sq..

ἡμῶν, τὸ δὲ ἐν τῇ κυριακῇ μὴ κλίνειν γόνυ σύμβολόν ἐστι τῆς D
ἀναστάσεως, δι᾽ ἧς τῇ τοῦ Χριστοῦ χάριτι τῶν τε ἁμαρτημάτων καὶ τοῦ ἐπ᾽ αὐτῶν [3] τεθανατωμένου θανάτου ἠλευθερώθημεν. Ἐκ τῶν ἀποστολικῶν δὲ χρόνων ἡ τοιαύτη συνήθεια ἔλαβε τὴν ἀρχήν, καθώς φησιν ὁ μακάριος Εἰρηναῖος, ὁ μάρτυς καὶ ἐπίσκοπος Λουγδούνου, [4] ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ, ἐν ᾧ μέμνηται καὶ περὶ τῆς πεντηκοστῆς, ἐν ᾗ οὐ κλίνομεν γόνυ, ἐπειδὴ ἰσοδυναμεῖ τῇ ἡμέρᾳ τῆς κυριακῆς κατὰ τὴν ῥηθεῖσαν περὶ αὐτῆς αἰτίαν.

Ἐρώτησις ρις΄. 469

Εἰ ἀνιστάμενος ὁ δεσπότης ἀπὸ τοῦ μνήματος [1] τὰ ἐντάφια ἐν τῷ τάφῳ κατέλιπε, πῶς μετὰ τὴν ἀνάστασιν ἢ γυμνὸν αὐτὸν ὀφθέντα ἢ ἑτέρωθεν αὐτὸν ἐσθῆτα κομισάμενον ἡ γραφὴ οὐχ ἱστόρησεν; Εἰ δὲ μήτε ἑτέρωθεν ἀμφιάσματα εἴληφε μήτε γυμνὸς τοῖς τότε αὐτὸν ὁρῶσιν ἐφαίνετο, πῶς ἀληθὲς ὅτι τὰ ἱμάτια ἐν τῷ τάφῳ κατέλιπεν;

Ἀπόκρισις.

Τὰ μὲν ἱμάτια τοῦ σωτῆρος μετὰ τὸ σταυρωθῆναι αὐτὸν B
οἱ στρατιῶται διεμερίσαντο· τὰ δὲ μετ᾽ αὐτοῦ εἰσενεχθέντα εἰς τὸν τάφον [2] ε[ἰς ὑπηρ]εσίαν τοῦ ζῶντος ἀνεπιτήδεια ἦν· τὰ δὲ ἱμάτια, ἃ ἐφόρει ὁ κύριος μετὰ τὴν ἀνάστασιν, ἢ ἐδημιούργησεν ἢ ἔλαβεν ἀλλαχόθεν, ὡς ἔλαβε καὶ τὸν πῶλον εἰς κάθισμα· ἑκάτερον γὰρ ἠδύνατο, καὶ τὸ δημιουργῆσαι καὶ τὸ λαβεῖν ἀλλαχόθεν. Πολλῶν δὲ ὄντων τῶν [3] ὑπὸ τοῦ κυρίου λεχθέντων, ὧν ἡ C
θεία γραφὴ τὰς ἱστορίας οὐ περιέχει, ἐξ ἀνάγκης καὶ τὰ μετὰ τὴν ἀνάστασιν [4] ἐνδύματα [ἐν τοῖς ἀνιστορήτοις τίθενται· καὶ οὐκ

3. τεθανατωμένου] Codd. msti in marg. τετραμμένου.

4. ἐν τῷ περὶ τοῦ πάσχα λόγῳ] De deperdita hac Irenaei scriptione adeas quae Stieren. in *Erschii et Gruberi Allgem. Encyklop. der Wissensch. u. Künste* Sect. II. P. XXIII. (Lips. 1844. 4.) p. 365. (not. 45.) et Gass. l. c. not. 63. observarunt.

1. τὰ ἐντάφια] I. q. in Resp. ad Quaest. 117. τὰ τοῦ ἐνταφιασμοῦ ἱμάτια. Eadem significatione reperitur ista vox apud Lucianum.

2. εἰς ὑπηρεσίαν] Codd. msti et editi ε * εσίαν. Sylburgius hanc quoque supplendi rationem proponit: ἐ[κεῖνα εἰς ὑπηρ]εσίαν — quum ejusmodi epanalepsis huic scriptori non infrequens sit.

3. ὑπὸ τοῦ κυρίου] Addendum est vel subaudiendum γεγονέναι (Ma-

ca genu non flectimus signum est resurrectionis, per quam Christi gratia et a peccatis liberati sumus et a debita peccatis morte quae destructa est. Ab apostolicis autem temporibus initium habuit ejusmodi consuetudo, quemadmodum ait beatus Irenaeus, martyr et episcopus Lugdunensis, in libro de paschate, in quo etiam pentecostes meminit, in qua non flectimus genu, quia ejusdem momenti est ac dies dominica secundum allatam de hac die causam.

Quæstio 116.

Si resurgens dominus ex monumento vestimenta sepulcralia in sepulcro reliquit: quomodo eum post resurrectionem aut nudum apparuisse aut aliunde vestimenta sumsisse scriptura non enarravit? Sin neque aliunde amictum sumsit neque nudus iis qui eum tunc viderunt apparuit: quomodo verum est vestimenta illum in sepulcro reliquisse?

Responsio.

Servatoris quidem vestimenta milites, postquam eum crucifixere, partiti sunt; quae autem cum eo in sepulcrum illata sunt non erant ad usum viventis idonea; vestimenta vero, quae post resurrectionem dominus gestavit, vel creavit vel aliunde sumsit, quemadmodum etiam pullum sumsit cui insideret: utrumque enim poterat, et creare et aliunde sumere. Quum autem multa sint a domino facta, quorum historiam divina scriptura non continet, necessario etiam vestimenta, quae post resurrectionem gestavit, in eorum numero ponuntur quae

ran.), aut legendum *λεχθέντων* [*τε*] *καὶ πραχθέντων* (ita ut ansa erroris cernatur in repetito *—θέντων*), aut — quod ob ea quae sequuntur praeferendum videtur — pro *λεχθέντων* scribendum *πραχθέντων*.

4. *ἐνδύματα* etc.] Codd. msti et editi *ἐνδύματα * ιν εὔλογον τὸ ἐκ πάντων τῶν ἀνιστορ * ἀνιστορήτου ζητεῖν τὴν αἰτίαν, οὐ * τοῦ ἀνιστορήτου* etc.. Sylburgio lacuna sic explenda videtur esse: *ἐνδύματα [ἢ ὑπ' αὐτοῦ τοῦ κυρίου ἐδημιουργήθη ἢ ἀλλαχόθεν ἐλήφθη· ἔχει μὲν γὰρ πρόφασ]ιν εὔλογον τὸ ἐκ πάντων τῶν ἀνιστορ[ημένων παντὸς τοῦ] ἀνιστορήτου ζητεῖν τὴν αἰτίαν, οὐ [μὴν καὶ εὔλογον τὸ ἐκ] τοῦ ἀνιστορήτου* etc. — transfert: ... *etenim plausibilem rationem habet, ex omnibus in historiam relatis cujusvis in historia*

ἔστ]ιν εὔλογον τὸ ἐκ πάντων τῶν ἀνιστορ[ήτων μόνου τούτου] ἀνιστορήτου ζητεῖν τὴν αἰτίαν, οὐ[δ' ἐκ] τοῦ ἀνιστορήτου κατασκευάζειν τὴν ἀπορίαν περὶ τοῦ ἐνδύματος τοῦ κυρίου, ἀλλ' ἐκ τῆς δυνάμεως αὐτοῦ λαβεῖν τὴν πίστιν περὶ τοῦ ἐνδύματος αὐτοῦ.

Ἐρώτησις ριζ'.

[1] Εἰ σῶμα παχυμερὲς θυρῶν κεκλεισμένων κεκωλυμένην ἔχει D
τὴν πάροδον, πῶς μετὰ τὴν ἀνάστασιν πρὸς τοὺς μαθητὰς τῶν θυρῶν κεκλεισμένων εἰσῆλθεν ὁ κύριος; Ἀλλ' εἰ μὲν ἀληθὲς ὅτι τὸ κεκλεισμένων τῶν θυρῶν ἔνδον ὁρώμενον σῶμα ἐτύγχανε, πῶς ὁ λίθος ὁ τῷ δεσποτικῷ ἐπικείμενος μνήματι ὑπὸ τοῦ ἀγγέλου ἀπεκυλίσθη διὰ τὴν αὐτοῦ τοῦ σώματος ἔγερσιν; Εἰ δὲ ἀληθεύει ἡ γραφὴ περὶ τῆς τῶν θυρῶν λέγουσα κλείσεως, δῆλον ὅτι οὐ σῶμα ἀλλὰ πνεῦμα εἰσῆλθεν. Εἰ δὲ τὸ σῶμα ποτὲ μὲν ἦν σῶμα, ποτὲ δὲ πνεῦμα ἐγίνετο, πῶς οὐχὶ τροπὴν τὰ τῆς τοῦ σώματος οὐσίας ἐδέχετο;

Ἀπόκρισις. 470

[2] Ὥσπερ οὐ κατὰ τὴν ἐκ τοῦ σώματος εἰς τὸ πνεῦμα τροπὴν περιεπάτησεν ὁ κύριος ἐπὶ τὴν θάλατταν, ἀλλὰ τῇ θείᾳ αὐτοῦ δυνάμει βατὴν ἐποίησε τὴν εἰς περιπάτησιν ἄβατον θάλατταν οὐ μόνον τῷ ἑαυτοῦ σώματι ἀλλὰ καὶ τῷ τοῦ Πέτρου, οὕτως τῇ ἑαυτοῦ θείᾳ δυνάμει καὶ τοῦ μνήματος ἐξῆλθε τοῦ λίθου ἐπικειμένου τῷ μνήματι, καὶ πρὸς τοὺς μαθητὰς εἰσῆλθε τῶν θυρῶν κεκλεισμένων. Οὐ γὰρ διὰ τὴν αὐτοῦ ἔγερσιν τοῦ λίθου ἐκ B
τοῦ μνήματος ἐγένετο ἡ ἀφαίρεσις, ἀλλὰ διὰ τὸ δηλωθῆναι τοῖς ὁρῶσι τὴν ἀνάστασιν· τὸ γὰρ ἐν τῷ μνήματι τὰ μὲν τοῦ ἐνταφιασμοῦ αὐτοῦ ὁρᾶν ἱμάτια, αὐτὸν δὲ μὴ ὁρᾶν, δεῖγμα τῆς αὐτοῦ ἐναργέστατον γέγονεν ἀναστάσεως. Χρὴ δὲ ἡμᾶς ἐννοῆσαι ὅτι τὰ ἰσοδύναμα τὴν αὐτὴν ἔχει πίστιν συγχωρουμένων αὐτῶν

praetermissi causam quaerere: at non item rationabile fuerit, ex eo quod in historiam relatum non sit, dubitationem exstruere de domini vestimento, sed etc.. Marano autem haec scribendi ratio placet: ἐνδύματα [ἀνιστόρητα ὄντα, οὐκ ἔστ]ιν εὔλογον τὸ ἐκ πάντων (τῶν post πάντων omisit) ἀνιστο[ρήτων μόνου τούτου] ἀνιστορήτου ζητεῖν τὴν αἰτίαν, οὐ[δ' ἐκ] τοῦ ἀνιστορήτου etc. — interpretatur: *Cum autem multa sint ... non continet, necessario et Christi vestimenta cum*

non sunt narrata; atque aequum non est ex omnibus rebus, quae narratae non fuerunt, de hac una causam quaerere cur narrata non fuerit, neque ex eo quod narrata non fuerit est dubitatio conflanda de domini vestitu, sed ex ejus potentia fides vestitus ejus petenda.

Quæstio 117.

Si corpus crassum foribus clausis prohibitum habet ingressum: quomodo post resurrectionem ad discipulos januis clausis venit dominus? Atenim si verum est id quod foribus clausis intus visum est fuisse corpus: quomodo lapis dominico impositus monumento ab angelo revolutus est propter ipsius corporis resurrectionem? Sin autem verum est quod dicit scriptura januas fuisse clausas, manifestum est non corpus sed spiritum ingressum fuisse. Sed si corpus alias corpus erat, alias spiritus fiebat: quomodo non mutata est corporis essentia?

Responsio.

Quemadmodum non corporis in spiritum mutatione ambulavit dominus super mare, sed divina sua potentia impervium ad ambulandum mare pervium fecit non solum suo sed etiam Petri corpori: ita divina sua potentia et e monumento exiit quum lapis monumento impositus esset, et ad discipulos venit quum januae clausae essent. Non enim propter ejus resurrectionem lapis e monumento ablatus est, sed ut videntibus ostenderetur resurrectio; nam quum in monumento illius quidem vestes, quibuscum sepultus fuerat, viderentur, ipse autem non videretur, signum id fuit manifestissimum ipsius resurrectionis. Illud porro nobis considerandum est, quae ejusdem sunt momenti ea pariter et concessa et negata fidem ob-

in hoc numero ponenda sint: aequum non est ex tot rebus etc.. Sed commation τὰ μετὰ τὴν ἀνάστασιν ἐνδύματα ἀνιστόρητα ὄντα in ista orationis structura ferri nequit.

1. *Εἰ* etc.] Quaestionis materiam evv. Joann. XX. 19. sqq. et Matth. XXVIII. 2. praebuere.

2. Ὥσπερ etc.] Cf. ev. Matth. XIV. 24. sqq..

καὶ τὴν αὐτὴν ἔχει [3] πίστιν ἀναιρουμένων αὐτῶν· ἰσοδυναμεῖ δὲ τὸ περιπατεῖν ἐπὶ τὴν θάλατταν ἐν [4] ἀτρέπτῳ σώματι τῷ εἰσελ- C θεῖν πρὸς τοὺς ἀποστόλους ἐν ἀτρέπτῳ σώματι τῶν θυρῶν κεκλεισμένων. Καὶ ὅτι τὰ ὑπὲρ φύσιν ἐν τῇ φύσει γινόμενα κατὰ τὴν θείαν δύναμιν ἀδύνατον κατὰ τὸν λόγον τῆς φύσεως ποιήσασθαι τὴν παράστασιν, διὸ πτοηθέντων τῶν μαθητῶν ἐπὶ τῇ τοιαύτῃ εἰσόδῳ ἐπέτρεψεν αὐτοῖς ψηλαφᾶν τοὺς πεπονθότας τόπους τοῦ σώματος αὐτοῦ, ὅτι οὐ κατὰ τροπὴν τοῦ σώματος εἰς [5] τὸ πνεῦμα ἐποίησεν εἰς αὐτοὺς τὴν εἴσοδον, ἀλλὰ ἐν παχυμερεῖ σώματι τῇ θείᾳ αὐτοῦ δυνάμει ποιητικῇ τῶν ὑπὲρ φύσιν.

Ἐρώτησις ριη'.

Εἰ πάντα ὁ θεὸς ποιήσας κατὰ κύκλον τῆς φύσεως τοῦ παν- D τὸς δεσπότης καθέστηκε, διὸ καὶ Δαυὶδ ἐν παντὶ τόπῳ τῆς τοῦ κυρίου δεσποτείας εὐλογεῖν ἡμῖν τὸν κύριον [1] ἐγκελεύεται, ὁμοίως δὲ καὶ ὁ ἀπόστολος ἐν παντὶ τόπῳ ἐπαίρειν ἡμᾶς πρὸς τὸν θεὸν ὁσίους χεῖρας [2] ἐντέλλεται, διὰ τί, ὡς σεμνὸν ἔργον τε καὶ οἰκητήριον θεῖον τὸ πρὸς τὸ ἡλιακὸν κλίμα νομίζοντες, ἐν αὐτῷ ἀφορῶντες τοὺς ὕμνους καὶ τὰς προσευχὰς τῷ θεῷ ἀναπέμπομεν; Τίνες δὲ καὶ οἱ ταύτην τὴν συνήθειαν [3] τοῖς Χριστιανοῖς ἐκδιδάξαντες;

Ἀπόκρισις. 471

[4] Ἐπειδὴ τῶν παρ' ἡμῖν τὰ τιμιώτερα εἰς τιμὴν τοῦ θεοῦ ἀφορίζομεν, κατὰ δὲ τὴν τῶν ἀνθρώπων ὑπόληψιν τιμιωτέρα ἐστὶν ἡ ἀνατολὴ τῶν ἄλλων μερῶν τῆς κτίσεως, διὰ τοῦτο ἐν τῷ καιρῷ τῆς προσευχῆς νεύομεν πρὸς ἀνατολὴν πάντες. [5] Καθάπερ τῇ δεξιᾷ χειρὶ ἐν ὀνόματι Χριστοῦ κατασφραγίζομεν τοὺς τῆς σφραγῖδος ταύτης δεομένους, ἐπειδὴ τιμιωτέρα νενόμισται τῆς ἀριστερᾶς, καί-

3. πίστιν] Legendum videtur (Maran.) ἀπιστίαν, ut reddendum sit: *ea et concessa pariter credi et negata pariter rejici.* Sensus: Idem valet Christi deambulatio super mare corpore non mutato et ingressus ad discipulos foribus clausis corpore non mutato; quodsi talem ingressum negaveris, etiam concessam istiusmodi deambulationem negabis. Utrumque, deambulatio et ingressus, miraculoso modo factum est, divina Christi potestate.

4. ἀτρέπτῳ] Scribendum Maran. existimavit τρέπτῳ. Male.

5. τὸ] Maran. contra codd. omisit.

1. ἐγκελεύεται] Cf. Ps. CII. 22.

tinere; ejusdem autem momenti est mare perambulare corpore non mutato atque ingredi ad apostolos corpore non mutato foribus clausis. Et quia quae in natura supra naturam divina potentia fiunt ea non possunt petita ex natura ratione demonstrari, propterea discipulis ejusmodi ingressu exterritis permisit ut contrectarent corporis sui partes, quae passae fuerant, ac viderent se non corporis mutatione in spiritum ad eos ingressum esse, sed solido corpore per divinam suam potentiam ea quae supra naturam sunt operantem.

Quæstio 118.

Si deus, quia omnia fecit quae naturae ambitu continentur, universi dominus exstitit, unde et David hortatur ut in omni loco domini dominationis benedicamus dominum, et apostolus similiter praescribit ut in omni loco puras manus ad deum tollamus: quare, ut opus venerabile et dei sedem habentes eam partem quae ad solem orientem posita est, ad eam respicimus quum hymnos et preces deo offerimus? Quinam autem hanc etiam consuetudinem Christianos edocuerunt?

Responsio.

Quandoquidem eorum quae apud nos sunt praestantiora in honorem dei destinamus, hominum autem opinione praestat oriens caeteris mundi partibus: idcirco precationis tempore convertimur omnes ad orientem. Quemadmodum dextra manu in nomine Christi consignamus eos qui hoc signaculo indigent, quia honorabilior existimatur quam laeva, quamvis situ et non

2. *ἐντέλλεται*] Cf. ep. 1. ad Tim. II. 8..

3. *τοῖς Χριστ. ἐκδιδ.*] Exspectabas *τοὺς Χριστιανοὺς ἐκδιδάξαντες*. Sed etiam in Apoc. II. 14. comparet *διδάσκειν* sequente dativo personae, secundum recentt. editt.: *ὃς ἐδίδασκεν τῷ Βαλάκ*.

4. *Ἐπειδὴ* etc.] Cf. Tertullian. Apol. c. 16.. Alios patres de eodem ritu disputantes laudarunt Jac. Thomasius De ritu veterum Christianorum precandi versus orientem (Lips. 1670. 4.) c. 2. et 8. et Gass. l. c. p. 119. sq.. — Pseudo-Justinus haud dubie ad Origen. de orat. c. 32. respexit.

5. *Καθάπερ ... ὑπάρχει· οὕτως*] Vulgo male sic distinctum est: ... *πάντες· καθάπερ . . . ὑπάρχει. οὕτως* etc..

τοι θέσει καὶ οὐ φύσει διαφέρουσα ταύτης ὑπάρχει· οὕτως καὶ ἡ B ἀνατολή, ὡς τιμιώτερον μέρος τῆς κτίσεως, εἰς προσκύνησιν θεοῦ ἀφώρισται. Οὐκ ἐναντιοῦται δὲ τῇ προφητικῇ τε καὶ ἀποστολικῇ φωνῇ τὸ πρὸς τὴν ἀνατολὴν ποιεῖν ἡμᾶς τὰς εὐχάς. Ἐν παντὶ γὰρ τόπῳ ὑπάρχει ἡ ἀνατολὴ τοῖς εὐχομένοις· καὶ ἐπειδὴ ἐφ' ὃ μέρος [6] τὴν ὁρατὴν αἴσθησιν κεκτήμεθα κατὰ τοῦτο τὸ μέρος προσκυνοῦμεν, ἀδύνατον δὲ ἐν τῷ καιρῷ τῆς προσευχῆς εἰς τὰ τέτταρα μέρη τῆς κτίσεως ἀποβλέπειν, διὰ τοῦτο εἰς τὸ ἓν μέρος τῆς κτίσεως ἀφορῶντες ποιοῦμεν τὴν προσκύνησιν, οὐχ ὡς μόνον ἔργον τοῦ C θεοῦ οὐδ' ὡς εἰς κατοικητήριον τοῦ θεοῦ τοῦτο ἀφωρισμένον, ἀλλ' εἰς τόπον προσκυνήσεως τῆς παρ' ἡμῶν προσαγομένης θεῷ τεταγμένον. Τὸ δὲ ἔθος, παρ' ὧν εἴληφεν ἡ ἐκκλησία τὸ εὔχεσθαι, παρὰ τούτων [7] εἴληφε καὶ τὸ ποῦ εὔχεσθαι, τοῦτο δὲ παρὰ τῶν ἁγίων ἀποστόλων.

Ἐρώτησις ριθ'.

Εἰ [1] μήτε τοὺς ἐκ τῶν δένδρων καρποὺς μήτε τῆς τῶν κρεῶν ἐδωδῆς οἱ πρὸ τοῦ κατακλυσμοῦ μετελάμβανον, καθὼς τινες τῶν D πατέρων ἐδίδαξαν, πῶς ὁ Ἄβελ ἐκ τῶν στεάτων τῶν προβάτων ὧν ἐποίμαινε, καὶ ὁ Κάϊν ἐξ ὧν ἐγεώργει καρπῶν τῆς γῆς ὁμοίως [2] προσέφερε; Καὶ δῆλον ὡς ἑκάτερος αὐτῶν τῆς οἰκείας βρώσεως προτιμῶν τὸ θεῖον τῇ τοιαύτῃ θυσίᾳ ἐκέχρητο. Εἰ δὲ τὰ ἄχρηστα αὐτοῖς τῷ θεῷ προσεκόμιζον, πῶς τῇ τοιαύτῃ προσφορᾷ τὸ ἀεὶ ὂν οὐχ ὕβριζον; Ἀζήμιον γὰρ αὐτῷ καὶ χλευαστικὴν χάριν ἕκαστος αὐτῶν κατετίθετο. Πῶς οὖν ἡ μὲν τοῦ Κάϊν θυσία ἀπόβλητος, τὰ δὲ τοῦ Ἄβελ δῶρα αἰδέσιμα γέγονεν;

Ἀπόκρισις. 472

Ὁ μακάριος ἀπόστολος, ὁ τῶν πατέρων πατὴρ καὶ εὐσεβείας διδάσκαλος, φησί· [3] Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Τίς ποιμαίνει ποίμνιον, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; — ἀντὶ τοῦ οὐδείς. Ἀλλ' εἰ μηδείς, δῆλον ἄρα ὅτι οὐδὲ ὁ Ἄβελ ἐποίμαινε τὴν ποίμνην, ἵνα μὴ ἐσθίῃ τοῦ γά-

6. τ. ὁρατὴν αἴσθ. κεκτ.] Langus: *in quam partem videndi sensum convertimus*. Vult Maran. legi τῇ ὁρατικῇ αἰσθήσει κεχρήμεθα. Non mutamus.

7. εἴληφε] Vulgo εἰληφέναι.

1. μήτε τοὺς ἐκ τῶν δένδρων καρποὺς] Quum absurdum dictu sit

natura differat: ita oriens, ut pars mundi praestantior, ad deum adorandum est destinatus. Neque propheticae autem neque apostolicae voci repugnat, ut ad orientem precemur. Nam in omni loco praesto est oriens precantibus; et quia in quam mundi partem adspiciendi facultatem habemus ad eam partem adoramus, fieri autem non potest ut precationis tempore ad quatuor mundi partes respiciamus: propterea ad unam mundi partem respicientes adorationem perficimus, non quod sola sit opus dei et deo ad habitandum destinata, sed ad locum adorationis, quam deo exhibemus, apposita. A quibus autem ecclesia morem precandi accepit ab iis etiam accepit ubi precandum sit consuetudinem, id est a sanctis apostolis.

Quæstio 119.

Si neque arborum fructibus neque escis carnium homines ante diluvium utebantur, prout patrum nonnulli dixere: quomodo Abel ex adipe ovium, quas pascebat, et Cain ex fructibus terrae, quos colebat, sacrificium similiter obtulit? Ac liquet utrumque, dum proprio cibo numen divinum habet potius, ejusmodi sacrificio usum esse. Sin quae inutilia ipsis erant ea obtulerunt deo: quomodo ejusmodi sacrificio id quod semper est non contumelia affecerunt? Immune enim ei et ridiculum donum uterque offerebat. Quomodo igitur Caini victima rejecta, Abelis vero dona in pretio fuerunt?

Responsio.

Beatus apostolus, patrum pater et pietatis doctor, ait: *Quis plantat vineam, et de fructu ejus non edit? Quis pascit gregem, et de lacte gregis non edit?* — id est *nemo*. Quodsi nemo, liquet profecto neque Abelem ita gregem pavisse, ut de lacte gregis sui non ederet, neque Cainum ita

ne fructus quidem arborum cibum ante diluvium fuisse, Marano (in Add.) emendandum hoc modo videtur: *Εἰ μηδενὸς εἰ μὴ τοῦ ἐκ τῶν δένδρων καρποῦ —: si neque ullo nisi arborum fructu.* Mutatio nimis magna.

2. *προσέφερε*] Cf. Gen. IV. 3. sq..

3. *Τίς ... ἐσθίει*] Ep. 1. ad Cor. IX. 7..

λακτος τῆς ποίμνης αὐτοῦ, οὔτε ὁ Κάϊν ἐγεώργει τὴν γῆν, ἵνα μὴ ἐσθίῃ τῶν καρπῶν αὐτῆς. Ἔτι δὲ εἰ ἄχρηστοι ἦσαν τῷ Κάϊν οἱ καρποὶ τῆς γῆς, τίνος ἕνεκεν τοῖς χείροσι μὲν ἐτίμα τὸν θεόν, B
τοῖς κρείττοσι δὲ [4] ἑαυτὸν τοῦ θεοῦ προετίμησε (διὸ ἀπόβλητος αὐτοῦ γέγονεν ἡ θυσία), [5] μὴ χρήζων τῶν καρπῶν τῆς γῆς; Εἰ δὲ προετίμησεν ὁ μὲν Ἄβελ τῆς ἰδίας χρείας τὸν θεόν, ὁ δὲ Κάϊν τὴν ἰδίαν χρείαν τοῦ θεοῦ, δῆλον ἄρα ὅτι ἕκαστος αὐτῶν τῆς ἐκ τῶν οἰκείων πόνων ἔχρῃζε θεραπείας.

Ἐρώτησις ρκ'.

Εἰ [1] βασιλείαν τοῦ θεοῦ τὴν ἀνάστασίν τινες ὑπειλήφασι, δίκαιοι δὲ καὶ ἁμαρτωλοὶ ταύτης ἀξιωθῆναι πιστεύονται, πῶς τοὺς τὰ ἀπηγορευμένα ποιήσαντας ἀποκληρονόμους ὁ Παῦλος ἀπέφαι- C
νε, φήσας ὅτι [2] Οὔτε πόρνοι οὔτε μοιχοὶ καὶ οἱ ἐφεξῆς βασιλείαν θεοῦ κληρονομήσουσιν;

Ἀπόκρισις.

Βασιλείαν θεοῦ [3] οἶδεν ἡ θεία γραφὴ ὀνομάζειν οὐ τὴν ἀνάστασιν ἁπλῶς, ἀλλὰ τὴν μετὰ τὴν ἀνάστασιν ἀποκατάστασιν, ἐν ᾗ γίνεται κολαζομένων τε καὶ δοξαζομένων ἡ διαίρεσις, τοῦ θεοῦ ὑπὸ πάντων ἀναμφιβόλως ὁμολογουμένου, τοῦ τὴν δόξαν ἐν τοῖς δοξαζομένοις ἐνεργοῦντος καὶ τὴν κόλασιν ἐν τοῖς κολαζομένοις. D
[4] Ἀκούσονται, φησί, τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ οἱ ἐν τοῖς μνημείοις, καὶ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Διήρηται οὖν ἡ ἀνάστασις εἰς ζωὴν καὶ κρίσιν, κατὰ τὰς διαφορὰς δικαίων τε καὶ ἀδίκων. Ἐπὶ πλέον γὰρ ἡ ἀνάστασις τῆς βασιλείας τοῦ θεοῦ· ἡ μὲν γὰρ ἀνάστασις δικαίους τε καὶ ἀδίκους περιέχει, ἡ δὲ βασιλεία τοῦ θεοῦ μόνους τοὺς δικαίους περιέχει.

Ἐρώτησις ρκα'. 473

Εἰ ἀναθεματισμὸν μόνον ἐπὶ τῶν ἀτόπων ἡ παλαιά τε καὶ νέα διαθήκη ἐπίσταται, πῶς ὁ μακάριος Πέτρος, ἐν τῷ πάθει

4. ἑαυτὸν] Vulgo αὐτόν. Causa erroris est litera praecedentis voculae ultima.

5. μὴ χρήζων]. Frustra [Sylburgius legendum existimavit μὴ χρήζοντος vel μὴ χρήζουσα. Parenthesis, quam apposui, locum illustrat. *Maranus.* Praebent nempe ille V. D. et Morellus: προετίμησε; διὸ ... θυσία, μὴ ... γῆς. εἰ δὲ etc..

coluisse terram, ut de frugibus ejus non vesceretur. Praeterea si inutiles erant Caino fruges terrae: quamobrem deterioribus deum colebat, in melioribus vero seipsum deo potiorem habebat (unde etiam rejecta est ejus victima), si frugibus terrae non indigebat? Quodsi Abel proprio usu deum potiorem habuit, Cain autem proprium usum deo praetulit: liquet profecto utrumque commodis, quae ex propriis laboribus percipiebant, indiguisse.

Quæstio 120.

Si *regnum dei* resurrectionem esse nonnulli existimarunt, hanc autem et justi et peccatores sortituri creduntur: quomodo qui vetita committunt eos exhaeredes declarat Paulus, dicens: *Neque fornicarii neque adulteri* et qui deinceps recensentur *regni dei haeredes erunt?*

Responsio.

Regnum dei solet divina scriptura appellare non resurrectionem simpliciter, sed eam quae post resurrectionem futura est restitutionem, in qua puniendorum et glorificandorum fit distinctio, omnibus deum manifeste confitentibus, qui gloriam in glorificandis operatur et poenam in puniendis. *Audient*, inquit, *vocem filii dei qui in sepulcris sunt*, *et exibunt qui bona fecerunt in resurrectionem vitae*, *qui vero prava egerunt in resurrectionem judicii.* Divisa est igitur resurrectio in vitam et judicium, pro justorum et injustorum discrimine. Latius enim patet resurrectio quam regnum dei: nam resurrectio justos et injustos complectitur, regnum autem dei solos justos complectitur.

Quæstio 121.

Si *anathematismum* in rebus tantum nefandis et vetus et novum foedus usurpant: quomodo beatus Petrus, in passione

1. *βασιλείαν*] Codd. msti et Stephan. inepte *βεβαίαν*.

2. *Οὔτε* ... *κληρονομήσουσιν*] Ep. 1. ad Cor. VI. 9. sq.. — Coll. ep. ad Gal. V. 19. sqq. et ad Ephes. V. 5..

3. *οἶδεν*] Vid. Quæst. 54. not. 4..

4. *Ἀκούσονται* ... *κρίσεως*] Ev. Joann. V. 28. sq..

τὸν δεσπότην ἀρνούμενος, ἀναθεματίζειν ἤρξατο; Τίς δὲ ἡ διαφορὰ ἑκατέρων, τουτέστι τοῦ ἀναθεματισμοῦ καὶ τοῦ καταθεματισμοῦ, καὶ τί τὸ ὑπὸ θατέρου σημαινόμενον;

Ἀπόκρισις.

Ἀνάθεμα λέγεται τὸ ἀνακείμενον καὶ ἀφωρισμένον θεῷ καὶ B
εἰς κοινὴν χρῆσιν μηκέτι λαμβανόμενον, ἢ τὸ ἀπηλλοτριωμένον θεοῦ διὰ κακίαν· *) κατάθεμα δέ ἐστι τὸ συνθέσθαι τοῖς ἀναθεματίζουσιν.

Ἐρώτησις ρκβ'.

Εἰ ὥραις καὶ ἡμέραις τὰ καθ' ἡμᾶς οὐ κατέχεται, πῶς ἐν τῷ γάμῳ ὁ κύριος ἔλεγε τὸ [1] Οὔπω ἥκει ἡ ὥρα μου; καὶ ὁ εὐαγγελιστὴς περὶ αὐτοῦ τὸ [2] Οὐδεὶς ἔβαλε τὰς χεῖρας ἐπ' αὐτόν, ὅτι οὔπω ἦλθεν ἡ ὥρα αὐτοῦ;

Ἀπόκρισις. C

Εἰ καὶ ὥραις καὶ ἡμέραις τὰ καθ' ἡμᾶς οὐ κατέχεται, ἀλλ' ὅμως τῶν παρ' ἡμῶν ἢ περὶ ἡμᾶς γινομένων τὰ μὲν γίνεται ἐν ἐπιτηδείῳ καιρῷ, τὰ δὲ ἐν ἀνεπιτηδείῳ. Καλεῖ οὖν ἡ θεία γραφὴ τὸν ἐπιτήδειον πρὸς τὸ γινόμενον πρᾶγμα καιρὸν παρουσίαν τῆς ὥρας, τὸν δὲ ἀνεπιτήδειον ἀπουσίαν τῆς ὥρας. Καὶ ἐπειδὴ μετὰ τὴν ποίησιν τοῦ οἴνου καιρὸν ἐπιτήδειον ἡγεῖτο ὁ κύριος τῆς ἐκ τοῦ γάμου ἀναχωρήσεως, διὰ τοῦτο πρὸ τῆς ποιήσεως τοῦ οἴνου εἶπεν ὁ κύριος· Οὔπω ἥκεν ἡ ὥρα μου. Καὶ πάλιν ἐπειδὴ ἐν τῷ καιρῷ τοῦ πάσχα τῶν Ἰουδαίων ἐχρῆν τὸν D
κύριον συλληφθῆναι καὶ παθεῖν ἃ ἔπαθε, διὰ τοῦτο πρὸ τοῦ πάσχα ἐῤῥήθη περὶ αὐτοῦ τὸ Ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐλήλυθεν ἡ ὥρα αὐτοῦ· οὐ τῆς ἀνάγκης τῆς ὥρας κωλυούσης αὐτοῦ τὴν σύλληψιν, [3] ἀλλ ἡ τοῦ θεοῦ πρόνοια [ἄλλον αὐτῇ τόπον προωρίσατο· ἄλλως γὰρ] τῇ ἀνάγκῃ τῆς ὥρας ἐκωλύετο τοῦ κυρίου ἡ σύλληψις, καὶ οὐκ ἂν ταύτην

*) κατάθεμα etc.] Gass. l. c. p. 111. not. 58.: „Die letzte Erklärung, wenn sie eine Bibelstelle angehen soll, kann sich wohl nur auf *Offenb.* 22, 3. καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἔτι beziehen, und wir erhalten einen Grund mehr, hier κατάθεμα, nicht mit dem gewöhnlichen Texte κατανάθεμα zu lesen."

1. Οὔπω . . . μου] Ev. Joann.

dominum negans, anathematizare coepit? Quodnam autem utriusque discrimen, id est *anathematismi* et *catathematismi*, et quid separatim significant?

Responsio.

Anathema dicitur id quod consecratum est et sepositum deo neque in communem usum assumitur, vel quod a deo propter nequitiam abalienatum est; *catathema* autem est assentiri anathematizantibus.

Quæstio 122.

Si horis et diebus res nostrae non continentur: quomodo in nuptiis dominus dicebat illud *Nondum venit hora mea?* et evangelista de eo illud *Nemo manus ei injecit*, *quia nondum venerat hora ejus?*

Responsio.

Etsi horis ac diebus res nostrae non continentur, eorum tamen quae a nobis fiunt aut nobis eveniunt alia opportuno fiunt tempore, alia non opportuno. Divina igitur scriptura opportunum ad id quod fit tempus vocat praesentiam horae, non opportunum autem absentiam horae. Et quandoquidem dominus tempus opportunum esse ducebat a nuptiis discedendi post quam vinum fecisset, idcirco ante quam vinum fecisset dicebat: *Nondum venit hora mea.* Et iterum quandoquidem tempore paschatis Judaeorum oportebat dominum comprehendi et ea pati quae passus est, idcirco ante pascha dictum est de eo illud *Nemo manus ei injecit*, *quia nondum venerat hora ejus* — non quod horae necessitas comprehensionem ejus prohiberet, sed dei providentia alium ei locum destinaverat; alioqui enim horae necessitate prohibita fuisset domini comprehensio, et divina scriptura non attribuisset eam regioni

I. 4..

2. *Οὐδεὶς ... αὐτοῦ*] Ev. Joann. VII. 30..

3. *ἀλλ' ἡ* etc.] Codd. msti et editi *ἀλλ' ἡ τοῦ θεοῦ πρόνοια * τῇ ἀνάγκῃ* etc.. Sylburgius locum sic interpolavit ut supra in contextu dedi. Maranus vero (violatis scripturae vulgatae vestigiis) malit: *ἀλλὰ τῆς τοῦ θεοῦ προνοίας· [εἰ γὰρ] τῇ ἀνάγκῃ* etc..

προσῆψεν ἡ θεία γραφὴ τῷ χωρίῳ τῷ τοῦ τόπου. [4]Ἀνεχώρησε, φησίν, ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰου- 474 *δαίᾳ περιπατεῖν, ὅτι οἱ Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἀποκτεῖναι. Ἀλλ' οὐδὲ πρὸ τούτου εἰς Αἴγυπτον ἀνεχώρει, ἱκανῆς οὔσης τῆς ἀνάγκης τῆς ὥρας φυλάττειν αὐτὸν ἀσύλληπτον.*

Ἐρώτησις ρκγ'.

Εἰ τὸ ἀγαθὸν ἁπάντων ἐστὶ τὸ κάλλιστον, καὶ το κακυνόμενον τῶν ὄντων ἐστὶ τὸ χείριστον, καὶ ἀγαθὸς μέν ἐστιν ὁ θεός, κακυνόμενος δὲ ὁ ἄνθρωπος, [[1]πῶς οὐχ ὁ ἄνθρωπος] ἁπάντων τὸ κάκιστον; Οὐδὲ γὰρ τῶν ὄντων ἕτερον, οὐρανοῦ λέγω καὶ γῆς, ἀέρος, φωστήρων [2]καὶ τῶν τοιούτων δυνάμεων, κακύνεσθαι κέ- B *κτηται.*

Ἀπόκρισις.

Εἰ ἀνθρώπου ἕνεκεν τὰ ἄλλα ὀνομασθέντα ἔστι, τὰ δέ τινος ἕνεκεν ὑπάρχοντα ἐλάττονα ἐκείνου ἐστί, κάλλιστος ἄρα ἐστὶν ὁ ἄνθρωπος, ὁ ὑπὲρ τὰ δι' αὐτὸν ὑπάρχοντα. Εἰ δὲ καὶ αὐτὸ τὸ κακύνεσθαι συντελεῖ τι πρὸς τὴν βελτίωσιν τοῦ ἀνθρώπου, κάλλιστόν ἐστιν ὁ ἄνθρωπος, καὶ κατὰ τοῦτο ὑπὸ τῆς θείας προνοίας C *τοῖς κακωτικοῖς ἰατρευόμενος ἀπὸ τῆς ἰδίας γνωμικῆς αὐτοῦ κακίας. Χρὴ δὲ τὸν βουλόμενον [3]τὸν ἀγαθὸν ἄνθρωπον καταμαθεῖν πρὸς τὸ τέλος ἀποβλέπειν τὸ μετὰ τὴν ἀποβίωσιν ἀποκείμενον ἀνθρώπῳ· [4]ἐκεῖνος γὰρ τῆς παρούσης ζωῆς ἐστιν ὁ καρπός, τουτέστι μακαριότης ἀτελεύτητος ἀντὶ τῆς ὀλιγοχρονίου κακυνομένης ζωῆς.*

Ἐρώτησις ρκδ'.

Εἰ τῆς ἑκάστου βιώσεως προγνώστης ὁ δεσπότης καθέστηκε, D *διὰ τί μὴ τῶν εὐσεβῶν τὰς ψυχὰς ἐν σώμασιν εὐσθενέσιν εἰσῴκισεν; Εἰ δέ, θησαυρίζων αὐτοῖς τὰς ἀμοιβὰς ἐν τοῖς μέλλουσιν, ἐν τοῖς παροῦσιν αὐτοὺς συνεχώρησε θλίβεσθαι, διὰ τί μὴ πάντες ἐν ταῖς θλίψεσιν ὁμοίως οἱ εὐσεβεῖς ἐξητάζοντο, ὥστε δη-*

4. *Ἀνεχώρησε . . . ἀποκτεῖναι*] Ev. Joann. VII. 1.. — Articulus *οἱ* ante *Ἰουδαῖοι* in editione Maraniana mendose excidit.

1. *πῶς οὐχ ὁ ἄνθρ.*] Haec vulgo desunt. Omissa sunt occasione vocis *ἄνθρωπος* repetitae. Conjecit Sylburg. alia ejusmodi verba: *πῶς οὐχὶ δῆλον ὡς ὁ ἄνθρωπος.*

2. *καὶ τῶν τοιούτων δυνάμεων*] Male vulgatus textus *καὶ τῶν*

loci. *Secessit*, inquit, *Jesus in Galilaeam*; *non enim volebat in Judaea versari*, *quia Judaei studebant eum interficere.* Sed neque antea in Aegyptum secessisset, si necessitas horae idonea fuisset ad eum, quominus comprehenderetur, custodiendum.

Quæstio 123.

Si id quod bonum est omnium praestantissimum est, quod autem aerumnosum eorum quae exstant pessimum, ac bonus quidem deus est, homo autem aerumnosus: quomodo non homo est omnium pessimum? Neque enim aliud ex iis quae exstant, coelo videlicet et terra, aëre, luminaribus et similibus potestatibus, esse in aerumnis sortitum est.

Responsio.

Si propter hominem alia quae nominata sunt exstant, quae autem propter aliquem exstant minora illo sunt: praestantissimus profecto est homo, quippe rebus propter ipsum exsistentibus superior. Quodsi et ipsae aerumnae aliquid afferunt ut melior fiat homo, praestantissimus est homo, atque hoc modo a divina providentia aerumnis sanatur ex propria voluntatis pravitate. Oportet autem ut qui hominem bonum pernoscere vult is respiciat ad finem post mortem homini repositum; is enim praesentis vitae fructus est, scilicet beatitudo sempiterna pro aerumnosa ad brevissimum tempus vita.

Quæstio 124.

Si cujusque vivendi rationis praecognitor est dominus: quapropter non animas piorum in corporibus validis constituit? Sin, praeparans iis mercedis thesaurum in futura vita, permittit ut in praesenti affligantur: quapropter non omnes in aerumnis pariter pii reperiuntur, ut pateat inde id quod

τοιούτων, δυνάμενον. Veram scripturam Sylburgio debemus.

3. *τὸν ἀγαθὸν ἄνθρωπον*] Maran. suspicatur legendum *τὸ ἀγαθὸν τοῦ ἀνθρώπου*, *bonum hominis.* Sed lectioni vulgari congruentius est *τὸ ἀγαθὸν ἀνθρώπου*, omisso *τοῦ* articulo; ita mox *ἀντικείμενον ἀνθρώπῳ.*

4. *ἐκεῖνος*] Referendum ad *καρπός*, quod sequitur.

λον ἐκ τούτου τὸ καλὸν καὶ τὸ δεινὸν διαδείκνυσθαι; Εἰ δὲ ἀμφότερα παρ' ἀμφοτέροις εὑρίσκεται, πῶς οὐκ ἄδηλος ὁ τὸ κρεῖττον ἑλόμενος; Πῶς δὲ ὡς ἔτυχε τὰ πάντα φερόμενα ἀπρονόητα 475
τὰ ἐν τῷ κόσμῳ οὐ δείκνυσιν, εὐσεβοῦς καὶ ἀσεβοῦς οὐκ οὔσης τινὸς διακρίσεως;

Ἀπόκρισις.

Οὐκ ἐβούλετο ὁ θεὸς τοῖς παροῦσιν ὑπὲρ ἀρετῆς τιμῆσαι τοὺς αὐτῷ ἀνακειμένους· τὰ γὰρ ἐν τῷ θανάτῳ τῶν εὐσεβῶν οὐκ ἔστι μισθὸς ἀρετῆς· καὶ καθώσπερ λέγονται οἱ εὐσεβεῖς [1] μὴ εἶναι ἐκ τοῦ κόσμου, οὕτως καὶ ἡ δόξα αὐτῶν καὶ ὁ πλοῦτος οὐκ ἔστι γήϊνα. Ὅταν οὖν ὁρῶμεν προσόντα τοῖς εὐσεβέσιν ἃ πρόσεστι B
Illud *Quid mihi et tibi mulier?* non ad objurgationem dictum est matri a salvatore, sed ut ostenderet nequaquam nos esse, inquit, qui vini in nuptiis consumendi curam suscepimus; attamen ex singulari caritate, si vis, ne deficiat eos vinum, dic ministris ut faciant quae dicam, ac vides non iis defuturum esse vinum: id quod etiam factum est. Nequaquam ergo verbis matrem objurgasset, quam actionibus colebat. In caeteris autem vocibus non matrem debito honore privat, sed ostendit ob qualem matris titulum beata sit virgo praedicanda. Nam si qui audit verbum dei et servat frater est dei et soror et mater, et utrumque inerat matri ejus, manifestum est ob hanc matris notionem ipsius matrem beatam fuisse praedicandam; audire enim verbum dei et servare virtutis est et purae animae, quae tota in deum intenta est. Et quandoquidem non quamlibet mulierem elegerat deus ut Christi mater fieret, sed eam quae mulieres omnes virtutibus superabat, idcirco Christus voluit ut mater sua etiam ab hac virtute beata praedicaretur, per quam consecuta est ut virgo mater fieret. Nihil autem a Christo factum reperiri quod aut contumeliae in parentes aut negatae obedientiae significationem haberet, testatur Lucas evangelista, qui de illo dicit:

βόντες ἀναίρεσιν.

7. *βλέπεις*] Ita codd. msti et Stephanus. Reliqui *βλέψεις*.

8. *τῆς πρεπούσης τιμῆς*] Desideratur (Sylburg.) *τὸν λόγον ποιεῖται* vel simile quid.

9. *Κατέβη . . . αὐτοῖς*] Ev. Luc. II. 51..

Ἰωσὴφ καὶ Μαρίας ἀπὸ Ἱερουσαλήμ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς.

Ἐρώτησις ρλζʹ.

Εἰ πρὸ τοῦ τάφου ἡ Μαρία τὸν κύριον τῷ μύρῳ ἤλειψεν, ἡμεῖς δὲ τοῦ πάθους καὶ τῆς ἀναστάσεως αὐτοῦ ἐν τῷ βαπτίσματι τελοῦμεν τὰ σύμβολα, πῶς [1] πρῶτον μὲν ἐλαίῳ χριόμεθα, C
ἔπειτα δὲ τὰ προλεχθέντα ἐν τῇ κολυμβήθρᾳ τελέσαντες σύμβολα τῷ μύρῳ σφραγιζόμεθα ὕστερον, καὶ κατ' ἐναντίωσιν τῶν περὶ τὸν κύριον γεγονότων ταῦτα ποιεῖν οὐ νομίζομεν, εἴγε πρῶτον ὁ κύριος τῷ μύρῳ ἠλείψατο καὶ ὕστερον ἔπαθε; Πῶς δὲ καὶ οὐ περιττὴ ἡ χρίσις τοῦ ἐλαίου προσφέρεται τοῖς βαπτίζεσθαι μέλλουσιν, εἴγε μόνῳ τῷ μύρῳ πρὸς τῷ πάθει ἐχρίσθη ὁ κύριος;

Ἀπόκρισις.

[2] Ἐπειδὴ ἃ ποιεῖ [ἡ ἐκκλησία πρὸς] τὸν ἐνταφιασμὸν μετὰ τὸν θάνατον αὐτοῦ ποιεῖ τοῦ ἐνταφιαζομένου, ἡ δὲ μακαρία Μα- D
ρία πρὸ τοῦ θανάτου ἐμύρισε τὸν κύριον (κατὰ τὸ γεγραμμένον· [3] Ὃ ἐποίησε, φησίν, αὕτη πρὸς ἐνταφίασμόν μου ἐποίησε· προλαβοῦσα γὰρ ἐμύρισέ μου τὸ σῶμα· τὸ δὲ Προλαβοῦσα ἀντὶ τοῦ Πρὸ τοῦ δέοντος καιροῦ ἐμύρισέ μου τὸ σῶμα), διὰ τοῦτο οὐδὲν γίνεται κατ' ἐναντίωσιν, ἀλλὰ τὸ ἐπὶ τοῦ κυρίου γεγονὸς πρὸ τοῦ καιροῦ τοῦτο ἐπὶ τῶν βαπτιζομένων γίνεται ἐν τῷ δέοντι καιρῷ.
Χριόμεθα δὲ τῷ [4] παλαιῷ ἐλαίῳ ἵνα γινώμεθα χριστοί, τῷ δὲ μύ- 487
ρῳ πρὸς ἀνάμνησιν τοῦ [5] τὴν χρίσιν τοῦ μύρου ἐνταφιασμὸν ἑαυτοῦ λογιζομένου, καὶ τύπῳ μὲν ἐπὶ τοῦ παρόντος, ἀληθείᾳ δὲ ἐπὶ τοῦ μέλλοντος [6] εἰς τὴν κοινωνίαν τῶν τε ἑαυτοῦ παθημάτων καὶ τῆς δόξης ἡμᾶς καλεσαμένου σωτῆρος Χριστοῦ.

1. πρῶτον ... ὕστερον] Constitt. apost. VII. 22.: Χρίσεις δὲ πρῶτον ἐλαίῳ ἁγίῳ, ἔπειτα βαπτίσεις ὕδατι καὶ τελευταῖον σφραγίσεις μύρῳ.

2. Ἐπειδὴ etc.] Codd. msti et editi Ἐπειδὴ ἃ ποιεῖ * τὸν ἐνταφιασμὸν etc.. Sylburgius sic reposuit: Ἐπειδὴ ἃ ποιεῖ [ἡ μυρίζουσα τὸν κύριον πρὸς] τὸν ἐνταφιασμὸν etc.: *Quoniam quae ungens dominum mulier facit ea ad domini post mortem sepeliendi sepulturam facit.* Maranus supplevit ἐκκλησία εἰς, et infra διὰ τοῦτο οὐδὲν (pro vulg. οὐδὲ) γίνεται legit.

3. Ὃ ... σῶμα] Ev. Marc. XIV. 8..

4. παλαιῷ ἐλαίῳ] H. e., lectio

Descendit Hierosolymis cum Josepho et Maria, et erat subditus iis.

Quæstio 137.

Si ante sepulturam Maria dominum unguento unxit, nos autem passionis ejus et resurrectionis in baptismo celebramus symbola: quomodo primum oleo ungimur, deinde, postquam praedicta in lavacro celebravimus symbola, unguento demum ungimur: et quomodo nobis haec facere non videmur contra quam circa dominum facta sunt, siquidem primum dominus unguento unctus ac deinde passus est? Quomodo vero etiam non frustra unctio olei adhibetur baptizandis, siquidem solo unguento sub passionem unctus est dominus?

Responsio.

Quandoquidem quae ecclesia ad sepulturam facit ea post mortem eius facit qui sepultus fuit, beata autem Maria dominum unxit ante mortem (pro eo atque scriptum est: *Quod fecit haec*, inquit, *ad sepulturam meam fecit: praevenit enim ut ungeret corpus meum*; illud autem *Praevenit* idem valet atque Ante indoneum tempus unxit corpus meum), propterea nihil fit quod contrarium sit, sed quod circa dominum ante tempus factum est id in baptizandis fit convenienti tempore. Ungimur autem veteri oleo ut christi (uncti) efficiamur, unguento autem ad recordationem salvatoris Christi, qui unguenti unctionem sepulturam suam esse duxit, ac nos per figuram quidem hac in vita, revera autem in futura in communicationem passionum suarum et gloriae vocavit.

si vera est, *oleo antiquitate augusto.* Pape (*Handwörterb. d. griech. Sprache*, Tom. II. p. 422.) Antiphontis locum laudavit: *εἴργεσθαι ἱερῶν, θυσιῶν, ἀγώνων, ἅπερ μέγιστα καὶ παλαιότατα τοῖς ἀνθρώποις.* Maluit Sylburgius ἁπλῷ ἐλαίῳ, *simplici oleo*, ut opponatur μύρῳ, quod compositum est. Maranus commendavit γαλιλαίῳ, quum apud Syros (cf. Eus. Renaudot Perpet. Fid. Tom. V. p. 149.) oleum, quo ungebantur catechumeni, γαλίλαιον vocaretur h. e. ἔλαιον ἀγαλλιάσεως. Alius conjecerit ἐπορκιστῷ ἐλαίῳ (Cyrill. Catech. XX. c. 3.) vel ἁγίῳ ἐλαίῳ (Constitt. apostt. l. c.).

5. τὴν χρίσιν τοῦ μύρου] Scil. a Maria peractam.

6. εἰς τὴν κοινωνίαν etc.] Ep. ad Phill. III. 10.. — Maranus:

Ἐρώτησις ρλη'.

Εἰ δίκαιός ἐστιν ὁ τὸν ἡμαρτηκότα ὑπὲρ ὧν ἥμαρτε τιμω-
ρούμενος, πῶς δίκαιος ὁ θεὸς ὁ τοσοῦτον λαὸν διὰ πταίσματα θα-
νατώσας ἑτέρων; Λέγω δὲ πταίσαντας τὸν Ἰωνάθαν καὶ τὸν Δα- B
υίδ· [1] τὸν μὲν ἐξ ἀγνοίας λύσαντα τὴν νηστείαν τῇ γεύσει τοῦ
μέλιτος, τὸν δὲ προπετῶς τὸν λαὸν ἀριθμήσαντα. Εἰ δέ τις λέγοι
ὡς τῶν ὑπηκόων ὁ θάνατος ἐπὶ τιμωρίᾳ τῶν ἀρχόντων ἐγίνετο,
πῶς οὐκ ἀδικεῖ τοὺς ἀναιτίους ὑποβάλλων κολάσεσιν; Ἐναντιοῦ-
ται δὲ τῇ λεγούσῃ γραφῇ ὅτι [2] Ψυχὴ ἡ ἁμαρτήσασα αὐτὴ ἀποθα-
νεῖται.

Ἀπόκρισις.

Ὅτι πικροτάτη τιμωρία τῶν ἡμαρτηκότων βασιλέων ἡ τιμωρία C
τοῦ λαοῦ, δηλοῖ αὐτὸς ὁ μακάριος Δαυίδ, δεόμενος τοῦ θεοῦ εἰς
αὐτόν τε καὶ εἰς τὸν οἶκον αὐτοῦ μεταγαγεῖν ἀπὸ τοῦ λαοῦ τὴν
πληγήν. Σάλος γάρ ἐστι τῆς βασιλείας ἡ μείωσις τῶν βασιλευο-
μένων. Ὡσαύτως δὲ καὶ ὁ Σαοὺλ ἔμελλεν ἀναιρεῖν τὸν υἱὸν αὐ-
τοῦ Ἰωνάθαν, ἵνα τῇ ἀναιρέσει αὐτοῦ τὴν πληγὴν ἰάσηται τοῦ
λαοῦ, εἰ μὴ φθάσας ὁ λαὸς ὤμοσε μὴ ἀποθανεῖν ἐᾶσαι τὸν Ἰω-
νάθαν. Καὶ ὡς σύγκειται ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος,
οὕτως καὶ ἡ βασιλεία σύγκειται ἐκ τοῦ βασιλέως καὶ τῶν βασιλευο- D
μένων. Καὶ ὥσπερ, ἁμαρτήσας ὁ ἄνθρωπος ἁμάρτημα διὰ χειρὸς
[3] ἐὰν τυπτηθῇ εἰς τὸν νῶτον, οὐκ ἀδικεῖ ὁ τυπτήσας αὐτόν, οὕ-
τως οὐκ ἀδικεῖ θεὸς ἐπὶ τοῖς τῶν βασιλέων πταίσμασιν τὸν λαὸν
τιμωρούμενος. Μεγάλως γὰρ [4] οἶδεν ἀνιᾶν τοὺς βασιλεῖς ἡ πληγὴ
τοῦ λαοῦ. Τῆς γὰρ βασιλείας ἐστὶ τιμωρία ἡ πληγὴ τοῦ λαοῦ.

Ἐρώτησις ρλθ'.

Εἰ εἷς ἐστι θεὸς [1] ὁ θεός, δῆλον ὅτι κατὰ πάντα κέκτηται
τὸ εἶναι ἕν· οἷον τὸ ἁπλοῦν ἢ τὸ σύνθετον, τὸ θνητὸν ἢ τὸ 488

„Separanda et distinguenda passionum et gloriae communicatio; nimirum passionum imitatio imagine continetur in praesenti vita, gloriae in altera participes revera efficimur.“ Haec illustrantur ex simili loco Cyrilli Hieros. Cat. XX. c. 5.: Ὢ ξένου καὶ παραδόξου πράγματος, οὐκ ἀληθῶς ἀπεθάνομεν, οὐδ' ἀληθῶς ἐτάφημεν, οὐδ' ἀληθῶς σταυρωθέντες ἀνέστημεν, ἀλλ' ἐν εἰκόνι ἡ μίμησις, ἐν ἀληθείᾳ δὲ ἡ σωτηρία.

1. τὸν . . . ἀριθμήσαντα] Cf.

Quæstio 138.

Si justus est qui peccantem ob delictum ulciscitur: quomodo justus deus qui tantam multitudinem neci dedit ob aliorum delicta? Dico autem lapsos Jonatham et Davidem: illum quidem quod per ignorantiam jejunium degustando melle solverit, hunc autem quod populum inconsiderate recensuerit. Si quis vero dicat subditorum mortem poenam principum fuisse: quomodo non injustus qui innocentes poenis subjicit? Adversatur autem scripturae dicenti: *Anima*, *quae peccaverit*, *ipsa morietur*.

Responsio.

Gravissimam esse poenam delinquentium regum populi poenam declarat ipse beatus David, dum deum precatur ut in se et in domum suam a populo plagam transferat. Regnum enim quatit imminutio subditorum. Similiter etiam Saulus occisurus erat filium suum Jonatham, ut ejus caede plagam populi sanaret, nisi occupans populus jurasset se non passurum ut Jonathas occideretur. Et quemadmodum constat homo ex anima et corpore, ita etiam regnum constat ex rege et subditis. Et quemadmodum, si homo manu delinquens tergo vapulet, non iniquus est qui eum verberat, ita non iniquus est deus, dum populum ob regum delicta punit. Valde enim reges angere solet plaga populi. Est enim regni punitio plaga populi.

Quæstio 139.

Si deus unus est deus, liquet eum ut in omnibus unum sit obtinere: videlicet simplex aut compositum, mortale aut

1. Regg. XIV. 24. sqq. et 2. Regg. XXIV. .

2. Ψυχὴ ... ἀποθανεῖται] Ezech. XVIII. 4. .

3. ἐὰν] Codd. msti et editi καί.

4. οἶδεν] Vid. Quaest. 54. not. 4..

1. ὁ θεός] Haec Maranus praetermisit, citra codicum (etiam Mon.) auctoritatem. — Mox codd. msti et editi ὅτι καὶ πάντα, quapropter Wolfius legi voluit τῷ εἶναι ἕν: *eo quod unum sit*. Equidem levi usus mutatione κατὰ pro καὶ (Qu. 84. n. 4.) dedi.

ἀθάνατον, τὸ γεννητὸν ἢ τὸ ἀγέννητον, τὸ γεννᾶν ἢ τὸ μὴ γεννᾶν. Πῶς οὖν, τοῦ μὲν πατρὸς γεννήσαντος καὶ τοῦ υἱοῦ μὴ γεννήσαντος, καὶ τοῦ υἱοῦ γεννηθέντος, τοῦ δὲ πατρὸς μὴ γεννηθέντος, δύναται εἷς θεὸς καλεῖσθαι ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα, ἐξ αὐτοῦ τοῦ γεννᾶσθαι ἢ μὴ γεννᾶσθαι, καὶ τοῦ γεννᾶν καὶ μὴ γεννᾶν, τὴν ἐναντίωσιν κεκτῆσθαι νομιζομένου;

Ἀπόκρισις.

[2] Εἷς ἐστιν ὁ θεὸς τῇ συνυπάρξει τῶν τριῶν θείων ὑποστά- B
σεων, τῶν διαφερουσῶν ἀλλήλων οὐ τῇ οὐσίᾳ ἀλλὰ τοῖς τῆς ὑπάρξεως τρόποις. Ἡ διαφορὰ δὲ τῶν τῆς ὑπάρξεως τρόπων οὐ διαιρεῖ τὸ [3] ἓν τῇ οὐσίᾳ. Καὶ ὥσπερ [4] ἐπὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας καὶ τοῦ Σὴθ εἷς μέν ἐστιν ὁ τῆς οὐσίας λόγος (ψυχὴ γὰρ λογικὴ καὶ σῶμα θνητόν), τρόποι δὲ τῆς ὑπάρξεως διάφοροι (ὁ μὲν γὰρ Ἀδὰμ γέγονεν ἀπὸ τῆς γῆς, ἡ δὲ Εὔα ἐκ τῆς πλευρᾶς, ὁ δὲ Σὴθ ἐκ τοῦ σπέρματος), καὶ ἐν διαφόροις τῆς ὑπάρξεως τρόποις μένει ὁ τῆς οὐσίας λόγος εἷς ἀδιαίρετός τε καὶ ἀπαράλ-
λακτος, οὕτως καὶ ἐπὶ τοῦ θεοῦ, τῇ ταὐτότητι τῆς τῶν προσώπων C
οὐσίας, εἷς θεὸς πεπίστευται, ὅ τε πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα. Οὐδὲν γὰρ συντελεῖ πρὸς τὸν τῆς οὐσίας λόγον ὁ τρόπος τῆς ὑπάρξεως. [5] Τὰ μὲν οὖν ἐπὶ τῶν θείων τριῶν ὑποστάσεων ὡσαύτως ἀπαραλλάκτως λεγόμενα, ἐν τούτοις νόει τὸ ἓν τῆς οὐσίας· τὰ δὲ μὴ ὡσαύτως, ταῦτα νόει τῷ τρόπῳ τῆς τῶν προσώπων ὑπάρξεως.

Ἐρώτησις ρμ'.

Εἰ κληρονόμον ἑαυτὸν ὁ Χριστὸς ὀνομάζει, τοῦτον δὲ [1] κατὰ τὴν παραβολὴν οἱ γεωργοί, τουτέστιν οἱ Ἰουδαῖοι, ἐπέγνω- D
σαν, καί, τῆς γεωργίας δεσπόται γενέσθαι ποθήσαντες, ὡς κληρονόμον τὸν κληρονόμον ἀπέκτειναν, πῶς αὐτὸς ὁ Χριστὸς καὶ ὁ ἀπόστολος Παῦλος τοῦ τολμήματος αὐτοῖς ἐμαρτύρησαν ἄγνοιαν,

2. Εἷς etc.] Cf. Gass. l. c. p. 69. sq.. — Codd. msti et editi Responsionem vitiose verbis Εἰ ἔστιν ὁ θεὸς incipiunt.

3. ἓν] Sic recte Morell. et Maran. scripserunt pro ἐν, quod in codd. mstis comparet. Infra: τὸ ἓν τῆς οὐσίας.

4. ἐπὶ τοῦ Ἀδὰμ] Similitudo de Adamo etiam in Exposit. rect.

immortale, genitum aut ingenitum, gignere aut non gignere. Quo igitur modo, quum pater gignat et filius non gignat, atque filius gignatur et pater non gignatur, deus unus vocari potest pater et filius et spiritus sanctus: quum hoc ipsum gigni aut non gigni, et gignere aut non gignere, contraria deo inesse significet?

Responsio.

Unus deus est coexsistentia trium divinarum subsistentiarum, quae inter se distant non essentia sed exsistentiae modis. Differentia autem exsistentiae modorum non distinguit essentiae unitatem. Et quemadmodum in Adamo et Eva et Setho una est essentiae ratio (scilicet anima rationalis et corpus mortale), modi vero exsistentiae diversi (nam Adamus e terra factus est, Eva e costa, Sethus e semine), et in diversis exsistentiae modis manet essentiae ratio una sine divisione et discrimine: sic etiam in deo, identitate personarum essentiae, unus deus creditur, pater et filius et spiritus sanctus. Nihil enim momenti ad essentiae rationem confert exsistentiae modus. Proinde quae de divinis tribus subsistentiis eodem modo sine discrimine dicuntur, in iis unitatem essentiae intellige; quae vero non eodem modo, ea de modo exsistentiae personarum intellige.

Quæstio 140.

Si Christus seipsum haeredem nominat, hunc autem juxta parabolam agricolae, hoc est Judaei, agnoverunt, et, quia agriculturae dominatum concupiverant, haeredem tamquam haeredem necarunt: quomodo ipse Christus et apostolus Paulus in tam temerario ausu ignorantiae iis perhibuerunt testi-

fid. c. 3. p. 373. C. et 374. A. attingitur.

5. *Τὰ μὲν* etc.] Constructionis est enallage; exspectabas *Ἃ ... λέγεται*.

1. *κατὰ τὴν παραβολὴν*] Cf. ev. Matth. XXI. 33. sqq.. — Codd. msti et editi *κατὰ τὴν παράβασιν*. Jam Langus in translatione emendavit.

ὁ μὲν λέγων· [2]Ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν· ὁ δὲ
φάσκων· [3]Εἰ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύ-
ρωσαν;

Ἀπόκρισις.

[4]Διχῶς ἡ ἄγνοια λέγεται. Ἡ γὰρ μὴ βουλόμενός τις ἀγνοεῖ,
ὅταν τὰ πράγματα ὁδηγοῦντα εἰς γνῶσιν οὐκ ἔχῃ· ἢ βουλόμενος 489
ἀγνοεῖ, ὅταν τὰ μὲν πράγματα ἔχῃ ὁδηγοῦντα εἰς γνῶσιν, [5]μὴ
βουλόμενος δὲ γνῶναι. Ταύτην δὲ τὴν βουλητὴν ἄγνοιαν [6]οἶδεν
ἡ θεία γραφὴ ποτὲ μὲν ἄγνοιαν, ποτὲ δὲ γνῶσιν ὀνομάζειν. [7]Γνῶ-
σιν μέν, ὡς ὅταν λέγῃ· [8]Καὶ ἐμὲ οἴδατε, καὶ πόθεν εἰμὶ οἴδατε·
ἀντὶ τοῦ Δύνασθε ἀφ' ὧν ἐργάζομαι γνῶναι τῆς τε ὀνομασίας τῆς
ἐμῆς καὶ τῶν λόγων μου τὴν ἀλήθειαν· ψευδόμενος γὰρ οὐ δύ-
ναται τοιαῦτα ἔργα ποιεῖν. Τὸ δὲ ὑπὸ τῶν γεωργῶν [9]γνωρισθῆ-
ναι τὸν κληρονόμον, καθὸ ἐθεάσαντο τοῦτον ὑπὲρ πάντα εἶναι B
ἄνθρωπον ἐν τῇ παρούσῃ ζωῇ, τοῖς ἔργοις οἷς ἐποίει, καὶ τῇ
κλήσει τοῦ υἱοῦ, κατὰ τὴν ὑποτύπωσιν τῆς παραβολῆς. Ὅτι δὲ
μετὰ τὸ ἀποθανεῖν αὐτὸν ἀνίστησιν αὐτὸν ὁ θεὸς ἐκ τῶν νεκρῶν
εἰς ἀθάνατον ζωὴν καὶ τίθησιν αὐτὸν πάντων κληρονόμον, οὐκ
ἔγνωσαν· οὔτε γὰρ ἡ ὑποτύπωσις τῆς παραβολῆς ἔσχε τούτου τὴν
ἔμφασιν. Κατὰ ταύτην οὖν τὴν ἄγνοιαν εἶπεν ὁ Χριστός· [10]Πά-
τερ ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσιν. Ὡσαύτως δὲ καὶ ὁ
ἀπόστολος· Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύ-
ρωσαν.

Ἐρώτησις ρμα'. C

[1]Εἰ μόνος ὁ Χριστὸς τὸν θεῖον νόμον ἀκριβῶς ἐξετέλεσε, πῶς
[2]ἐπορεύοντο ἐν τῷ νόμῳ ἄμεμπτοι ὅ τε Ζαχαρίας καὶ ἡ Ἐλισ-
σάβετ, περὶ ὧν ταῦτα ὁ Λουκᾶς ἐμαρτύρησε, καὶ ὁ Παῦλος δέ,
[3]κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος;

Ἀπόκρισις.

Ἄλλο τὸ ἄμεμπτον καὶ ἄλλο τὸ ἀναμάρτητον. Ὁ μὲν γὰρ ἀνα- D

2. Ἄφες ... ποιοῦσιν] Ev. Luc. XXIII. 34..

3. Εἰ ... ἐσταύρωσαν] Ep. 1. ad Cor. II. 8..

4. Διχῶς etc.] Comp. Resp. ad Quaest. 108..

5. μὴ βουλόμενος δὲ] Nota modi mutationem: videlicet praecedit ὅταν μὲν ἔχῃ.

6. οἶδεν] Vid. Quaest. 54. n. 4..

7. Γνῶσιν] Confidenter vitiosam codicum mstorum lectionem ἄ-

monium, ille quidem dicens: *Remitte iis, quia nesciunt quid faciant:* hic autem affirmans: *Si cognovissent, nequaquam dominum gloriae crucifixissent?*

Responsio.

Duobus modis ignoratio dicitur. Vel enim ignorat quis non volens, quum rebus destituitur quae ad cognitionem ducunt; vel volens ignorat, quum adsunt quidem res quae ad cognitionem ducunt, at non vult cognoscere. Voluntariam hanc ignorationem solet divina scriptura nunc ignorationem, nunc cognitionem vocare. Cognitionem quidem, ut quum ait: *Et me nostis et unde sim nostis:* id est Potestis ex iis quae operor cognoscere appellationis meae et sermonum veritatem; mendax enim non potest talia opera edere. Quod autem ab agricolis haeres cognitus fuit, id contigit quatenus eum videbant hominem supra omnia esse in praesenti vita, tum operibus quae faciebat, tum filii appellatione, juxta parabolae imaginem. Quod vero eum deus post mortem ex mortuis exsuscitat ad vitam immortalem et constituit haeredem universorum, id non cognoverunt; neque enim id parabolae imago declarabat. De hac igitur ignoratione dixit Christus: *Pater remitte iis, quia nesciunt quid faciant.* Similiter et apostolus: *Nam si cognovissent, nequaquam dominum gloriae crucifixissent.*

Quæstio 141.

Si solus Christus divinam legem accurate implevit: quomodo *ambulabant inculpati in lege* Zacharias et Elisabetha, de quibus id testatus est Lucas, et Paulus, *qui secundum justitiam, quae in lege est, factus est inculpatus?*

Responsio.

Aliud est inculpatum et aliud peccati expertem esse.

γνοιαν correxi. De *ignoratione* enim postea agitur: *Ὅτι δὲ μετὰ τὸ ἀποθανεῖν* etc..

8. *Καὶ ... οἴδατε*] Ev. Joann. VII. 28..

9. *γνωρισθῆναι τ. κλ.*] Ex iis ante *καθὸ* subaudias *ἐγνωρίσθη*.

10. *Πάτερ* etc.] Vid. nott. 2. sq..

1. *Εἰ* etc.] Comp. Quaest. 103..

2. *ἐπορεύοντο . . . ἄμεμπτοι*] Ev. Luc. I. 6..

3. *κατὰ ... ἄμεμπτος*] Ep. ad Phill. III. 6..

μάρτητος ἐκ παντὸς καὶ ἄμεμπτος· οὐκέτι δὲ ὁ ἄμεμπτος ἐξ ἀνάγκης καὶ ἀναμάρτητός ἐστιν. Ὁ γὰρ ἁμαρτάνων παρὰ τὸν νόμον συγγνωστὴν ἁμαρτίαν, τῇ προσαγωγῇ τῶν θυσιῶν καὶ τῇ ἐξαγορεύσει τοῦ παίσματος λαβὼν τὴν ἄφεσιν, γίνεται καθαρὸς καὶ ἄμεμπτος κατὰ τὴν ἐκ νόμου δικαιοσύνην. Ὁ δὲ Χριστός, ἅτε ἀναμάρτητος ὢν καὶ οὐδαμῶς παραβὰς τὸν νόμον, οὔτε διεπράξατό τι διορθώσεως δεόμενον· ἐδέξατο δὲ καὶ τὸν βαπτιστὴν Ἰωάννην καὶ ἐβαπτίσθη ὑπ' αὐτοῦ, ἵνα πληρώσῃ πᾶσαν δικαιοσύνην,
ἣν ὁ Παῦλος πρὸ τοῦ πιστεῦσαι Χριστῷ οὔπω ἦν δεξάμενος· ἐπεὶ 490
οὐκ ἂν ἐδίωξε τὴν ἐκκλησίαν. Διὰ τοῦτο ὁ Χριστὸς μόνος λέγεται ἀναμάρτητος γεγονέναι.

Ἐρώτησις ρμβ'.

[1] Εἰ ὁ ἄγγελος τοῦ ἀνθρώπου ἀνώτερος, καὶ θεοὺς τοὺς ἀνθρώπους ἡ γραφὴ ὀνομάζει, πῶς οὐχ ἁρμόζει καὶ τοὺς ἀγγέλους θεοὺς παρ' ἡμῶν ὀνομάζεσθαι;

Ἀπόκρισις.

Τῶν ἀγγέλων ὅσοι ἐν τάξει θεοῦ ὤφθησαν ἢ ἐλάλησαν τοῖς
ἀνθρώποις ἐσχήκασι καὶ αὐτοὶ τοῦ θεοῦ τὴν κλῆσιν, ὡς ὁ λα- B
λήσας τῷ Ἰακὼβ καὶ τῷ Μωυσῇ. Ἐκλήθησαν δὲ καὶ οἱ ἄνθρωποι θεοί. Ἑκατέροις δὲ διὰ τὴν ἐγχειρισθεῖσαν αὐτοῖς χρείαν ἐδόθη τοῦ θεοῦ τὴν τάξιν καὶ τὴν προσηγορίαν ἔχειν· πληρωθείσης δὲ τῆς χρείας παύονται τοῦ καλεῖσθαι θεοὶ οἱ χρείας τινὸς ἕνεκεν εἰληφότες τοῦ θεοῦ τὴν κλῆσιν. Ὅτε μὲν γὰρ ἐνεχείρισε τῷ ἀγγέλῳ τὴν ἐπιστασίαν τοῦ λαοῦ, ἔφασκε τῷ Μωυσεῖ περὶ αὐτοῦ· [2] Μὴ ἀπειθήσῃς αὐτῷ, ὅτι ὄνομά μου κεῖται ἐπ' αὐτόν. Ὅτε δὲ ἐνεχείρισε τοῖς ἄρχουσι τὴν κρίσιν τοῦ λαοῦ, φησὶ πρὸς αὐτούς·
[3] Δικαίαν κρίσιν κρίνατε, ὅτι ἡ κρίσις τοῦ θεοῦ ἐστι. Καὶ πάλιν· C
[4] Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. Θεοὺς αὐτοὺς ἔλεγεν ἀντὶ τοῦ Ἔδωκα ὑμῖν τὴν τιμὴν τὴν ἐμὴν καὶ τὴν τάξιν καὶ τὴν κλῆσιν· ὡς οὖν ἐμοῦ κρίνοντος οὕτως κρίνατε τὸν λαόν.

1. *Εἰ* etc.] Cf. Gass. l. c. p. 108. not. 54..

2. *Μὴ... αὐτόν*] Exod. XXIII. 21..

Nam peccati expers omnino etiam est inculpatus; non jam autem inculpatus necessario etiam peccati expers est. Nam qui admittit contra legem peccatum ignoscendum, victimarum oblatione et peccati confessione veniam accipiens, purus fit et inculpatus secundum justitiam quae ex lege est. Christus autem, utpote peccati expers ac nullo modo legem praetergressus, nihil fecit quod emendatione indigeret; suscepit autem Joannem baptistam et ab eo baptizatus est, ut impleret omnem justitiam, quam quidem Paulus, antequam in Christum crederet, nondum acceperat: alioqui enim non persecutus fuisset ecclesiam. Propterea solus Christus dicitur peccati expers exstitisse.

Quæstio 142.

Si angelus homine est praestantior, et scriptura homines deos appellat: quare non convenit ut angeli quoque a nobis dii nominentur?

Responsio.

Quicunque in dei loco conspecti aut cum hominibus locuti sunt angeli obtinuerunt et ipsi nomen dei, sicut is qui cum Jacobo et Mose locutus est. Vocati vero sunt etiam homines dii. Utrisque autem propter commissum sibi munus datum est obtinere dei locum et appellationem: at munere obito desinunt vocari dii qui propter aliquod munus dei nomen acceperunt. Nam quum angelo commisit curam populi, ad Mosen de eo dixit: *Non eris ei immorigerus*, *quoniam nomen meum positum est super eum.* Quum autem magistratibus commisit judicium populi, dixit iis: *Justum judicium judicate*, *quoniam judicium dei est.* Et iterum: *Ego dixi: Dii estis et filii altissimi omnes.* Deos illos dixit quasi diceret: Dedi vobis honorem meum et locum et appellationem; itaque quasi ego judicarem ita judicate populum.

3. Δικαίαν . . . ἐστι] Deuter. I. 16.. 4. Ἐγὼ . . . πάντες] Ps. LXXXI. 6..

Ἐρώτησις ρμγ΄.

Εἰ ὑπεραναβέβηκε μὲν τὸ θεός, ὑποβέβηκε δὲ τὸ ἄνθρωπος, πῶς οὐκ ἀτάκτως ὁ ἄνθρωπος θεὸς προσηγόρευται;

Ἀπόκρισις.

Αὕτη ἡ ἐρώτησις οὔτε Χριστιανῷ ἁρμόττει οὔτε Ἕλληνι. Καθ' D
ἕτερον δὲ εἰς τοὺς ὑποβεβηκότας *) μετενήνεκται τοῦ ὑπεραναβεβηκότος ἡ κλῆσις, κατὰ τὴν ἑκάστου δόξαν. Οὐ χρὴ δὲ ἐκ τῶν ὁμολογουμένων κατασκευάζειν τὴν ἀπορίαν, ἀλλὰ ἐκ τῶν ἀμφιβόλων.

Ἐρώτησις ρμδ΄.

Εἰ ἔχει ὁ θεὸς ὑπόστασιν ὑπάρχουσαν καὶ βουλὴν [1] ἐνυπάρχουσαν καὶ υἱὸν ὑπάρχοντα, πῶς, ἐκ τοσούτων συγκείμενος, ἁπλοῦς ὀνομάζεται;

Ἀπόκρισις. 491

[2] Ὁ θεὸς ὥσπερ ὅλος ἐστὶ πανταχοῦ καὶ ὅλος ἐν ἑκάστῳ καὶ ὅλος ἐφ' ἑαυτοῦ, καὶ τούτου πίστιν [3] ἔχομεν, οὕτως καὶ τὸ ἁπλοῦν αὐτοῦ ὅλον υἱός ἐστι καὶ ὅλον υἱὸν ἔχον ἐστί, καὶ ὅλον βουλή ἐστι καὶ ὅλον βουλὴν ἔχον ἐστίν. Οὐ γάρ ἐστι κατὰ τὴν κτιστὴν φύσιν ὁ θεός, ὥστε τὸ εἶναι αὐτὸν καὶ τὸ ἔχειν νοηθῇ ἐν συνθέσει, [4] ὥσπερ [ἐν τῇ κτιστῇ φύσει·] ἀλλ', ὥσπερ [5] τὴν φύσιν ὤν, οὕτως καὶ τὸ εἶναι αὐτὸν καὶ τὸ ἔχειν ἐστὶν ὑπὲρ τὴν σύνθεσιν.

Ἐρώτησις ρμε΄. B

Εἰ δι' ὧν ἡ σάρξ, διὰ τούτων καὶ τὸ αἷμα συνίσταται, διὰ τί τὴν μὲν βρῶσιν τῆς τῶν ζώων σαρκὸς ὁ θεὸς ἐπιτρέπει, τὴν δὲ ἐν τῷ αἵματι ἀπαγορεύει μετάληψιν, [1] Πλὴν κρέας, λέγων, ἐν αἵματι οὐ φάγεσθε;

*) μετενήνεκται] Codd. msti et editi μετήνεκται.

1. ἐνυπάρχουσαν] H. e. ὑπάρχουσαν ἐν αὐτῷ (τῷ θεῷ).

2. Ὁ θεὸς etc.] Gass. l. c. p. 72.: „Richtig zwar wird gesagt, dass Gott eben sowohl Person und Wille sey, als er Beides habe, und dagegen wäre keine weitere Einwendung erlaubt gewesen. Aber was will es bedeuten, dass Gott ganz Sohn sey und den Sohn habe, auf dieselbe Art, wie er ganz Wille ist? Vielleicht wollen die Worte τὸ ἁπλοῦν αὐτοῦ ὅλον υἱός ἐστι nur so Viel aussagen, dass das Seyn des Sohnes in Gott keinen Theil in ihm

Quæstio 143.

Si deus longe superior, homo autem inferior: quomodo non praeter fas homo appellatur deus?

Responsio.

Haec interrogatio nec Christiano congruit nec Gentili. Nam secundum utrumque ad inferiores, pro cujusque gloria, translata est superioris appellatio. Nequaquam autem ex rebus exploratis instituenda est dubitatio, sed ex incertis.

Quæstio 144.

Si deus habet subsistentiam exsistentem et voluntatem inexsistentem et filium exsistentem: quomodo, tot modis compositus, simplex dicitur?

Responsio.

Sicut deus ubique est totus et totus in unoquoque et totus in seipso, atque id fide nostra probamus: ita etiam simplicitas ejus tota filius est et tota filium habens est, atque tota voluntas est et tota voluntatem habens est. Non enim ad instar creatae naturae deus est, ut id quod sit et id quod habeat intelligatur per compositionem, sicut in creata natura; verum, pro eo atque naturam obtinet, ita etiam intelligendus est id quod sit et id quod habeat obtinere supra compositionem.

Quæstio 145.

Si per quae caro, per ea etiam sanguis consistit: quare deus carnis animantium esum permittit, carnis autem in sanguine usum interdicit, *Excepto*, inquiens, *quod carnem in sanguine non comedetis?*

ausmache, sondern ganz in seiner Einfachheit aufgehe."

3. *ἔχομεν*] Codd. msti (etiam Mon.) et editi *μὲν ἔχομεν*. Sed superfluit particula: „ex terminatione verbi *ἔχομεν* huc irrepsit" (Sylburg.). — Mox Mon. *οὕτω* (sine ς). Sic et infra.

4. *ὥσπερ* etc.] Codd. msti et editi *ὥσπερ* * *ἀλλ'*. Maranus cum Sylburgio hiulcam sententiam verbis *ἐν ταῖς κτισταῖς φύσεσιν* explevit.

5. *τὴν φύσιν ὤν*] Reg. in marg. *τὸ φύσει ὄν*.

1. *Πλὴν ... φάγεσθε*] Genes. IX. 4..

Ἀπόκρισις.

Ἵνα καὶ ἐν τούτῳ χωρίσῃ ἡμᾶς ὁ θεὸς τῆς τῶν θηρίων [2]ὁμοιό-
τητος, τῶν σὺν τῇ βρώσει τῆς σαρκὸς λαπτόντων καὶ τὸ αἷμα
ὧν τὰς σάρκας ἐσθίουσιν.

Ἐρώτησις ρμϛʹ. C

Εἰ ὁ θεός, ἐπὶ τῶν ἀληθῆ τὴν ἔκβασιν ἐσχηκότων, καὶ διὰ
τῶν παρ' Ἕλλησι μάντεων τὸ μέλλον ἔσεσθαι προεμήνυσεν, [1]πῶς,
ὁπηνίκα Ἕλληνες πρὸς Ἕλληνας διεμάχοντο, πολλάκις κατὰ χρη-
σμὸν πράξαντές τι, ὧν ἡ θεία γραφὴ τὴν πρᾶξιν ἀπηγόρευσε,
τῶν ἐν τῇ δευτέρᾳ πεύσει κειμένων δεινῶν ἀπηλλάγησαν; Οἷον
ἐπὶ μὲν πολέμου, ὡς ὅταν οἱ ἑπτὰ ἐπὶ Θήβαις ἄρδην μὲν κατα-
στρέφειν τὴν προῤῥηθεῖσαν πόλιν ἔμελλον, μαντευσαμένου δὲ Τει-
ρεσίου ὁ Μενοικεὺς κατὰ τὸ δοκοῦν τῇ μαντείᾳ ἑαυτὸν ἑτοίμως κα- D
τέσφαξε, καὶ οὕτως κατὰ τὴν πρόῤῥησιν τῆς μαντείας ἡ μὲν πόλις
διεσώθη, οἱ δὲ πολέμιοι ὑπὸ τῶν ἐν τῇ πόλει ἀνῃρέθησαν. Καὶ τοῦ-
το μὲν περὶ τῶν ἐν πολέμοις τροπαίων ἓν ἐκ πολλῶν ἡμῖν εἴρηται.

Ἀπόκρισις.

Ὁ ποιῶν τὴν λύσιν τῶν ζητουμένων πρῶτον ὀφείλει θεῖναι
τὰ ὁμολογήματα, εἶτα ἐξ αὐτῶν ποιήσασθαι τῶν ζητουμένων τὴν
λύσιν. Ἔστι δὲ τῶν ὁμολογουμένων τὸ ἕνα εἶναι θεὸν δημιουρ- 492
γόν τε καὶ προνοητὴν τοῦ κόσμου παντός, ὃν καταγγέλλουσιν αἱ
θεῖαι τῶν Χριστιανῶν γραφαὶ λόγοις θείαις δυνάμεσι μεμαρτυρη-
μένοις· παρ' οὗ ἐστι τῶν μελλόντων ἥ τε πρόῤῥησις καὶ ἡ ἔκβα-
σις. Ἐκβάλλουσι δὲ αἱ γραφαί, αἱ τοῦτον καταγγέλλουσαι, τοὺς
τῶν Ἑλλήνων θεούς· [2]Εἰ ἀλλάξουσι, φησί, τὰ ἔθνη τοὺς θεοὺς
αὐτῶν, καὶ αὐτοὶ οὐκ εἰσὶ θεοί. [3]Ὧν δὲ οὐκ εἰσὶν οἱ θεοὶ θεοί,
τούτων οὐδὲ οἱ μάντεις εἰσὶν ἀληθείας προφῆται, οὐδ' ἡ αὐτῶν
πρόῤῥησις ἀναπόδραστόν τε καὶ ἀληθῆ ἔχει τὴν ἔκβασιν. Ὥσπερ
γάρ εἰσι μακρὰν τῆς ἀληθινῆς θεότητος, οὕτως καὶ τῆς τῶν μελ- B
λόντων προγνώσεως. [4]Ὅτι δὲ καὶ ἐν τῇ μάχῃ τῶν Ἑλλήνων πρὸς

2. ὁμοιότητος] Fortasse (Wolf., Arcer.) ὠμότητος.

1. πῶς] Haec vocula, quae in codd. mstis et editis desideratur, Marani debetur conjecturae. Sylburgius vero, translationem Langi secutus, censet alteram quaestionis partem deesse, ita ut fere scribendum sit: *Εἰ... προεμήνυσεν, ὁπηνίκα ... διεμάχοντο, καὶ πολλά-*

Responsio.

Ut ea quoque re deus nos a ferarum similitudine secerneret, quae cum carnis esu sanguinem etiam eorum lambunt quorum carnibus vescuntur.

Quæstio 146.

Si deus, in iis quae vere ad exitum perducta sunt, etiam per gentilium vates futurum praenuntiavit: quomodo, quum gentiles cum gentilibus pugnarent, saepe illi qui ex oraculi monitu aliquid fecerunt, quod divina scriptura vetitum est, calamitatibus in Interrogatione secunda positis liberati sunt? Exempli causa in bello, quum septem illi apud Thebas principes funditus praedictam urbem eversuri essent, Tiresia responsum dante Menoeceus de sententia oraculi seipsum lubens interemit, sicque secundum oraculi praedictionem urbs servata est, hostes autem a civibus interemti sunt. Atque hoc victoriae in bello reportatae exemplum unum ex multis attuli.

Responsio.

Solutionem quaestionum suscipiens primo res exploratas statuere debet, deinde ex iis quaestionum solutionem perficere. Est autem in rebus exploratis, unum esse deum opificem et gubernatorem totius mundi, quem divinae Christianorum scripturae verbis adnuntiant divinarum virtutum testimonio confirmatis: a quo est futurorum praedictio et eventus. Projiciunt autem scripturae, quae illum praedicant, deos gentilium: *Si mutabunt*, inquit, *gentes deos suos*, *et ipsi non sunt dii*. Quorum autem dii non sunt dii, eorum neque vates prophetae sunt veritatis, neque eorum praedictio inevitabilem et verum habet eventum. Quemadmodum enim procul sunt a vera deitate, ita etiam a futurorum praecognitione. In pugnis autem gentilium adversus gentiles, qui multifariam, prae-

κις ... ἀπηλλάγησαν, οἷον ... ἀνηρέθησαν, καὶ ... εἴρηται, πῶς οὐχὶ τὰ ἑλληνικὰ μαντεύματα ἴσην τοῖς θείοις χρησμοῖς πίστιν τε καὶ ἀξίωσιν ἔχει; Coll. Gass. l. c. p. 44..

2. *Εἰ ... θεοί*] Jerem. II. 11..

3. *Ὧν* etc.] Consonat (Sylburg.) cum 3. Regg. XVIII., ubi Elias et Baalem et prophetas ejus coarguit mendacii.

4. *Ὅτι ... βούλησιν, μαρτυ-*

Ἕλληνας, τῶν πολυτρόπως, μάλιστα ἐν τοῖς πολέμοις, ταῖς μαντείαις χρησαμένων, ὁ τῶν Χριστιανῶν θεὸς τὴν ἰδίαν ἔστησε βούλησιν, μαρτυρεῖ μὲν ἡ μάχη Ἀλεξάνδρου καὶ Δαρείου, [5] τοῦ μὲν κρατύνας τὰς μαντείας, τοῦ δὲ καταργήσας· μαρτυρεῖ δὲ καὶ τοῦ Ἀσσυρίου ἡ μάχη ἣν εἶχε πρὸς τὰ ἄλλα πολλὰ καὶ ἰσχυρὰ ἔθνη, [6] ὃν ὁ θεὸς ῥάβδον τῆς ὀργῆς καὶ πρίονα ἐκάλεσε, ποτὲ μὲν λέγων· [7] Ἰδοὺ ὁ Ἀσσύριος ῥάβδος ἐστὶ τῆς ὀργῆς μου, ἐπὶ ἔθνος ἁμαρτωλὸν [ἀποστελῶ] αὐτόν· ποτὲ δὲ λέγων περὶ αὐτοῦ· Μὴ [ὑψω- C
θήσεται] πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; [8] Καίτοι [πρόδηλός ἐστιν] ὁ Ἀσσύριος ὅτι κατὰ τὰς ἐπιτυχίας τῶν χρησμολογημένων, ἃ εἴληφε παρὰ τῶν θεῶν αὐτοῦ διὰ τῶν μάντεων, πρίζει καὶ σπαράσσει τὰ ἐλεεινὰ ἔθνη, τὰ ὁμοίως αὐτῷ τῇ πεποιθήσει τῶν χρησμῶν συμβεβληκότα αὐτῷ εἰς πόλεμον, καὶ ἀποτετυχηκότα τῆς διὰ χρησμῶν ἐλπίδος, τοῦ θεοῦ συγχωρήσαντος ἐπιτυχεῖν μὲν τῶν χρησμῶν τὸν Ἀσσύριον, ἀποτυχεῖν δὲ τὰ ἔθνη. Περὶ ὧν ὁ μὲν θεὸς διὰ τοῦ προφήτου Ἠσαΐου φησίν· [9] Ὁ θεὸς ἀνῆκα τὴν χεῖρά μου, καὶ ἐξηράνθησαν: ὁ δὲ Ἀσσύριός φησι· Μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν D
ἐθνῶν τὴν γῆν αὐτῶν ἐκ τῶν χειρῶν μου, ὅτι ῥύσεται κύριος τὴν Ἱερουσαλὴμ ἐκ τῆς χειρός μου; Κατὰ δὲ τοὺς χρησμούς, οὓς ἐδέξατο ὁ Ἀσσύριος παρὰ τῶν μάντεων, τοιαύτας ἐφθέγξατο φωνάς, καὶ κατὰ τῶν ἐθνῶν καὶ κατὰ τῆς Ἱερουσαλήμ· καὶ τοῦ θεοῦ συγχωρήσαντος ἐπέτυχεν ὁ Ἀσσύριος τῶν χρησμῶν κατὰ τῶν ἐθνῶν, κατὰ δὲ τῆς Ἱερουσαλὴμ ἀπέτυχε τῶν χρησμῶν τοῦ θεοῦ μὴ συγχωρήσαντος. [10] Πῶς οὖν ἀπέτυχον τῆς μαντείας οἱ ἑπτὰ ἐπὶ Θήβαις 493
τοῦ ἄρδην ἀπολέσαι τὴν πόλιν; Ἡ γὰρ ἀποτυχία τῆς μαντείας ἔλεγχος γίνεται τῆς ἀσθενείας τοῦ θεοῦ, τοῦ διὰ τῆς μαντείας προμηνύσαντος τὰ ἀνέκβατα. Καὶ εἰ [11] κατὰ τὴν ἀψευδῆ τοῦ σωτῆρος

ρεῖ μὲν ἡ μάχη] Codd. msti et Stephan.: Ὅτε ... βούλησιν. μαρτυρεῖ δὲ ἡ μάχη.

5. τοῦ μὲν κρατύνας etc.] Concinnior esset structura si participiis in verba mutatis legeremus ἐν ᾗ ὁ θεὸς τοῦ μὲν ἐκράτυνε τὰς μαντείας, τοῦ δὲ κατήργησε, videlicet modo quo in sequenti membro factum est: nisi forte feminino genere malis κρατύνασα et καταργήσασα: ut ferantur ad proxime praecedens μάχη. *Sylburgius.*

6. ὃν] Codd. msti et editi ἣν vitiose.

7. Ἰδοὺ ... αὐτόν — Μὴ ... αὐτόν] Jesai. X. 5. 15.. — Verba ἀποστελῶ et ὑψωθήσεται, quae in codicibus mstis et in editione Stephaniana (spatio relicto) exciderunt, Syl-

sertim in bellis, usi sunt oraculis, Christianorum deum propriam statuisse voluntatem, testatur pugna Alexandri et Darii, quorum alterius vaticinia confirmavit, alterius subvertit: testatur quoque Assyrii cum aliis multis ac fortibus gentibus pugna, quem deus *virgam furoris* et *serram* vocavit, quandoque dicens: *Ecce Assyrius virga furoris mei est, adversus gentem peccatricem mittam eum:* quandoque de eo dicens: *Numquid exaltabitur serra absque eo qui trahit eam?* Ac sane constat Assyrium per prosperum eventum oraculorum, quae a diis suis per vates acceperat, tamquam serra scidisse et lacerasse miserabiles gentes, quae, pariter ut ipse oraculorum fiducia, bellum cum eo commiserunt, et spe oraculis concepta exciderunt, deo scilicet permittente ut Assyrius quidem felici oraculorum eventu potiretur, gentes vero eo exciderent. De quibus deus quidem per prophetam Jesaiam ait: *Deus remisi manum meam, et aruerunt* — Assyrius vero ait: *Numquid liberarunt dii gentium terram eorum ex manu mea, ut eruat dominus Hierosolymam ex manu mea?* Secundum oracula, quae Assyrius per vates acceperat, ejusmodi prolocutus est verba, et contra gentes et contra Hierosolymam; atque is adversus gentes felici oraculorum eventu est potitus deo permittente, adversus Hierosolymam autem eorumdem eventu potitus non est deo non permittente. Quomodo igitur oraculo decepti sunt septem illi principes apud Thebas quominus urbem eam prorsus exscinderent? Infelix enim oraculi exitus argumentum est infirmitatis ejus dei, a quo ea per oraculum praedicta sunt quae non evenerunt. Ac

burgius et Maranus reposuerunt ex Bibliis.

8. *Καίτοι* etc.] Codd. msti et editi *Καίτοι * ὁ Ἀσσύριος*. Lacunam explevit Sylburgius. — Mox ibidem *οὓς* (pro *ἃ*) *εἴληφε* mendose legitur.

9. *Ὁ θεὸς ... ἐξηράνθησαν — Μὴ ... μου*] Jesai. XXXVI. 20..

10. *Πῶς* etc.] Sylburgius: „Septem illos principes ad Thebas obsidendas oraculo inductos esse non meminit Apollodorus, sed potius per Amphiaraum vatem ab eo proposito esse avocatos.“ At Pseudo-Justinus videtur supponere nihil majoris rei antiquos inconsultis oraculis aggressos fuisse. *Maranus.*

11. *κατὰ τ. ἀ. τ. σωτ. φωνὴν*] Ev. Matth. X. 29..

φωνὴν χωρὶς θεοῦ στρουθίον οὐ πεσεῖται ἐπὶ τῆς γῆς, πολὺ μᾶλλον ἔθνος ὅλον ἢ πόλις ὅλη οὐκ ἂν ἀπόλοιτο μὴ τοῦ θεοῦ συγχωρήσαντος. Ὅτι δὲ πᾶν ἔθνος ἑλληνικὸν ὑπὸ ἔθνους ἑλληνικοῦ ἀπολλύμενον ὑπὸ ῥάβδου καὶ πρίονος τῆς ὀργῆς τοῦ θεοῦ ἀπόλλυται, φανερὸν καθέστηκεν ἐκ τῶν περὶ τοῦ Ἀσσυρίου εἰρημένων. Ἔτι δὲ εἰ τὰ παρὰ τῶν Ἑλλήνων περὶ τοῦ μάντεως Τειρεσίου εἰρημένα παντάπασίν ἐστι καταγέλαστα, πῶς ἐνδέχεται τὰ δι' αὐτοῦ λεχθέντα εἶναι ἀληθῆ; Φασὶ γὰρ περὶ αὐτοῦ ἄνδρα καὶ γυναῖκα γεγονέναι αὐτόν, καὶ ἀμφοτέρων ἔχειν τὰς πλάσεις, καί, πολλὰς μάχας τῶν θεῶν [12] διαλύσαντος, διὰ ταύτην τὴν αἰτίαν ἡ μὲν Ἥρα χολωθεῖσα αὐτῷ ἐπήρωσεν αὐτόν, ὁ δὲ Ζεὺς εἰς παραμυθίαν τῆς πηρώσεως αὐτοῦ ἐχαρίσατο αὐτῷ τὴν μαντικήν. Ἀλλ' εἰ ἀλλότρια πίστεως ὑπάρχει τὰ περὶ αὐτοῦ μυθευόμενα, πῶς ἐνδέχεται ἀληθῆ εἶναι τὰ ὑπ' αὐτοῦ μυθευόμενα; Ἔτι δὲ εἰ, καθὼς φασιν Ἕλληνες, τὰ ὑπὸ τῶν Μοιρῶν ἐπικλωθόμενα ἀδύνατόν ἐστιν ἀνακλωθῆναι, πῶς οὐκ εἰσὶν ἀνωφελεῖς αἱ μαντεῖαι τοῖς αὐταῖς χρωμένοις, τῶν Μοιρῶν ἐπὶ τὸ ἀναπόδραστον τέλος ἀναγκαίως ἀγουσῶν τὰ ὑπ' αὐτῶν ἐπικλωθόμενα; Ἀλλ' εἰ ταῦτα οὕτως ἔχει, πῶς οὐκ εἰσὶ ψευδεῖς αἵ τε Μοῖραι καὶ αἱ μαντεῖαι, ὑπ' ἀλλήλων ἀναιρούμεναι; Πῶς δὲ οὐκ ἔστιν ὁ Μενοικεὺς μάτην κατασφάξας ἑαυτὸν κατὰ τὸ δοκοῦν τῇ μαντείᾳ, τῆς αἰτίας τοῦ ἀναιρεῖσθαι μὲν τοὺς πολεμίους, σώζεσθαι δὲ τὴν πόλιν, μὴ ἐκ τοῦ δαίμονος τοῦ διὰ μάντεως χρηματίσαντος ὑπαρχούσης, ἀλλ' ἐκ τῆς τοῦ δεσπότου τοῦ ἀληθινοῦ θεοῦ συγχωρήσεως;

12. διαλύσαντος] Sylburg. et Morell. διαλύσαντα, contra codd.

si juxta minime fallacem salvatoris vocem invito deo passer in terram non cadit, multo minus gens tota aut urbs tota interit deo non permittente. Quod vero quaevis ethnica gens, quae a gente itidem ethnica exstincta est, virga et serra furoris dei interierit, manifesto ex iis apparet quae de Assyrio dicta sunt. Praeterea si quae a gentilibus de Tiresia vate memorata sunt omni ex parte ridicula sunt: quomodo fieri potest ut quae ille dixit vera fuerint? Dicunt enim eum virum et feminam fuisse, et utrorumque habuisse formas, et, quum multas inter deos diremisset contentiones, hanc ob causam Junonem iratam illi caecitatem immisisse, Jovem autem, ut casum ejus solaretur, divinatione illum donavisse. Porro quum incredibilia sint quae de ipso fabulose narrata sunt: quomodo fieri potest ut vera sint quae ipse fabulatus est? Denique si, ut gentiles dicunt, quae Parcarum fusis evoluta sunt revolvi non possunt: quomodo non inutilia sunt utentibus oracula, Parcis ad finem ineluctabilem necessario ea perducentibus quae earum sint evoluta fusis? Quae si ita habent: quomodo falsa non sunt quae alia ab aliis tolluntur, Parcae videlicet et divinationes? Quomodo vero Menoeceus non frustra seipsum necavit de sententia oraculi, quum causa cur hostes occiderentur, urbs autem servaretur, non ex daemone, qui per vatem responsum edidit, sed ex domino vero deo, qui id permisit, exstiterit?

mstorum auctoritatem. Structura autem variata est.

[1] ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΚΑΙ ΜΑΡΤΥΡΟΣ

ΕΡΩΤΗΣΕΙΣ ΧΡΙΣΤΙΑΝΙΚΑΙ ΠΡΟΣ ΤΟΥΣ ΕΛΛΗΝΑΣ.

Ἐρώτησις χριστιανικὴ πρὸς τοὺς Ἕλληνας α'.

Εἰ τῷ μεγίστῳ ἐν ἀνθρώποις ἀγαθῷ μέγιστον ἀντίκειται κακόν, μέγιστον δὲ ἐν ἀνθρώποις ἀγαθὸν τὸ γνῶναι τὸν ὄντως ὄντα θεόν, μέγιστον ἄρα κακὸν τὸ τοῦτον ἀγνοεῖν. Ἀλλ' ἐπειδή ἐστι τοῦτο κακὸν ἔν τισι τῶν ἀνθρώπων, ποῖόν ἐστι τῷ δημιουργῷ τοῦ κόσμου θεῷ πρεπωδέστερον τὸ ἐναλλάξαι τὴν τοῦ παρόντος βίου κατάστασιν καὶ ἀπαλλάξαι τοὺς ἀνθρώπους τοῦ μεγίστου κακοῦ, καθὼς ὁ τῶν Χριστιανῶν βούλεται λόγος, ἢ τὸ ἐᾶσαι μένειν τὸν E *κόσμον ἐπὶ τῆς αὐτῆς καταστάσεως καὶ τοὺς ἀνθρώπους τῷ μεγίστῳ κακῷ [2] ἀεὶ κατεχομένους;* P. 159 ed. Mor et Col.

[3] *Ἀπόκρισις ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς.*

Πρῶτον μὲν πρὸς τὸ πρῶτον ἄπορον ῥητέον, ὡς μέγιστον κακὸν οὐδέν ἐστιν. Εἰ γὰρ τῶν ἀγαθῶν τὸ μέγιστον ὁ θεός ἐστι, 160 *δῆλον ὅτι, εἴ τις [4] ὑπόθοιτο μέγιστον κακόν, εὑρεθήσεται ἑτέρα ἀρχὴ ἐναντία τῷ θεῷ· ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες λέγουσι. Καὶ γὰρ ἄτοπον τὸν θεὸν μὴ πάντα καταλαμβάνειν, μὴ πᾶσι τὴν ἑαυτοῦ ἀγαθότητα ἐπιλάμπειν. Μέγιστον τοίνυν κακὸν οὐδέν. Καὶ γὰρ ἡ ἄγνοια πολλάκις ἐπ' ἀγαθῷ δίδοται τοῖς ἀνθρώποις· ὁρῶμεν οὖν ἐπὶ πολλῶν ὡς πολλάκις συμβαίνει μᾶλλον καταφρονεῖν τῶν γινωσκομένων ἢ τῶν ἀγνοουμένων. Ἄλλως τε καὶ τὸ ἀγνοεῖν* B *τὸν ὄντως ὄντα θεὸν οὐκ ἔκ τινος ἄλλου ἀλλ' ἐκ τῆς οἰκείας λήθης*

1. *ΤΟΥ* etc.] De hujus libri inscriptione in codd. mstis (in Reg. et Clar.) vid. Prolegomena. — Stephanus: *Τοῦ αὐτοῦ ἁγίου Ἰουστίνου Ἐρωτήσεις χριστιανικαὶ πρὸς τοὺς Ἕλληνας. Ἐρώτησις α'.* Sylburgius vocem *ἁγίου* et Maranus verba *τοῦ αὐτοῦ ἁγίου Ἰουστίνου* omisit.

2. *ἀεὶ κατεχομένους*] Subau-

SANCTI JUSTINI PHILOSOPHI ET MARTYRIS
QUÆSTIONES CHRISTIANÆ AD GENTILES.

Quæstio christiana ad gentiles I.

Si summo hominum bono summum opponitur malum, summum autem hominibus bonum est deum verum nosse: summum certe malum erit illum ignorare. Porro quum hoc malum nonnullis insit hominibus: utrum deo mundi opifici magis convenit mutare praesentis vitae statum atque liberare homines summo malo, sicut Christiani docent, an sinere ut mundus in eodem statu maneat atque homines summo semper malo detineantur?

Responsio gentilis ad Christianos.

Primum ad quaestionem primam dicendum, nullum esse summum malum. Nam si summum bonum deus est, patet, si quis supponat summum malum, alterum reperiri principium deo contrarium: quod quidem Manichaei perperam asserunt. Etenim absurdum est deum non universa complecti, ac bonitatis suae lucem in omnia non diffundere. Summum ergo malum nullum est. Nam ignoratio saepe utilitatis causa datur hominibus: unde multis videmus saepe accidere ut magis cognita despiciant quam ignota. Praeterea ignorationem veri dei non aliunde quam ex propria oblivione anima patitur. Ob-

dias *μένειν* ex praecedenti membro; alioqui legendum esset *ἀεὶ κατέχεσθαι.*

3. *Ἀποκρ. ἑλλ. πρὸς τ. Χριστ.*] Verba *πρὸς τ. Χριστ.*, quae in codd. mstis et editis desunt, adjicienda putavi, quia deinceps constanter adduntur.

4. *ὑπόθοιτο*] Stephan. (ex Reg.) *ὑπόθειτο.* Sed *ὑπόθοιτο* (etiam in Confutatione), quod caeteri editores reposuerunt, Clar. praebet.

ἡ ψυχὴ πάσχει. Παραγίνεται δὲ καὶ ταῖς ἐνταῦθα ψυχαῖς γνῶσις θεοῦ· [5] ὡσπεροῦν ὁρῶμεν καὶ ἐνταῦθα ἀνθρώπους γινώσκοντας τὸν θεόν. Εἰ δέ τις ἐθέλοι τὸ ἀληθὲς λέγειν, οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ θεοῦ· πάντες γὰρ ὅτι ἔστιν ὁ θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ. Ὅτι δὲ καὶ ἐνταῦθα ὄντες δύνανται οἱ ἄνθρωποι γινώσκειν τὸν θεόν, καὶ ἡ τῶν ὀρθοδόξων πίστις σαφῶς δηλοῖ, λέγουσα C
τὸν θεὸν αὐτὸν κατεληλυθέναι καὶ ἐγνῶσθαι τοῖς ἀνθρώποις. Εἰ τοίνυν δυνατὸν καὶ ἐνταῦθα τοὺς ἀνθρώπους ὄντας γινώσκειν τὸν θεόν, οὐδὲν αὐτοῖς μέγιστον κακὸν συμβαίνει ἐκ τοῦ ἐνταῦθα εἶναι. Τοῖς ἀγνοοῦσι γάρ, καθὼς εἴρηται, ἐκ τῆς ἀπίστου φύσεως τὸ ἀγνοεῖν τὸν θεὸν συμβαίνει. Εἰ δέ τις καὶ συγχωρήσει, ὅπερ ἄτοπον, μέγιστον εἶναι κακὸν τὰ ἐνταῦθα, καὶ κάλλιον ὑπάρχειν τὸ μὴ εἶναι τὰ τῇδε τοῦ εἶναι, εἰ μὲν λέγει κακὰ πεποιηκέναι τὰ D
τῇδε τὸν δημιουργὸν δι᾽ ἀσθένειαν, ἀνοηταίνει, τὴν τοῦ θεοῦ δύναμιν φάσκων μὴ καταλαμβάνειν πάντα. Εἰ δέ, δυνάμενος καλὰ ποιῆσαι τὰ τῇδε, συνεχώρησεν ἑτέροις κακὰ ποιεῖν, καὶ τοῦτο ἔσται κατηγόρημα θεοῦ· ὁ γὰρ δυνάμενος μὲν παῦσαι, περιορῶν δέ, ἀληθέστερον αὐτὸς δρᾷ. Εἰ δὲ αὐτός ἐστιν ὁ θεὸς ὁ ποιήσας τὰ τῇδε, δῆλον ὅτι τοῦ αὐτοῦ θεοῦ μένοντος καὶ εἰς ὕστερον καὶ ἀεὶ τὰ αὐτὰ ἔσται. Ἃ γὰρ πάλαι ἠδύνατο καὶ νῦν δύναται. Εἰ δὲ νῦν τι E
πλεῖον δύναται παρὰ τὰ πρὸ τοῦ, ἔγχρονος αὐτοῦ ἔσται ἡ τοιαύτη δύναμις, ὅπερ ἄτοπον· τὸ γὰρ ἔγχρονον φθαρτόν. Εἰ δέ, δυνάμενος καὶ πάλαι κωλῦσαι τὸ μέγιστον οὕτω κακόν, οὐκ ἐκώλυσε, φθονερὸς ἂν εἴη· ὅπερ ἀσεβὲς καὶ φαντάζεσθαι. Δεῖ οὖν τὸν αὐτὸν ἐπὶ τῶν αὐτῶν μένοντα τὰ αὐτὰ ποιεῖν.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς [6] γενομένης. 161

1. Ἱκανὸς μὲν ἦν εἰς ἔλεγχον τοῦ ἀσυστάτου λόγου αὐτὸς ὁ λόγος νοούμενος. Τῷ γὰρ λέγειν ἐν ἀρχῇ μὲν τοῦ λόγου μὴ εἶναι μέγιστον κακόν, ἐν τῷ τέλει δὲ τοῦ λόγου τὸ ἀσεβὲς εἶναι καὶ ἐκ μόνης φαντασίας τὸ τὰ ἀνάξια περὶ θεοῦ φρονεῖν, πῶς οὐκ ἔστι B
[7] κεκριμένως εἰσαγόμενον τὸ μέγιστον κακόν, τὸ ἀκρίτως ἐκβληθὲν

5. ὡσπεροῦν] Nos: *wie denn auch wirklich*. Vulgo ὥσπερ οὖν divise, etiam in Confutatione.

6. γενομένης] Fortasse γεγενημένης, ut deinceps. Non muto.

venit autem hîc quoque animis cognitio dei: sicut profecto videmus etiam in hac vita homines deum cognoscentes. Ac si quis dicere verum velit, non est omnino dei ignoratio; omnes enim deum esse communi fatentur sententia. Porro homines etiam in hac terra deum cognoscere posse, orthodoxorum quoque fides liquido declarat, quae deum ipsum descendisse et ab hominibus cognitum esse asseverat. Si igitur etiam in hac vita homines deum cognoscere possunt, nullum iis summum malum ex eo quod hîc sint contingit. Ignorantibus enim, sicut dictum est, increduli ingenii vitio dei ignoratio obvenit. Quodsi quis etiam concedat, quod quidem est absurdum, summum esse malum ea quae hîc sunt, eaque non exsistere satius esse quam exsistere: si quidem ea quae hîc sunt dicit ab opifice ob infirmitatem mala facta fuisse, insanit, dum dei potentiam dicit universa non complecti. Sin autem, quum ea quae hîc sunt posset bona facere, permisit aliis ut mala facerent, erit hoc quoque dei incusatio; nam qui prohibere potest, sed contemnit, verius ipse effector est. Sin ipse deus est qui ea quae hîc sunt fecit, patet eodem deo manente ista et posthac et semper eadem esse futura. Quae enim dudum potuit etiam nunc potest. Quodsi nunc prolixius quidquam potest quam antea, temporaria erit eiusmodi ipsius potentia, quod quidem absurdum est: nam quod temporarium id corruptibile est. Sin, quum etiam olim prohibere potuerit summum hoc malum, non prohibuit, invidus fuerit: quod quidem vel imaginari impium est. Ergo necesse est eumdem in iisdem manentem eadem facere.

Confutatio responsionis non recte institutæ.

1. Satis est ipsam orationem intelligere ut eam sibi non constare arguatur. Nam quum in initio quidem orationis dicat „non esse summum malum,“ in fine autem „impium esse vel sola imaginatione ea quae deo indigna sunt sentire:“ quomodo non introducitur considerate summum malum, quod in-

7. κεκριμένως] Stephan. (ex Reg.) et Sylburg. κεχρημένως, unde Morell. vitiose κεχρημένος. Genuinam lectionem (Clar. κεκρυμένως) Maran. reposuit; opponitur ἀκρίτως.

παρὰ τοῦ ἀποκριναμένου; Εἰ δὲ προστεθείη τῇ τοιαύτῃ ἐκ μόνης φαντασίας ἀσεβείᾳ καὶ τὸ λέγειν, μείζων γίνεται ἡ ἀσέβεια· εἰ δὲ σὺν τῷ λέγειν καὶ τὸ γράφειν, ἐξ ἀνάγκης πᾶσαν κακίας ὑπερβολὴν ἡ ἀσέβεια ἔχουσα. Εἰ δὲ ταῦτα οὕτως ἔχει, καὶ ἔστιν ἐν πᾶσι τοῖς ἀναξίως περὶ θεοῦ λεγομένοις τε καὶ γραφομένοις ἢ καὶ μόνον φανταζομένοις ἀσέβεια καθαιρετικὴ τῆς δόξης τοῦ θεοῦ, ἔστιν ἄρα ἐξ C
ἀγνοίας θεοῦ τὸ μέγιστον κακὸν ἐν ἀνθρώποις. Ἀλλ' ἐπειδὴ [8] ἔδοξε τῇ σῇ θεοσεβείᾳ τὸ καὶ παρ' ἡμῶν ἐγγράφως ἐλεγχθῆναι τοῦ λόγου τὸ ἀσύστατον, διὰ τοῦτο ἐν συντόμῳ γράφω τὰ ὑποτεταγμένα· τὸ γὰρ διὰ πλειόνων ἐλέγξαι πρόδηλον ψεῦδος ναρκῶδες καὶ τῷ γράφοντι καὶ τῷ ἀναγινώσκοντι.

2. Δύο εἴδη τοῦ μεγίστου κακοῦ ἔθηκεν ὁ ἀποκρινάμενος ἐν τῇ ἑαυτοῦ ἀποκρίσει, καὶ τρία εἴδη τῆς ἀγνοίας τοῦ θεοῦ· ἐκεῖνα μὲν κατὰ τοὺς Μανιχαίους, ταῦτα δὲ κατ' αὐτὸν τὸν ἀπο- D
κρινάμενον. Καὶ τῶν δύο εἰδῶν τοῦ μεγίστου κακοῦ τὸ μὲν ἔλεγε κατ' οὐσίαν, τὸ δὲ κατ' ἐνέργειαν τοῦ κατ' οὐσίαν· τῶν δὲ τριῶν εἰδῶν τῆς τοῦ θεοῦ ἀγνοίας τὸ μὲν ἔλεγε κατὰ λήθην, τὸ δὲ κατὰ τὴν ἄπιστον φύσιν, τὸ δὲ κατὰ τὴν ἀγαθὴν δόσιν. Ποιῶν δὲ σύντομον τὴν ἀναίρεσιν καὶ τῶν κατὰ Μανιχαίους καὶ τῶν κατ' αὐτὸν ἔφασκε, ποτὲ μὲν ἀναιρῶν τῶν Μανιχαίων τὴν δό-
ξαν, [9] ὅταν φησί· Μέγιστον κακὸν οὐδέν ἐστιν· εἰ δέ τις ὑπό- E
θοιτο μέγιστον κακόν, εὑρεθήσεται ἑτέρα ἀρχὴ ἐναντία τῷ θεῷ, ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες λέγουσι· ποτὲ δέ, ὅταν φησί· [10] Τὸ ἀγνοεῖν τὸν ὄντως ὄντα θεὸν οὐκ ἐξ ἄλλου τινὸς ἀλλ' ἐκ τῆς οἰκείας λήθης ἡ ψυχὴ πάσχει· ἐν ἐκείνοις μὲν ἀναιρῶν τὸ κατ' οὐσίαν μέγιστον κακόν, ἐν τούτοις δὲ τὸ κατ' ἐνέργειαν. Ἀναι-
ρῶν δὲ καὶ τὰ εἴδη τῆς ἀγνοίας τοῦ θεοῦ, ἃ αὐτὸς ἔθηκε, καί φη- 162
σιν· Οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ θεοῦ· πάντες γὰρ ὅτι ἔστι θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ. Εἰ μὲν οὖν οὐκ ἔστιν ὅλως ἄγνοια περὶ θεοῦ, δῆλον ὅτι ψευδὲς τὸ Ἀγνοεῖν τὸν θεὸν συμβαίνει τοῖς ἀνθρώποις ἢ κατὰ λήθην ἢ κατὰ τὴν ἄπιστον φύσιν ἢ κατὰ τὴν ἀγα-

8. ἔδοξε τῇ σῇ θεοσεβείᾳ] Haec compellatio Justini Martyris aetate ignota erat: est recentiorum temporum. Ejusdem generis formula invenitur in praefatione Confutationis dogm. Arist. (not. 1.).

9. ὅταν] Codd. msti et editi καί.

considerate a responsore rejectum est? At si hujusmodi ex sola imaginatione impietati illud addatur ut ea quoque verbis proferatur, major committitur impietas; sin non dicatur solum sed etiam scribatur, necessario omnem malitiae gradum excedet impietas. Quodsi haec ita habent, et in omnibus quae indigne de deo dicuntur et scribuntur aut vel sola mentis cogitatione informantur impietas inest, gloriae dei abrogatrix: est profecto summum in hominibus ex dei ignoratione malum. Sed quandoquidem pietati tuae visum est ut et a nobis scripto inconstantia argumenti demonstretur, idcirco breviter quae subjuncta sunt scripsi; nam pluribus refellere manifestum mendacium et scribenti et legenti taedium affert.

2. Duas species summi mali responsor in responso suo posuit, et tres species ignorationis dei: illas quidem de Manichaeorum sententia, has vero suapte opinione. Et duarum summi mali specierum alteram dixit esse substantiâ, alteram operatione ejus quod substantiâ malum est; triplicis autem qua deus ignoratur speciei unam ex oblivione, secundam ex incredulo ingenio, tertiam ex utili beneficio proficisci dixit. Breviter vero et Manichaeorum et suam ipsius evertit sententiam, nunc quidem tollens Manichaeorum opinionem, quum ait: „Nullum est summum malum; si quis autem supponat summum malum, alterum reperietur principium deo contrarium, quod quidem Manichaei perperam asserunt:“ nunc autem, quum ait: „Ignorationem veri dei non aliunde quam ex propria oblivione anima patitur:“ illic summum substantiâ malum, hîc quod operatione fit abrogans. Abrogans vero species quoque dei ignorationis, quas ipse statuit, etiam ait: „Non est omnino dei ignoratio; omnes enim deum esse communi fatentur sententia.“ Ac si quidem prorsus non est ignoratio dei, patet illud esse falsum: „Ignoratio dei obtingit hominibus vel oblivione vel ingenio incredulo vel utili beneficio.“ Si vero communem

10. *Τὸ ἀγνοεῖν*] Haec in codd. mstis et editis male desunt; reposui ex Responsionis textu. His autem verbis, *Τὸ ἀγνοεῖν . . . ἡ ψυχὴ πάσχει*, refellitur (Maran.) sententia Manichaeorum, nempe illud malum quod fit per operationem malae substantiae, sublato libero arbitrio.

θὴν δόσιν. Εἰ δὲ κοινὴν ἔννοιαν πάντων λέγει τὴν κατὰ τὴν εἰ-
δικὴν ἔννοιαν ἑκάστης τῶν κακοδόξων αἱρέσεως ἀναιρουμένην, οὐδ'
οὕτως ἔσται γνῶσις θεοῦ ἐν τοῖς πᾶσιν. Ἡμεῖς δὲ [11] οὔτε τὸ κατὰ
τοὺς Μανιχαίους μέγιστον κακὸν οὐδὲ τὴν κατ' αὐτὸν τὸν ἀποκρι- B
νάμενον ἄγνοιαν θεοῦ ἐθήκαμεν ἐν τῇ ἐρωτήσει, ἀλλὰ μέγιστον
κακὸν κατ' ἔννοιαν εἴπομεν, τὸ κατὰ τοῦ θεοῦ ψεῦδος, ἄγνοιαν
δὲ θεοῦ τὴν τὸ ψεῦδος εἰρηκυῖαν· ὅπερ ἐστὶ τρίτον εἶδος τοῦ με-
γίστου κακοῦ, ἐκ τῆς ἑκουσίου ἀπειθείας τε καὶ ἀπιστίας ἀνθρώ-
πων συμβαῖνον αὐτοῖς· [12] ὃ προθέμενος ὁ ἀποκρινάμενος ἀναιρεῖν,
ἀνεῖλε μὲν τὰ κατὰ τοὺς Μανιχαίους δύο τοῦ μεγίστου κακοῦ εἴδη,
τὸ δὲ καθ' ἡμᾶς οὐκ ἀνεῖλε. Διὸ δυοῖν θάτερον ἀνάγκη ἡμᾶς λέ- C
γειν περὶ τοῦ ἀποκριναμένου, ἢ τὸ μὴ νοῆσαι τὸ καθ' ἡμᾶς τρίτον
εἶδος τοῦ μεγίστου κακοῦ, ἢ τὸ μὴ εὐπορῆσαι δικαίας ἀντιλογίας
τούτου ἀναιρετικῆς. Ὅτι δέ ἐστι τὸ καθ' ἡμᾶς μέγιστον κακὸν ἐξ
ἀγνοίας θεοῦ συμβαῖνον τοῖς ἀνθρώποις, δείκνυται οὕτως. Τὸ
μέγιστον κακόν, τὸ μὴ ὂν κατ' οὐσίαν, τοῦτο διὰ τὴν ἄγνοιαν τοῦ
θεοῦ ὑπέθεντο οἱ ἄνθρωποι εἶναι τοῖς ἑαυτῶν δόγμασι. Μαρτυ-
ρεῖ δὲ τούτῳ καὶ αὐτὸς ὁ ἀποκρινάμενος ἐν οἷς ἔλεγε· Μέγιστον
κακὸν οὐδέν ἐστι· καὶ εἴ τις ὑπόθοιτο μέγιστον κακόν, εὑρεθήσεται
ἑτέρα ἀρχὴ ἐναντία τῷ θεῷ, ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες D
λέγουσι. Καὶ γὰρ ἄτοπον τὸν θεὸν μὴ πάντα καταλαμβάνειν, μὴ
πᾶσι τὴν ἑαυτοῦ ἀγαθότητα ἐπιλάμπειν. Μέγιστον τοίνυν κακὸν
οὐδέν. Ἐν τούτοις ἀνῄρηται μὲν τὸ κατ' οὐσίαν μέγιστον κακόν,
ὑπολέλειπται δὲ τὸ καθ' ὑπόθεσιν ἐν δόγματι, ὃ ἐθήκαμεν ἡμεῖς ἐν
τῇ ἐρωτήσει. Ἀλλ' ἐπειδὴ πρὸς ἀναίρεσιν τοῦ καθ' ἡμᾶς μεγίστου
κακοῦ ὁ ἀποκρινάμενος ἀποτεινόμενος ἔλεγε Μέγιστον κακὸν οὐ- E
δέν ἐστι, διὰ τοῦτο δῆλός ἐστιν ὁ ἀποκρινάμενος ἢ μὴ νοήσας,
καθὰ εἴρηται, τὸ καθ' ἡμᾶς μέγιστον κακόν, ἢ μὴ εὐπορήσας δι-
καίας ἀντιλογίας. Ἀλλ' εἰ τοῦτο οὕτως ἔχει, δῆλον ὅτι ἔστι μέγι-
στον κακὸν ἐν ἀνθρώποις καθ' ὑπόθεσιν ἐν δόγματι. Εἰ γάρ,
φησί, μέγιστον τῶν ἀγαθῶν ὁ θεός ἐστιν, ἀληθὴς μὲν καὶ εὐσε- 163
βὴς ἡ φωνὴ ἡ λέγουσα τὸν θεὸν μέγιστον εἶναι τῶν ἀγαθῶν. Ἀλλ'
ἐπειδή τινες τῶν ἀνθρώπων ἐξ ἀγνοίας θεοῦ ἀποστεροῦσι μὲν τὸν

11. οὔτε . . . οὐδὲ] Noli alterutram particulam (= *weder* . . . *noch* auch) mutare; cf. Klotz. ad Devar. Vol. II. p. 714..

omnium sententiam dicit eam quam propria cujusque pravae haeresis sententia evertit, ne sic quidem dei cognitio inerit omnibus. Nos autem neque illud secundum Manichaeos summum malum neque illam secundum responsorem dei ignorationem in quaestione posuimus, sed summum malum in mente esse dicimus, de deo opinionem falsam: ignorationem vero dei quae opinionem hujusmodi falsam profert; quae quidem tertia est species summi mali, hominibus ex voluntaria rebellione et infidelitate obveniens: quam quum instituisset responsor abolere, abolevit quidem duas Manichaeorum summi mali species, nostram non abolevit. Quapropter duorum alterum de responsore dicere necesse habemus: aut ignorasse eum tertiam nostram summi mali speciem, aut ei justam contradicendi causam defuisse quae speciem eam aboleret. Enimvero summum quod nos dicimus malum hominibus accidere ex ignoratione dei, ita demonstratur. Summum malum, quod substantiâ non est, homines per ignorationem dei suis placitis esse statuerunt. Testatur hoc et ipse responsor verbis: „Nullum est summum malum; ac si quis supponat summum malum, alterum reperietur principium deo contrarium, quod quidem Manichaei perperam asserunt. Etenim absurdum est deum non universa complecti, ac bonitatis suae lucem in omnia non diffundere. Summum ergo malum nullum est.“ In his quidem sublatum est summum substantiâ malum, relictum autem id quod in opinione supponitur, quodque nos in quaestione posuimus. Caeterum quandoquidem responsor ad evertendum summum quod nos dicimus malum intentus dixit „Nullum est summum malum,“ idcirco liquet eum vel non intellexisse, prout est dictum, summum quod dicimus malum, vel justa contradicendi causa destitutum fuisse. Id vero si ita habet, patet summum esse in hominibus malum quod in opinione supponitur. „Nam si,“ inquit, „summum bonum deus est,“ vera quidem ac pia vox quae deum summum bonum esse dicit. Sed quia nonnulli homines ex

12. ὅ] Morell. et Maran. ὁ.

ὄντως ὄντα θεὸν τῶν δικαίων αὐτοῦ προσηγοριῶν τε καὶ τιμῶν,
καὶ προσάπτουσιν αὐτὰς τοῖς οὐκ οὖσιν, ἆρά γε οὐ δοκεῖ τῷ ἀπο-
κριναμένῳ ἀσέβειαν εἶναι διπλῆν, ἧς μείζων οὐκ ἔστι, τὸ τὸν μὲν
ὄντως ὄντα θεὸν ἀγνοεῖν, τὸν δὲ οὐκ ὄντα ταῖς ἐκείνου τιμᾶν
προσηγορίαις καὶ τιμαῖς; Πῶς δὲ ἐνδέχεται κατὰ τὴν ἐκείνου ἀπό- B
φασιν λέγουσαν μὴ εἶναι μέγιστον κακὸν ἐν ἀνθρώποις, τῆς με-
γίστης ἀσεβείας οὔσης ἐν ἀνθρώποις, εἰ μήτι γε ἄρα τὴν μεγίστην
ἀσέβειαν οὐχ ἡγεῖται μέγιστον εἶναι κακόν; Εἴ τις, φησίν, ὑπό-
θοιτο μέγιστον κακόν, εὑρεθήσεται ἑτέρα ἀρχὴ ἐναντία τῷ θεῷ,
ὅπερ οἱ Μανιχαῖοι κακῶς λέγοντες λέγουσι. Καὶ γὰρ ἄτοπον τὸν
θεὸν μὴ πάντα καταλαμβάνειν, μὴ πᾶσι τὴν ἑαυτοῦ ἀγαθότητα
ἐπιλάμπειν. Μέγιστον τοίνυν κακὸν οὐδέν. Εἰ μέγιστον κακὸν C
οὐδέν ἐστιν ἐν ἀνθρώποις, πῶς διέβαλες τοὺς Μανιχαίους ὡς κα-
κῶς [13] λέγουσιν ἃ λέγουσιν; Εἰ μὲν γὰρ κακῶς λέγουσιν οἱ Μανι-
χαῖοι ἃ λέγουσιν, δῆλον ὅτι κακόν ἐστι τὸ λεγόμενον παρ' αὐτῶν·
πᾶς γὰρ ὁ λέγων κακῶς τὸ κακὸν λέγει κακῶς· τὸ δὲ κατὰ τοὺς
Μανιχαίους κακὸν τοιοῦτόν ἐστιν, οὗ μεῖζον οὐκ ἔστιν. Ἀλλ' εἰ
ἀληθὲς τοῦτο, ἀληθῶς ἄρα ἔστι μέγα κακὸν ἐν ἀνθρώποις, εἰ
καὶ μὴ κατ' οὐσίαν, ἀλλ' ἐν ὑποθέσει καὶ δόγματι.

3. Καὶ γάρ, φησίν, ἡ ἄγνοια πολλάκις ἐπ' ἀγαθῷ δίδοται τοῖς
ἀνθρώποις· ὁρῶμεν γοῦν ἐπὶ πολλῶν ὡς πολλάκις συμβαίνει μᾶλ- D
λον καταφρονεῖν τῶν γινωσκομένων ἤπερ τῶν ἀγνοουμένων. Ἄλ-
λως τε καὶ τὸ ἀγνοεῖν τὸν ὄντως ὄντα θεὸν οὐκ ἔκ τινος ἄλλου ἀλλ'
ἐκ τῆς οἰκείας λήθης ἡ ψυχὴ πάσχει. Παραγίνεται δὲ καὶ ταῖς ἐν-
ταῦθα ψυχαῖς γνῶσις τοῦ θεοῦ· ὥσπερ οὖν ὁρῶμεν καὶ ἐνταῦθα
ἀνθρώπους γινώσκοντας τὸν θεόν. Εἰ δέ τις ἐθέλοι τὸ ἀληθὲς
λέγειν, οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ τοῦ θεοῦ· πάντες γὰρ ὅτι ἔστι
θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ. Ὅτι δὲ καὶ ἐνταῦθα ὄντες δύναν- E
ται οἱ ἄνθρωποι γινώσκειν τὸν θεόν, καὶ ἡ τῶν ὀρθοδόξων πίστις
σαφῶς δηλοῖ, λέγουσα τὸν θεὸν αὐτὸν κατεληλυθέναι καὶ ἐγνῶ-
σθαι τοῖς ἀνθρώποις. Εἶπεν ὅτι ἐπ' ἀγαθῷ δέδοται πολλάκις τοῖς
ἀνθρώποις ἡ ἄγνοια. Ἀλλ' εἰ μὲν τὴν τοῦ [14] θεοῦ λέγει ἄγνοιαν,

13. λέγουσιν ἃ λέγουσιν] Maranus verba ἃ λέγουσιν omisit. Morellus dedit λέγοντας ἃ λέγουσιν ex emendatione, qua quidem superse-

ignoratione dei verum deum justis nominibns et honoribus fraudant, et ad eos qui dii non sunt ea transferunt: an non responsori duplicata esse videtur impietas, qua major non est, verum quidem deum ignorare, eum autem qui deus non est illius ornare nominibus et honoribus? Quo autem modo stare potest illius sententia qua negat esse in hominibus summum malum, quum in iis summa sit impietas: nisi forte summam impietatem summum non existimat esse malum? „Si quis," inquit, „supponat summum malum, alterum reperietur principium deo contrarium, quod quidem Manichaei perperam asserunt. Etenim absurdum est deum non universa complecti, ac bonitatis suae lucem in omnia non diffundere. Summum ergo malum nullum est." Si nullum est in hominibus malum summum: quomodo Manichaeos criminaris quod male dicant quae dicunt? Si enim male dicunt Manichaei quae dicunt, patet malum esse quod ab ipsis dicitur; quisquis enim male dicit, malum male dicit: Manichaeorum autem malum hujusmodi est, ut eo majus non sit. Atqui hoc si verum est, revera certe ingens est in hominibus malum: si minus substantia, tamen hypothesi et opinione.

3. „Nam ignoratio," inquit, „saepe in beneficii loco datur hominibus: unde multis videmus saepe accidere ut magis cognita despiciant quam ignota. Praeterea ignorationem veri dei non aliunde quam ex propria oblivione anima patitur. Obvenit autem hîc quoque animis cognitio dei: sicut profecto videmus etiam in hac vita homines deum cognoscentes. Ac si quis verum dicere velit, non est omnino dei ignoratio; omnes enim deum esse communi fatentur sententia. Porro homines etiam in hac terra deum cognoscere posse, orthodoxorum quoque fides liquido declarat, quae deum ipsum descendisse et ab hominibus cognitum esse asseverat." Dixit hominibus saepe datam esse in beneficii loco ignorationem. Quodsi eam dicit ignorationem, de qua nobis sermo est, ma-

demus.

14. θεοῦ] Hunc genitivum, quem Clar. quoque agnoscit, praetermisit Stephanus.

περὶ ἧς ἐστιν ἡμῖν ὁ λόγος, προδήλως ἄτοπον τὸ τὴν ἄγνοιαν τοῦ 164
θεοῦ λέγειν ἐπ' ἀγαθῷ δίδοσθαι τοῖς ἀγνοοῦσι· τούτῳ γὰρ τῷ λόγῳ
ἔσονται πᾶσαι αἵ θρησκεῖαι αἵ ἀγνοοῦσαι τὸν θεὸν ἐπ' ἀγαθῷ ἑαυ-
τῶν ἀγνοοῦσαι τὸν θεόν, ἡ δὲ τὸν θεὸν γινώσκουσα θρησκεία οὐκ
ἐπ' ἀγαθῷ ἑαυτῆς. Εἰ δὲ ἑτέραν λέγει ἄγνοιαν, περὶ ἧς προέκειτο
ἡμῖν λέγειν, ἄκαιρος ἡ παράθεσις ἀντὶ τῆς ζητουμένης ἀγνοίας τὴν
μὴ ζητουμένην ἔχουσα. Εἶπεν ὅτι ἐκ τῆς οἰκείας λήθης πάσχει ἡ B
ψυχὴ τὸ ἀγνοεῖν τὸν θεόν. Εἶπεν ὅτι καὶ ἐνταῦθα παραγίνεται
ταῖς ψυχαῖς γνῶσις θεοῦ· εἶπεν ὅτι καὶ ἐνταῦθα ὁρῶμεν γινώ-
σκοντας τὸν θεόν. Εἶπεν ὅτι οὐδόλως ἐστὶν ἄγνοια περὶ θεοῦ·
πάντες γὰρ ὅτι [15] ἔστι θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ. Εἶπεν ὅτι
καὶ ἐνταῦθα δύνανται οἵ ἄνθρωποι γινώσκειν τὸν θεόν· καὶ τού-
του εἰς ἀπόδειξιν παρέθετο τὴν πίστιν τῶν ὀρθοδόξων, λέγουσαν
αὐτὸν τὸν θεὸν κατεληλυθέναι καὶ ἐγνῶσθαι τοῖς ἀνθρώποις. Ἀλλ'
εἰ μὲν ἀληθὲς ὅτι τῇ οἰκείᾳ λήθῃ πάσχει ἡ ψυχὴ τὸ ἀγνοεῖν τὸν C
θεόν, δῆλον ὅτι ψευδὲς τὸ Οὐδέ ἐστιν ὅλως ἄγνοια περὶ θεοῦ·
πάντες γὰρ ὅτι ἔστι θεὸς ὁμολογοῦσι κοινῇ ἐννοίᾳ. Τίς δὲ ἦν
χρεία τοῦ παραγενέσθαι ταῖς ἐνταῦθα ψυχαῖς γνῶσιν τοῦ θεοῦ,
πάντων γινωσκόντων τὸν θεὸν καὶ ὁμολογούντων κοινῇ ἐννοίᾳ; Τὸ
δὲ Καὶ ἐνταῦθα ὁρῶμεν ἀνθρώπους γινώσκοντας τὸν θεόν, περὶ
τίνων λέγει ἀνθρώπων; Εἰ μὲν περὶ τῶν ἐγνωκότων τὸν θεὸν κα-
τελθόντα καὶ γνωρισθέντα αὐτοῖς κατὰ τὴν πίστιν τῶν ὀρθοδόξων, D
ἀληθὴς ὁ λόγος· ὁρῶμεν γὰρ αὐτούς. Πῶς δὲ ὁ τῇ τοῦ θεοῦ πρὸς
ἀνθρώπους παρουσίᾳ ἀποδείξει χρησάμενος τοῦ δυνατὸν εἶναι τοῖς
ἀνθρώποις καὶ ἐνταῦθα γνῶναι θεὸν αὐτὸς ἀπιστεῖ τοῖς παρ' αὐ-
τοῦ ῥηθεῖσι περὶ τῆς τοῦ κόσμου [16] ἀνακτίσεως; Ἡ γὰρ ἄπιστος
ἀπόδειξις πιστὸν οὐ δείκνυσι τὸ εἰς δεῖξιν προκείμενον. Εἰ δὲ μὴ
τοὺς ἐκ διδασκαλίας τοῦ κατελθόντος θεοῦ ἀνθρώπους λέγει ἐνταῦ-
θα ἐγνωκότας τὸν θεόν, ψευδὴς ὁ λόγος ὁ λέγων· Ὁρῶμεν ἀνθρώ-
πους ἐνταῦθα ἐγνωκότας τὸν θεόν. Ἐγὼ γὰρ τούτους οὐχ ὁρῶ. E
Καὶ εἰ οὐκ ἦν ὅλως ἄγνοια περὶ θεοῦ· πάντες γὰρ ὁμολογοῦσι κοινῇ

15. ἔστι] Maran. errore omisit.

16. ἀνακτίσεως] Codd. msti et Stephan. ἀνακτήσεως, *recuperationis*. Illud, quod Sylburgius reposuit, verum esse passim ostendunt sequentia; cf. cc. 6. 7.. — Quae autem sit ἀνάκτισις verba declarant Quaestionis: ἐναλλάξαι τὴν τοῦ

nifestae absurditatis est asserere ignorationem dei ignorantibus in beneficii loco datam esse; hac siquidem ratione religiones omnes dei ignarae utiliter deum ignoraverint, at religio deum agnoscens non utiliter eum norit. Sin aliam dicit ignorationem, de qua propositum nobis sit dicere, intempestiva est propositio, pro quaesita non quaesitam obtrudens ignorationem. Dixit ex propria oblivione animam pati ignorationem dei. Dixit hîc quoque obvenire animis cognitionem dei; dixit hîc quoque conspici qui deum cognoscant. Dixit neutiquam esse ignorationem dei: omnes enim deum esse communi fateri sententia. Dixit etiam in hac terra homines deum cognoscere posse: cujus rei probandae causa orthodoxorum protulit fidem, quae deum ipsum descendisse et ab hominibus cognitum esse asseverat. At si verum est animam ex propria oblivione ignorationem pati, liquet illud falsum esse: „Non est omnino dei ignoratio; omnes enim deum esse communi fatentur sententia." Quid vero opus fuit obvenire hîc animis cognitionem dei, si omnes deum cognoscunt et confitentur communi sententia? Illud autem: „Videmus etiam in hac vita homines deum cognoscentes:" de quibus hominibus dicit? Si quidem de iis qui deum cognoverunt postquam descendit et cognoscendum se iis praebuit juxta orthodoxorum fidem, vera est oratio; videmus enim eos. Quomodo autem qui dei ad homines adventum argumenti loco adhibuit, ut probaret homines hîc quoque deum cognoscere posse, ipse fidem illius dictis de mundi restitutione non habet? Infidelis enim demonstratio fidem ei rei non adstruit cujus demonstrandae gratia est producta. Sin non eos dicit homines qui ex doctrina coelitus ad nos delapsi dei deum hîc cognoverunt, falsum erit hoc dictum: „Videmus homines qui in hac vita deum cognoverunt." Ego enim hos non video. Ac si omnino non est ignoratio dei: omnes enim communi

παρόντος βίου κατάστασιν, et Confutationis c. 5.: *ἔταξε τὴν ἡμέραν, καθ' ἣν πάντων τῶν ἐν τῷ κόσμῳ ἐξ. ἀπιστίας … κακῶν ποιεῖ τὴν ἀναίρεσιν*. Coll. Quaest. V. *Confut.* c. 2..

ἐννοίᾳ· ποία γνῶσις τοῦ θεοῦ ἐνταῦθα παραγέγονε τοῖς ἀνθρώποις, εἰ μὴ ἡ εἰδικὴ γνῶσις, καθ᾽ ἣν πᾶσαι αἱ οὖσαι ἐπὶ γῆς θρησκεῖαι τῆς μὲν τὸν ἀληθῆ λόγον πρεσβευούσης θρησκείας ἁπλῶς τῷ ψεύδει, ἀλλήλων δὲ ταῖς διαφοραῖς τοῦ ψεύδους διαφέρουσιν; Ἀλλ᾽ εἰ τοῦτο οὕτως ἔχει, οὐκ ἄρα κατὰ τὸν λόγον τοῦ ἀποκριναμένου παραγίνεται ταῖς ἐνταῦθα ψυχαῖς γνῶσις θεοῦ, ἀλλὰ μᾶλλον ἡ ἄγνοια, εἴγε μὴ τῇ καθόλου γνώσει τοῦ θεοῦ οὔσῃ ἐν αὐταῖς ἀλλήλων διαφέρουσιν αἱ θρησκεῖαι, τῇ εἰδικῇ δὲ μᾶλλον τῇ ἐνταῦθα παραγενομένῃ αὐταῖς.

4. Εἰ τοίνυν δυνατὸν καὶ ἐνταῦθα τοὺς ἀνθρώπους ὄντας γινώσκειν τὸν θεόν, οὐδὲν αὐτοῖς μέγιστον κακὸν συμβαίνει ἐκ τοῦ ἐνταῦθα εἶναι. Τοῖς ἀγνοοῦσι γάρ, καθὼς εἴρηται, ἐκ τῆς B
οἰκείας ἀπίστου φύσεως τὸ ἀγνοεῖν τὸν θεὸν συμβαίνει. Δύο [17] φωνὰς ἀλλήλων ἀναιρετικὰς συμπλέξας ὁ ἀποκρινάμενος ἔθηκεν ἐν τῇ ἑαυτοῦ ἀποκρίσει τὸ Εἰ δυνατὸν τοὺς ἀνθρώπους ἐνταῦθα ὄντας γινώσκειν τὸν θεόν, οὐδὲν αὐτοῖς μέγιστον συμβαίνει κακόν· καὶ τὸ Τοῖς ἀγνοοῦσιν ἐκ τῆς οἰκείας ἀπίστου φύσεως συμβαίνει τὸ ἀγνοεῖν τὸν θεόν. Καὶ τὸ μέγιστον κακόν, ὃ ἐξέβαλε διὰ τῆς πρώτης φωνῆς, τοῦτο διὰ τῆς δευτέρας εἰσήγαγε φωνῆς· εἰ μέγιστόν C
ἐστι κακὸν τὸ κατὰ διπλῆν ἀσέβειαν ἀσεβεῖν εἰς τὸν ὄντως ὄντα θεόν, αὐτὸν μὲν ἀποστερεῖν τῆς κατ᾽ οὐσίαν δόξης, τοὺς δὲ οὐκ ὄντας θεοὺς τῇ ἐκείνου δόξῃ ψευδῶς τιμᾶν· ὅπερ ὑπερβολὴν οὐδεμιᾶς ἀπολέλοιπε κακίας. Τὸ δέ, διὰ τὸ δυνατὸν εἶναι ἀνθρώποις ἐνταῦθα οὖσι γινώσκειν τὸν θεόν, μηδὲν αὐτοῖς μέγιστον συμβαίνειν κακόν, τοῦτο οὐκ ἔστι τοῦ μεγίστου κακοῦ ἀναίρεσις ἀλλ᾽ ἐπίτασις, ὅτι καὶ ἐν τῷ δυνατῷ ἀδυνατοῦσιν οἱ ἄνθρωποι ἐκ D
τῆς οἰκείας ἑκουσίου ἀπιστίας, καί, δυνάμενοι κατὰ ἁπλῆν εὐσέβειαν σωστικὴν ἀνθρώπων εὐσεβεῖν, προτιμῶσι ταύτης τὴν διπλῆν ἀσέβειαν· ἣν μὴ λέγειν μέγιστον κακὸν τῶν ἀτοπωτάτων ἐστίν.

5. Εἰ δέ τις καὶ συγχωρήσει, ὅπερ ἄτοπον, μέγιστον εἶναι κακὸν τὰ ἐνταῦθα, καὶ κάλλιον ὑπάρχειν τὸ μὴ εἶναι τὰ τῇδε τοῦ εἶναι, εἰ μὲν λέγει [18] κακὰ πεποιηκέναι τὰ τῇδε τὸν δημιουργὸν

17. φωνὰς] H. e. *verba*, *dicta*. *Confut.* c. 1. memorat. Et Quaest. Sic παλαιῶν φωνὰς Quaest. IV. III. *Confut.* c. 3.: κατὰ τὴν φωνὴν

eum fatentur sententia: quaenam in hac vita obvenit hominibus cognitio dei, nisi specialis illa cognitio, ex qua fit ut omnes quae in terra sunt religiones simpliciter quidem mendacio ab ea quae veritatem profitetur, discrimine autem mendacii a se invicem differant? Quodsi ita est, non sane secundum responsoris rationem hîc animis cognitio dei obvenit, sed magis ignoratio: siquidem religiones non generali dei cognitione ipsis insita inter se differunt, sed ea potius quae hîc iis pro se cuique speciatim obvenit.

4. „Si igitur etiam in hac vita homines deum cognoscere possunt, nullum iis summum malum ex eo quod hîc sint contingit. Ignorantibus enim, sicut dictum est, proprio increduli ingenii vitio dei ignoratio obvenit.“ Duobus dictis, quae se invicem tollunt, complicatis responsor in responsione sua illud posuit: „Si homines in hac vita deum cognoscere possunt, nullum iis summum malum contingit“ — et illud: „Ignorantibus proprio increduli ingenii vitio ignoratio dei obvenit.“ Et summum malum, quod priori dicto ejecit, id posteriori induxit dicto: siquidem summum malum est duplicata impietate in verum deum impium esse, ipsum scilicet ea quam essentia obtinet defraudare majestate, eos autem qui dii non sunt gloria illius falso honorare: quod quidem ad malitiam summam nihil facit reliqui. Quod autem hominibus, eo quod deum in hac vita cognoscere possint, nullum contingit summum malum, id summi mali non depulsio est sed intentio: quia in eo etiam quod possunt homines non possunt voluntaria sua incredulitate, et, quum possint simplici pietate, quae homines salvat, pii esse, duplicatam ei praeferunt impietatem: quam summum malum non dicere longe absurdissimum est.

5. „Quodsi quis etiam concedat, quod quidem est absurdum, summum esse malum ea quae hîc sunt, eaque non exsistere satius esse quam exsistere: si quidem ea quae hîc

τοῦ ἀποκρινάμενου: *ut dicit respondens.*

18. κακά] Maran. κατά mendose.

δι' ἀσθένειαν, ἀνοηταίνει, τὴν τοῦ θεοῦ δύναμιν φάσκων μὴ κα- E
ταλαμβάνειν πάντα. Εἰ δέ, δυνάμενος ποιῆσαι καλὰ τὰ τῇδε, συνεχώρησεν ἑτέροις κακὰ ποιεῖν, καὶ τοῦτό ἐστι κατηγόρημα τοῦ θεοῦ· ὁ γὰρ δυνάμενος μὲν παῦσαι, περιορῶν δέ, ἀληθέστερον αὐτὸς δρᾷ. Εἰ κατὰ τὰ ἐν τοῖς ἀνωτέρω εἰρημένα συμβαίνει τοῖς ἀγνοοῦσι τὸν θεὸν τὸ ἀγνοεῖν τὸν θεὸν ἐκ τῆς οἰκείας ἀπίστου φύσεως, ὅπερ ἐστὶ μέγιστον ὁμολογούμενον κακόν, πῶς νῦν τοῦτο
κατὰ τὴν ἄτοπον συγχωρεῖ συγχώρησιν ὁ ἀποκρινάμενος; Ἀλλ' εἰ 166
μὴ τοῦτο ἀλλ' ἕτερον μέγιστον κακὸν κατὰ τὴν ἄτοπον συγχωρεῖ συγχώρησιν, ἀλλ' οὐ καθ' ἡμᾶς ἐστιν ἐκεῖνο τὸ μέγιστον κακὸν ἀλλὰ κατὰ τοὺς Μανιχαίους. Καθ' ἡμᾶς γὰρ [19] καλὰ τὰ τῇδε πάντα, ὡς τὸν μέγιστον τῶν ἀγαθῶν ἔχοντα δημιουργόν· καὶ μέγιστον κακὸν κατ' οὐσίαν οὐδέν ἐστιν ἐν αὐτοῖς, οὔτε κατὰ τὴν ἐνέργειαν τοῦ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὴν ἑκούσιον προαίρεσιν τῶν ἀνθρώπων, τὸ ψεῦδος προτιμῶσαν τῆς ἀληθείας κατὰ τὴν
προειρημένην διπλῆν ἀσέβειαν. Ἣν διορθούμενος ὁ τοῦ κόσμου B
δημιουργὸς καὶ θεὸς [20] ἔταξε τὴν ἡμέραν, καθ' ἣν πάντων τῶν ἐν τῷ κόσμῳ ἐξ ἀπιστίας τε καὶ ἀπειθείας τοῦ θεοῦ κακῶν ποιεῖ τὴν ἀναίρεσιν κατὰ τὴν πίστιν τῶν ὀρθοδόξων, τῶν ἐνταῦθα ἐπεγνωκότων τὸν θεὸν [21] καὶ κατὰ τὴν μαρτυρίαν τοῦ ἀποκριναμένου. Οὐκ ἐχρῆν οὖν τὸν ἀποκρινάμενον, πρὸς τὸ
καθ' ἡμᾶς μέγιστον κακὸν ἔχοντα τὸν λόγον, πρὸς τὸ κατὰ τοὺς C
Μανιχαίους μέγιστον κακὸν ἀποτείνεσθαι· ἀγνοίας γὰρ τοῦτο σημεῖον καὶ ἀπορίας ἐλέγχου, καθὰ εἴρηται. Συγχωρεῖ δὲ ἡμᾶς πράττειν ἃ ἑκουσίως αἱρούμεθα κακά, οὐ διὰ τὴν ἀσθένειαν τῆς αὐτοῦ δυνάμεως, ἀλλ' ἵνα τὸ ἡμῶν αὐθαίρετον καὶ τὸ αὐτοῦ μακρόθυμον δειχθῇ· ὧν χωρὶς οὔτε ἡμεῖς ἄνθρωποι οὔτε αὐτὸς ἀγαθὸς ἐνεδέχετο εἶναι ἐπὶ τῆς παρούσης καταστάσεως.

6. Εἰ δὲ αὐτός ἐστιν ὁ θεὸς ὁ ποιήσας τὰ τῇδε, δῆλον ὅτι
τοῦ αὐτοῦ θεοῦ μένοντος καὶ ἐς ὕστερον καὶ ἀεὶ [22] ταῦτα ἔσται. D

19. καλὰ τὰ τῇδε πάντα] Haec verba respiciunt Geneseos illud, cap. 1., εἶδεν ὁ θεὸς ὅτι καλά. *Sylburgius*. — Cf. Quaestt. et Respp. ad Orthod. 46..

20. ἔταξε τὴν ἡμέραν etc.] Cf. not. 16.. Coll. Actt. apostt. XVII. 31..

21. καὶ κατὰ τὴν μ. τοῦ ἀποκρ.] Desideratur in codd. mstis

sunt dicit ab opifice ob infirmitatem mala facta fuisse, insanit, dum dei potentiam dicit universa non complecti. Sin autem, quum ea quae hîc sunt posset bona facere, permisit aliis ut mala facerent, est hoc quoque dei incusatio; nam qui prohibere potest, sed contemnit, verius ipse effector est.“ Si, ut supra dictum est, ignorantibus deum contigit ut deum proprio increduli ingenii vitio non norint, quod quidem summum esse malum confessi sumus: quomodo id nunc ut absurdum concedit responsor? Quodsi non hoc ipsum sed aliud summum malum ut absurdum concedit, non nostro judicio illud est summum malum sed de Manichaeorum sententia. Nam nostro judicio in terris omnia bona sunt, ut quae summum bonum habeant opificem; et summum malum secundum substantiam nullum est in iis, nec secundum operationem ejus quod substantiâ malum sit, sed libero hominum arbitrio, quod mendacium veritati praefert juxta duplicem quae antea dicta est impietatem. Quam ut corrigat mundi fabricator et deus diem constituit, in quo omnia in mundo ex infidelitate et incredulitate adversus eum exorta mala abrogabit secundum fidem orthodoxorum, qui hîc deum, ut etiam responsor testatur, cognoverunt. Non debuit igitur responsor, dum de summo secundum nos malo agitur, ad summum secundum Manichaeos malum se convertere: inscitiae enim id signum est et argumentorum penuriae, sicut dictum est. Permittit autem deus ut, quae sponte deligimus, mala faciamus, non ob potestatis suae imbecillitatem, sed ut arbitrii nostri libertas ejusque patientia ostendatur: sine quibus neque nos homines neque ipse bonus esse posset in praesenti rerum statu.

6. „Sin ipse deus est qui ea quae hîc sunt fecit, patet eodem deo manente ista et posthac et semper eadem esse

et editis *κατά*. Cf. simillimum locum Quaest. V. *Confut.* c. 2.: *ἕως τοῦ καιροῦ . . . κατὰ τὴν πίστιν τῶν ὀρθοδόξων, τῶν . . . θεὸν ἐγνωκότων καὶ κατὰ τὴν μαρτυρίαν τοῦ ἀποκριναμένου.* In utroque enim loco testimonium citatur, quod responsor p. 160. B. C. orthodoxis exhibuit, quum deum dicit ab iis cognosci.

22. *ταὐτὰ*] Vulgo *ταῦτα*. Sed

Ἃ γὰρ πάλαι ἠδύνατο καὶ νῦν δύναται. Εἰ δὲ νῦν πλέον τι δύναται παρὰ τὸ πρὸ τοῦ, ἔγχρονος αὐτοῦ ἔσται ἡ τοιαύτη δύναμις, ὅπερ ἄτοπον· τὸ γὰρ ἔγχρονον φθαρτόν. Ἐφ᾽ ὧν λέγεται τὸ ποιήσας, ἐπὶ τούτων λέγεται καὶ τὸ πεποίηκε καὶ τὸ ποιήσει, καὶ ὡς ἰσοδυναμούντων ἀλλήλοις ἐστὶν αὐτῶν ἡ μετάληψις ἀκώλυτος· προηγεῖται δὲ τὸ ποιήσας τοῦ ποιήσει φυσικῇ ἀνάγκῃ, ἅτινά ἐστι σημαντικὰ τῶν δύο ἄκρων τοῦ χρόνου. Τὸν δὲ ἔχοντα
τὰ δύο ἄκρα τοῦ χρόνου, τουτέστι τὸ παρεληλυθὸς καὶ τὸ μέλ- E
λον, ἀνάγκη ἔχειν καὶ τὸ μεταξὺ τῶν ἄκρων τοῦ χρόνου, τουτέστι τὸ ἐνεστώς. Καὶ ἐπειδὴ χρονικὴν ἔχει ἔμφασιν τὸ ποιήσας, ἐξ ἀνάγκης καὶ ὁ θεός, ποιήσας τὰ τῇδε κατὰ τὴν φωνὴν τοῦ
ἀποκριναμένου, ἐν χρόνῳ αὐτὰ πεποίηκεν. Ἀλλὰ ποιήσας ὁ θεὸς 167
τὰ τῇδε τὰ ἄφθαρτα καὶ τὰ φθαρτὰ ἐποίησε· μέρη γὰρ ταῦτα τῶν τῇδε. Διὸ δῆλον ὅτι εὐλόγως μὲν ἔθηκεν ὁ ἀποκρινάμενος ἐπὶ τοῦ θεοῦ τὸ ποιήσας, ἀλόγως δὲ τῷ ἐγχρόνῳ τὰ φθαρτὰ τῶν ἀφθάρτων διέστειλε, τῶν τῇ τοῦ ποιήσας φωνῇ ἀλλήλων μὴ διαστελλομένων, εἴγε ἐποίησε τὰ φθαρτὰ καὶ τὰ ἄφθαρτα. Εἰ τοίνυν
ὁ λέγων περὶ τοῦ θεοῦ τὸ ποιήσει τὴν ἀνάκτισιν κατὰ πρόσ- B
ληψιν λέγει τῆς ἐγχρόνου δυνάμεως, ἔσται ἄρα καὶ ὁ λέγων περὶ αὐτοῦ τὸ ποιήσας κατὰ πρόσληψιν λέγων τῆς ἐγχρόνου δυνάμεως, εἴγε ἡγεῖται πανταχοῦ τὸ ποιήσας τοῦ ποιήσει· εἰ δὲ ποιήσας οὐ κατὰ πρόσληψιν ἐποίησε τῆς ἐγχρόνου δυνάμεως, οὐδ᾽ ἄρα ποιήσει κατὰ πρόσληψιν τῆς ἐγχρόνου δυνάμεως.

7. Εἰ δέ, δυνάμενος καὶ πάλαι κωλῦσαι τοῦτο τὸ μέγιστον κακόν, οὐκ ἐκώλυσε, φθονερὸς ἂν εἴη· ὅπερ ἀσεβὲς καὶ φαν-
τάζεσθαι. Δεῖ οὖν τὸν αὐτὸν ἐπὶ τῶν αὐτῶν μένοντα τὰ αὐτὰ C
ποιεῖν. Ὅτι ἕνεκεν ἀγνοίας θεοῦ πολυτρόπως ἀσεβοῦσιν οἱ ἄνθρωποι, εἰ τὸν ὄντως ὄντα θεὸν ἀγνοοῦσιν, ἐν τοῖς ἀνωτέρω ἐδείξαμεν. Ἢ γὰρ ἀθετοῦσι τὸν θεόν, ἀποστεροῦντες αὐτὸν τῆς ἰδίας δόξης, καὶ τοὺς οὐκ ὄντας θεοὺς τοῖς ἐκείνου ὀνόμασι καὶ πράγμασι ψευδῶς τιμῶσιν, ἢ τὴν δημιουργίαν τε καὶ πρόνοιαν τοῦ

in Responsione diserte τὰ αὐτὰ comparet: quapropter emendavi. Pseudo-Justinus scripsit ΤΑΥΤΑ. Haec commutatio saepe in codicibus inve-

futura. Quae enim dudum potuit etiam nunc potest. Quodsi nunc prolixius quidquam potest quam antea, temporaria erit ejusmodi ipsius potentia, quod quidem absurdum est: nam quod temporarium idem corruptibile est.“ De quibus rebus dicitur *qui fecit*, de iis etiam dicitur *fecit* et *faciet*, et utriusque, ut vocum ejusdem inter se potestatis, usus liber est; naturali autem necessitate verbum *qui fecit* praeit verbo *faciet:* quae verba duorum temporis extremorum sunt notae. Qui autem habet duo temporis extrema, hoc est praeteritum et futurum, eum necesse etiam est id habere quod inter temporis extrema medium est, hoc est praesens. Et quum verbum *qui fecit* habeat significationem temporis, necessario quoque deus, qui ea quae hîc sunt fecit ut responsor dixit, in tempore ea fecit. Verum qui ea quae hîc sunt fecit et corruptibilia et incorruptibilia fecit: haec enim partes sunt hujus universi. Quapropter patet merito quidem responsorem de deo posuisse *qui fecit*, praeter rationem autem *temporario* corruptibilia ab incorruptibilibus distinxisse: quum ea verbo *qui fecit* inter se distincta non sint, siquidem et corruptibilia et incorruptibilia fecit. Si ergo qui dicit de deo *faciet* restitutionem accessione temporariae potentiae futuram dicit, utique etiam qui de eo dicit *qui fecit* accessione temporariae potentiae fecisse dicit: siquidem verbum *qui fecit* ubique praeit verbo *faciet;* sin qui fecit non accessione fecit temporariae potentiae, non utique etiam faciet accessione temporariae potentiae.

7. „Sin, quum etiam olim prohibere potuerit summum hoc malum, non prohibuit, invidus fuerit: quod quidem vel imaginari impium est. Ergo necesse est eumdem in iisdem manentem eadem facere.“ Homines per ignorationem dei, si verum non norint deum, multifariam impios esse, in iis quae supra dicta sunt ostendimus. Aut enim abolent deum, majestate eum sua privantes, et eos qui dii non sunt nomine et rebus ipsius falso honorant: aut mundi opificium et providen-

nitur, vel inscientiâ vel negligentiâ librariorum.

κόσμου ὑποτιθέασιν εἶναι μαχομένων ἀλλήλοις δημιουργῶν, ἢ τῷ
τοῦ ἀγενήτου ὀνόματι, μόνῳ πρέποντι τῷ δημιουργῷ τοῦ κόσμου D
θεῷ, ὀνομάζουσι τὰ μέρη τοῦ κόσμου, καὶ χωρὶς τοῦ δημιουργεῖν
προσριπτοῦσι τῷ θεῷ τὸ ὄνομα τοῦ δημιουργοῦ, ἵνα παραλείψω
τὰ ἄλλα ἐν ἀνθρώποις εἴδη τῶν μεγίστων κακῶν, τὰ ἴσην ἢ καὶ
μείζονα ἔχοντα ἀσέβειαν τῆς ἀσεβείας τῶν φθονερὸν τὸν θεὸν φαν-
ταζομένων. Ἀλλ' εἰ ταῦτα μὲν καὶ τὰ τοιαῦτά ἐστιν ἐν ἀνθρώ-
ποις μέγιστα κακά, τὴν δὲ ὑπὸ Χριστιανῶν κηρυττομένην ἀνά-
κτισιν, ἐν ᾗ γίνεται πάντων τῶν ἐν ἀνθρώποις κατὰ τὴν ψυχὴν
καὶ κατὰ τὸ σῶμα κακῶν ἡ ἀναίρεσις, ὁ ἀποκρινάμενος ἀπιστεῖ, E
πῶς οὐκ ἔστι κατ' αὐτὸν ὁ θεὸς φθονερός, ὅς, δυνάμενος κωλῦ-
σαι τὰ ἐν ἀνθρώποις μέγιστα κακά, οὐ κωλύει, ἀλλ' ἐπὶ τῶν
αὐτῶν [23]μένων ἀεὶ ποιεῖ τοὺς εἴς αὐτόν τε καὶ εἰς ἀλλήλους
ἀσεβοῦντας; Τίνος δὲ ἕνεκεν ἀπιστεῖ ὁ ἀποκρινάμενος τοῦ κό-
σμου τὴν ἀνάκτισιν; Διὰ τὴν ἀδυναμίαν τοῦ ποιοῦντος, ἢ διὰ
τὸ ἀπρεπὲς τοῦ ἔργου; Ἀλλ' εἰ μὲν διὰ τὴν ἀδυναμίαν τοῦ ποι- 168
οῦντος, ἔσται ὁ θεὸς οὔτε ποιητής. Ὧν γὰρ τῆς μεταποιήσεως
ὁ θεὸς οὐκ ἔχει τὴν δύναμιν, τούτων οὐδὲ τῆς ποιήσεως ἔχει·
ἑπόμενα γάρ ἐστι ταῦτα ἀλλήλοις, τιθέμενα ἢ ἀναιρούμενα. Εἰ
δὲ διὰ τὸ ἀπρεπὲς τοῦ ἔργου, ἔσται ἄρα τὸ κρεῖττον ἔργον μὴ
πρέπον αὐτῷ· ὅπερ ἄτοπον, τὸ λέγειν φθαρτοὺς μὲν ἀνθρώπους
πρέπειν αὐτῷ ποιεῖν, ἀφθάρτους δὲ μὴ πρέπειν αὐτῷ ποιεῖν. B

Ἐρώτησις χριστιανικὴ πρὸς τοὺς Ἕλληνας β'.

Εἰ ἀδύνατον εἶναι θεὸν τὸν μηδὲν πεποιηκότα, πῶς ἔστι
θεός, εἰ ὁ κόσμος ἀγένητος, καθά τισι δοκεῖ;

Ἀπόκρισις ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς. C

Τὸ λέγειν ἀδύνατον εἶναι θεὸν τὸν μηδὲν πεποιηκότα ἄτο-
πόν ἐστι. Πάλιν γὰρ κἀνταῦθα ὁ αὐτὸς [1]ἐφαρμόζει λόγος, ὡς
οὐδὲν ἔγχρονόν ἐστι παρὰ τῷ θεῷ. Εἰ δὲ μηδὲν ἔγχρονόν ἐστι
παρὰ τῷ θεῷ, δῆλον ὡς οὔτε τὸ παραληλυθὸς τοῦ χρόνου [2]ἁρ-
μόζει ἐπιφέρειν τῷ θεῷ. Εἰ δὲ τοῦτο μὴ ἁρμόζει, καὶ τὸ πε-
ποιηκέναι τὸν θεὸν τὸ ὁτιοῦν οὐχ ἁρμόττει λέγειν. Τί οὖν;

23. μένων] Codd. msti et editi perspicitur (Maran.) ex postremis
μένειν. At μένων refingendum esse Responsionis verbis: Δεῖ οὖν τὸν

tiam supponunt esse opificum inter se pugnantium: aut ingeniti nomine, quod soli congruit opifici mundi deo, partes mundi nominant, atque absque opificio opificis nomen deo projiciunt — ut interim caeteras in hominibus summorum malorum omittam species, quae parem vel etiam majorem habent impietatem quam deum invidum imaginari. Sed si haec et alia ejusmodi in hominibus summa mala sunt, praedicatam autem a Christianis restitutionem, in qua fit omnium in hominibus et animae et corporis malorum abolitio, responsor non credit: quomodo non invidus est ejus sententia deus, qui, quum prohibere possit summa in hominibus mala, non prohibet, sed in iisdem manens semper eos facit qui in ipsum et in se invicem impii sunt? Cur autem mundi restitutionem non credit responsor? Utrum ob conditoris potentiae penuriam, an propter operis indignitatem? Quodsi ob conditoris potentiae penuriam: ne conditor quidem erit deus. Quae enim restituere non potest, ea nec facere potest; consequuntur enim haec inter sese mutuo, seu ponantur seu tollantur. Si vero propter operis indignitatem: opus utique praestantius erit indignum deo; quod dictu absurdum est, nempe deum decere ut homines faciat corruptibiles, ut autem incorruptibiles faciat non decere.

Quæstio christiana ad gentiles II.

Si fieri non potest ut deus sit qui nihil fecerit: quomodo deus est, si mundus ingenitus est, sicut nonnullis videtur?

Responsio gentilis ad Christianos.

Fieri non posse dicere ut deus sit qui nihil fecerit absurdum est. Rursus enim huc ratio eadem quadrat, apud deum non esse temporarium quidquam. Quodsi nihil est temporarium apud deum, patet neque praeteritum tempus deo convenienter aptari. Sin hoc non convenit, etiam ut deus quidquam fecisse dicatur non convenit. Quid ergo?

αὐτὸν ἐπὶ τῶν αὐτῶν μένοντα τὰ αὐτὰ ποιεῖν.

1. ἐφαρμόζει] Clar. ἐφαρμόσει.
2. ἁρμόζει] Clar. ἁρμόσει.

Φαίης ἀνενέργητον τὸν θεὸν ἡμᾶς λέγοντας ἁμαρτάνειν; Ἀλλ' οὐ D
τοῦτό φαμεν, ἀλλ' ὅτι οὐ πεποίηκε μὲν ὁ θεὸς οὔτε ποιεῖ οὔτε
ποιήσει ἐν χρόνῳ· οὐδὲν γὰρ μᾶλλον πεποίηκεν ἢ ποιεῖ, οὐδ' αὖ
ποιεῖ ἢ ποιήσει· ἀλλὰ τό τε παρελθὸν παρὰ τῷ θεῷ ἐν τῷ ἐνε-
στῶτι, καὶ τὸ μέλλον ἐν τῷ ἤδη γεγονέναι, ὡς οὐδὲν μὲν ῥευ-
στὸν ἔχοντος τοῦ θεοῦ, ἀεὶ δὲ τὰ αὐτὰ ποιοῦντος διὰ τὴν τε-
λείαν αὐτοῦ καὶ ἀμετάβλητον δύναμίν τε καὶ ἐνέργειαν. Ποιεῖ
τοίνυν τὸν κόσμον ἐν αὐτῷ τούτῳ ὅπερ ἐστί, τὴν κίνησιν αὐτῷ E
ἄπαυστον παρέχων, τῷ ἐλλάμπειν αὐτὸν δι' αἰῶνος. Ὥστε πε-
ποίηκε μὲν οὐδὲν οὔτε ποιήσει. Ποιεῖ δὲ ἀεὶ ὁ αὐτὸς τὸ αὐτό, μὴ
ἔχων ἀρχὴν τῆς ποιήσεως, ἵνα μὴ καὶ τέλος· ὡς, εἴγε ἀρχὴν
ἔχουσι καὶ τελευτὴν αἱ ἐνέργειαι αὐτοῦ, φθαρτὸς ἔσται ὁ θεὸς
τῇ ἐνεργείᾳ· ὅπερ ἄτοπον. Ἔσται γὰρ καὶ ἡ δύναμις αὐτοῦ με-
ταβλητή, ὡς ἄλλοτε ἄλλαις [3] κεχρημένη ἐνεργείαις· καὶ ἡ οὐσία 169
σαλευθήσεται, ἄλλοτε ἄλλας γεννῶσα δυνάμεις καὶ μὴ μένουσα
ἐν ταῖς αὐταῖς. Ὥστε, εἰ ταῦτα διὰ πάντων, δῆλον ὡς ὁ θεὸς
ἔσται μεταβλητὸς οὐσίᾳ, δυνάμει καὶ ἐνεργείᾳ· ὅπερ ἄτοπον. Ὁ
αὐτὸς τοίνυν μένων οὐδὲν ἔχει ἔγχρονον. Ποιεῖ τοίνυν τὸν κό-
σμον τάττων αὐτὸν ἀεί, καὶ ὁ κόσμος τῷ μὲν ἀεὶ φρουρεῖσθαι
γίνεται, τῷ δὲ ἀεὶ εἶναι ὁ αὐτὸς ἀγένητος ὑπάρχει.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς γεγενημένης. B

1. Τὸ λέγειν ἀδύνατον εἶναι θεὸν τὸν μηδὲν πεποιηκότα ἄτο-
πόν ἐστι. Πάλιν γὰρ κἀνταῦθα ὁ αὐτὸς ἐφαρμόζει λόγος, ὡς
οὐδὲν ἔγχρονόν ἐστι παρὰ τῷ θεῷ. Εἰ διὰ τὸ μηδὲν ἔγχρονον
εἶναι παρὰ τῷ θεῷ ἄτοπόν [4] ἐστι τὸ λέγειν περὶ αὐτοῦ τὸ πεποίη-
κε, τῆς αὐτῆς ἐστιν ἀτοπίας καὶ τὸ ποιεῖν, ἔγχρονον ὡς τὸ πε-
ποίηκε. Πῶς οὖν ἀνάρμοστον μὲν λέγει ὁ ἀποκρινάμενος τῷ θεῷ C
τὸ πεποίηκεν, εὐάρμοστον δὲ τὸ ποιεῖ; Καὶ εἰ μὲν τὸ ποιήσας ἴσον
δύναται τῷ [5] ποιεῖ, ὡσαύτως δὲ καὶ τὸ ποιεῖ τῷ ποιήσει, τῶν δὲ
ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις, πῶς ἐν μὲν τῇ πρώτῃ
ἀποκρίσει ἔθηκεν ὁ ἀποκρινάμενος ἐπὶ τοῦ θεοῦ τὸ ποιήσας καὶ

3. κεχρημένη] Codd. msti et . 4. ἐστι] Codd. msti εἶναι, id
editi κεχρημένος. Firmatur illud quod jam Stephanus emendavit.
Confutatione (c. 7).

Peccare nos dices quod deum otiosum dicamus? Verum hoc non dicimus, sed deum neque fecisse neque facere neque facturum esse in tempore: non enim quidquam fecit magis quam facit, neque rursus facit magis quam faciet; sed et praeteritum apud deum in praesenti, et futurum in praeterito est, quippe quum deus nihil fluxi habeat, sed eadem semper faciat propter perfectam ejus et immutabilem potentiam et actum. Itaque mundum facit eo ipso quod est, dum motum ei perpetuum suppeditat, facitque ut per omne aevum colluceat. Quare nihil quidem fecit neque faciet. Facit autem idem ipse semper idem, non habens creationis exordium, ne etiam finem habeat; nam, siquidem actus ejus initium habeant et finem, corruptibilis erit deus actu: quod sane absurdum est. Quin etiam erit potentia ejus mutabilis, ut quae alias aliis utatur operationibus; et substantia concutietur, alias aliquando generans potentias neque in iisdem permanens. Quare, si haec ad omnia pertineant, patet deum fore mutabilem substantiâ, potentiâ et actu: quod sane absurdum est. Itaque idem ille manens nihil habet temporarium. Facit ergo mundum ordinans eum semper, et mundus eo quod semper custodiatur gignitur, eo autem quod semper sit idem ingenitus est.

Confutatio responsionis non recte institutæ.

1. „Fieri non posse dicere ut deus sit qui nihil fecerit absurdum est. Rursus enim huc ratio eadem quadrat, apud deum non esse temporarium quidquam.“ Si, quia nihil temporarium est apud deum, absurdum est de eo dicere *fecit*, aeque absurdum fuerit verbum *facere*, quod non minus temporarium quam *fecit*. Quomodo igitur responsor dicit non competere deo verbum *fecit*, competere autem verbum *facit?* Ac si *qui fecit* idem valet atque *facit*, similiter autem et *facit* idem atque *faciet:* eorum vero quae idem valent liber est usus: quomodo in Responsione prima posuit responsor de deo *qui fecit* et *facit*, nunc autem ab eo

5. ποιεῖ] Codd. msti et editi πεποίηκεν.

τὸ ποιεῖ, νῦν δὲ ἀναιρεῖ ἀπ' αὐτοῦ ἀμφότερα; Καὶ τὸ μὲν ποιήσας οὕτως ἔθηκεν ἐπὶ τοῦ θεοῦ· Ὁ αὐτός ἐστι, φησίν, ὁ θεὸς ὁ ποιήσας τὰ τῆδε· τὸ δὲ ποιεῖν οὕτως ἔθηκε· Δεῖ οὖν, φησί, τὸν αὐ- D τὸν ἐπὶ τῶν αὐτῶν μένοντα τὰ αὐτὰ ποιεῖν. Ἀναιρῶν δὲ ἐν τῇ δευτέρᾳ ἀποκρίσει τὰ κείμενα ἐν τῇ πρώτῃ ἀποκρίσει οὕτως φησίν· Ἄτοπον τὸ λέγειν [6] ἀδύνατον εἶναι θεὸν τὸν μηδὲν πεποιηκότα. Καὶ πάλιν· Οὔτε πεποίηκεν ὁ θεὸς οὔτε ποιεῖ οὔτε ποιήσει ἐν χρόνῳ. Ἀλλ' ἴσως τὸ αὐτὸς ἑαυτῷ ἀντιλέγειν κατὰ τὴν οἰκείαν λήθην ὑπέμεινε, καθ' ἥν, ὡς εἶπε, συμβαίνει τοῖς ἀνθρώποις τὸ ἀγνοεῖν. Ἐξετάσωμεν δὲ ἡμεῖς τὰ τούτων ἑξῆς.

2. Οὐδέν, φησίν, ἔγχρονόν ἐστι παρὰ τῷ θεῷ. Δῆλον ὡς οὔτε τὸ παρεληλυθὸς τοῦ χρόνου ἁρμόζει ἐπιφέρειν τῷ θεῷ. Εἰ E δὲ τοῦτο μὴ ἁρμόζει, καὶ τὸ πεποιηκέναι τὸν θεὸν τὸ ὁτιοῦν οὐχ ἁρμόττει λέγειν. Ἐν τούτοις τὸ ἄτοπον ὑποθέμενος ὁ ἀποκρινάμενος, ὡς οὐδὲν ἔγχρονον παρὰ τῷ θεῷ, τὰ τῷ ἀτόπῳ ἐξ ἀνάγκης ἑπόμενα ὡς εὔλογα ἐπιφέρει, τὸ Εἰ μηδὲν ἔγχρονον παρὰ τῷ θεῷ, δῆλον ὡς οὔτε τὸ παρεληλυθὸς τοῦ χρόνου ἁρμόζει ἐπιφέρειν τῷ θεῷ· εἰ δὲ τοῦτο μὴ ἁρμόζει, καὶ τὸ πεποιηκέναι τὸν θεὸν τὸ ὁτιοῦν οὐχ ἁρμόζει λέγειν. Ὅτι δὲ ἀτόπως ὑπέθηκε τὸ 170 μηδὲν ἔγχρονον εἶναι παρὰ τῷ θεῷ, οὗ πρὸς τὴν ἀπόδειξιν τοῖς ἑξῆς ἐπαγομένοις ἐχρήσατο, ἐλέγχει αὐτὸς ἑαυτὸν ὁ ἀποκρινάμενος ἐν οἷς ἔφασκεν ἐν τῇ πρώτῃ ἀποκρίσει· Εἰ δὲ αὐτός, φησίν, ὁ θεὸς ὁ ποιήσας τὰ τῆδε, δῆλον ὅτι τοῦ αὐτοῦ θεοῦ μένοντος καὶ ἐς ὕστερον καὶ ἀεὶ τὰ αὐτὰ ἔσται. Ἃ γὰρ πάλαι ἠδύνατο καὶ νῦν δύναται. Εἰ τοίνυν μηδὲν ἔγχρονόν ἐστι παρὰ τῷ θεῷ, δῆλον ὅτι οὔτε τὸ ποιήσας οὔτε τὸ ποιεῖ οὔτε τὸ πρότερον καὶ ὕστερον οὔτε τὸ πάλαι καὶ τὸ νῦν οὔτε τὸ ἠδύνατο καὶ δύναται· τὸ γὰρ B ποιήσας καὶ τὸ πρότερον καὶ τὸ πάλαι καὶ τὸ ἠδύνατο τοῦ παρεληλυθότος χρόνου ἐστὶ δηλωτικά, καὶ τὸ ποιεῖ καὶ τὸ ὕστερον καὶ τὸ νῦν καὶ τὸ δύναται τοῦ ἐνεστῶτος καὶ τοῦ μέλλοντος χρόνου ἐστὶ σημαντικά. Εἰ δὲ ταῦτα κείμενα ἐπὶ τοῦ θεοῦ σημαντικά τε καὶ θετικὰ γίνονται τοῦ πάντα τὰ ποιήματα τοῦ θεοῦ ἔγχρονα εἶναι παρ' αὐτῷ, δῆλον ὅτι ἀτόπως ὑπέθηκε τὸ μηδὲν ἔγ-

6. ἀδύνατον εἶναι] Haec verba, quae in codicibus desunt, Ma-

utraque tollit? Et prius quidem de deo sic posuit: „Ipse deus est," inquit, „qui ea quae hîc sunt fecit;" alterum autem sic posuit: „Ergo necesse est," inquit, „eumdem in iisdem manentem eadem facere." Abolens autem in Responsione secunda ea quae in Responsione prima posita sunt sic ait: „Absurdum est dicere fieri non posse ut deus sit qui nihil fecerit." Et rursus: „Neque fecit deus neque facit neque facturus est in tempore." Fortasse autem, ut ipse contra seipsum diceret, propria ipsius oblivione factum est: ex qua, ut dixit, hominibus ignoratio evenit. Nos vero expendamus ea quae sequuntur.

2. „Nihil," inquit, „est temporarium apud deum. Patet neque praeteritum tempus deo convenienter aptari. Sin hoc non convenit, etiam ut deus quidquam fecisse dicatur non convenit." Postquam absurdum in eo reposuit responsor, ut deo temporarium quidquam tribuatur, quae inde necessario consequuntur ea ut rationi consentanea deducit, nempe „Si nihil est temporarium apud deum, patet neque praeteritum tempus deo convenienter aptari; sin hoc non convenit, etiam ut deus quidquam fecisse dicatur non convenit." Porro absurde suppositum esse: „Nihil esse temporarium apud deum" (quo principio usus est ad ea quae consequuntur probanda): ipse contra se arguit responsor in Responsione prima, ubi dixit: „Sin ipse deus est qui ea quae hîc sunt fecit, patet eodem deo manente ista et posthac et semper eadem esse futura. Quae enim dudum potuit etiam nunc potest." Quodsi nihil est temporarium apud deum, patet neque *qui fecit* neque *facit* neque *prius* et *posterius* neque *dudum* et *nunc* neque *potuit* et *potest* ei congruere; nam *qui fecit* et *prius* et *dudum* et *potuit* praeteriti temporis sunt significationes, et *facit* et *posthac* et *nunc* et *potest* praesentis et futuri temporis sunt notae. Sin haec de deo posita designant et ponunt omnia dei opera temporaria esse apud eum, patet absurde ab eo suppositum esse: „nihil esse tempora-

ranus desumsit ex ipsa Responsione, ubi minime desunt.

χρονον εἶναι παρ' αὐτῷ. Τούτου δὲ ὡς ἀτόπως [7] ὑποτεθέντος ἀν-
αιρουμένου, συναιρεῖται ἐξ ἀνάγκης καὶ τὸ μὴ ἁρμόττειν τῷ θεῷ
τὸ πεποίηκε· καὶ τούτου γὰρ ἀναιρεθέντος, ἐξ ἀνάγκης τίθε- C
ται τὸ τούτου ἐναντίον, τουτέστι τὸ ἁρμόζειν τῷ θεῷ τὸ πεποίη-
κεν. Ἐπὶ παντὸς γὰρ χρὴ [8] ἢ τὴν φάσιν εἶναι ἀληθῆ ἢ τὴν
ἀπόφασιν. Κειμένου δὲ τοῦ ἁρμόττειν τῷ θεῷ τὸ πεποίηκεν,
ἀδύνατον λέγειν θεὸν τὸν μηδὲν πεποιηκότα· τοῦτο γάρ ἐστιν
ἐκείνῳ ἑπόμενον.

3. Τί οὖν; Φαίης ἀνενέργητον ἡμᾶς τὸν θεὸν λέγοντας
ἁμαρτάνειν; Ἀλλ' οὐ τοῦτό φαμεν, ἀλλ' ὅτι οὐ πεποίηκε μὲν ὁ
θεὸς οὐδὲν οὔτε ποιεῖ οὔτε ποιήσει ἐν χρόνῳ· οὐδὲν γὰρ μᾶλ-
λον πεποίηκεν ἢ ποιεῖ, οὐδ' αὖ ποιεῖ ἢ ποιήσει· ἀλλὰ τό τε
παρελθὸν παρὰ τῷ θεῷ ἐν τῷ ἐνεστῶτι, καὶ τὸ μέλλον ἐν τῷ ἤδη D
γεγονέναι, ὡς οὐδὲν μὲν ῥευστὸν ἔχοντος τοῦ θεοῦ, ἀεὶ δὲ [9] τὰ
αὐτὰ ποιοῦντος διὰ τὴν τελείαν αὐτοῦ καὶ ἀμετάβλητον δύναμίν
τε καὶ ἐνέργειαν. Ἀλλὰ τὸ φεύγειν μὲν τὴν ἁμαρτίαν λέγουσαν
τὸν θεὸν ἀνενέργητον, λέγειν δὲ περὶ αὐτοῦ τὸ οὔτε πεποίηκεν οὔτε
ποιεῖ οὔτε ποιήσει ἐν χρόνῳ, εἰς τὴν αὐτήν ἐστιν ἁμαρτίαν ἐμ-
πεσεῖν. Εἰ γὰρ ἠβουλήθης ἁμαρτανεῖν καὶ λέγειν τὸν θεὸν ἀνεν-
έργητον, τί πλέον εἶχες λέγειν ὧν νῦν εἴρηκας, μὴ βουλόμενος E
ἁμαρτάνειν καὶ λέγειν ἀνενέργητον τὸν θεόν, τοῦ μήτε πεποιη-
κέναι τὸν θεὸν μήτε ποιεῖν μήτε ποιήσειν; Τῶν γὰρ ῥημάτων,
τῶν χρονικὴν ἔμφασιν δηλούντων καὶ ἐχόντων, ἐκ τῆς ἐνεργείας
τοῦ θεοῦ ἀναιρουμένων εὑρεθήσεται ὁ θεὸς ἀνενέργητος· διὸ οὔ-
τε ποιητής.

4. Εἰ μηδὲν ἔγχρονόν ἐστι παρὰ τῷ θεῷ, δῆλον ὅτι οὔτε 171
τὸ παρεληλυθὸς τοῦ χρόνου ἐστὶ παρ' αὐτῷ οὔτε τὸ ἐνεστὼς οὔ-
τε τὸ μέλλον. Πῶς οὖν ὁ ἀποκρινάμενος, ἀναιρῶν ἀπὸ τοῦ
θεοῦ τὰ ἔγχρονα, τίθησιν ἐπὶ τοῦ θεοῦ τὰ ἔγχρονα, καί φησιν·
Ἀλλὰ τό τε παρελθὸν παρὰ τῷ θεῷ ἐν τῷ ἐνεστῶτι, καὶ τὸ μέλ-
λον ἐν τῷ ἤδη γεγονέναι; Τοῦτο [10] δυεῖν τινων ἔχει τὴν ἔμφα-
σιν, ἢ τοῦτο μὴ ὂν παρὰ τῷ θεῷ ἐστιν ἐν τῷ μὴ ὄντι, ἢ τοῦ-

7. ὑποτεθέντος] Stephan. ὑποτιθέντος. — Mox, illo excepto, omnes editores συναναιρεῖται praebuerunt citra codicum auctoritatem.

8. ἢ] Maran. ἡ mendose.

9. τὰ αὐτὰ] Sic Maranus (ex

rium apud deum." Hoc autem sublato ut absurde posito, necessario simul etiam tollitur: „non competere in deum verbum *fecit*;" etenim hoc sublato, necessario ponitur id quod huic contrarium est, nempe competere in deum verbum *fecit*. Nam in re qualibet necesse est aut affirmationem veram esse aut negationem. Porro si ponas competere in deum *fecit*, dicere non possis deum esse qui nihil fecerit: hoc enim illud consequitur.

3. „Quid ergo? Peccare nos dices quod deum otiosum dicamus? Verum non hoc dicimus, sed deum neque fecisse quidquam neque facere neque facturum esse in tempore: non enim quidquam fecit magis quam facit, neque rursus facit magis quam faciet; sed et praeteritum apud deum in praesenti, et futurum in praeterito est, quippe quum deus nihil fluxi habeat, sed eadem semper faciat propter perfectam ejus et immutabilem potentiam et actum." Sed fugere peccatum quo deus otiosus dicitur, et de eo affirmare „neque fecisse neque facere neque facturum esse in tempore," in idem est incidere peccatum. Nam si velles peccare et deum otiosum dicere, quid posses amplius dicere quam quod, peccare et deum otiosum dicere nolens, prolocutus es, neque fecisse deum neque facere neque facturum esse? Verbis enim, quae temporis notam significant et continent, ex operatione dei sublatis reperietur deus otiosus: proinde neque conditor.

4. Si nihil est apud deum temporarium, patet nec praeteritum tempus esse apud eum nec praesens nec futurum. Quomodo igitur responsor, qui removet a deo temporaria, ponit in deo temporaria, et ait: „Sed et praeteritum apud deum in praesenti, et futurum in praeterito est?" Hoc duo quodammodo significat: vel illud quod non est apud deum esse in eo quod non est, vel illud quod non est apud deum

Clar.). Stephanus ταῦτα. Caeteri ταὐτά.

10. δυεῖν] Genitivus raro obvius: Lobeck. ad Phryn. p. 211., Duker. ad Thucyd. IV. 8. 23., Schneider. ad Plat. de rep. II. p. 92. sqq..

το [11] μὴ ὂν παρὰ τῷ θεῷ ἐστιν ἐν τῷ ὄντι. Ἀλλ' εἰ μὲν τὸ B πρῶτον, ἔστιν ἀδύνατον· τὸ γὰρ ἔν τινι εἶναι ἢ μὴ εἶναι τοῦ ὄντος ἐστίν. Εἰ δὲ τὸ δεύτερον, ἔστι παρὰ τῷ θεῷ τὸ μὴ ὂν ἐν τῷ ὄντι, τουτέστι τὸ παρεληλυθὸς τοῦ χρόνου ἐν τῷ ἐνεστῶτι τοῦ χρόνου. Τούτου δὲ κειμένου, ἔλεγχος γίνεται τοῦ μὴ ὀρθῶς εἰρῆσθαι τὸ οὐδὲν ἔγχρονον παρὰ τῷ θεῷ τὸ παρεληλυθὸς ἐν τῷ ἐνεστῶτι καὶ τὸ μέλλον ἐν τῷ ἤδη γεγονέναι, ἅτινά ἐστιν ἔγχρονα· καὶ εἰ ἐνήλλαξε τὸν τρόπον τοῦ πῶς ἐστι παρὰ τῷ θεῷ τὰ τοῦ χρόνου μέρη, ἀλλ' ὅμως δέδωκεν εἶναι παρ' αὐτῷ τοῦ C χρόνου τὸ παρεληλυθὸς καὶ τὸ ἐνεστὼς καὶ τὸ μέλλον· [12] καὶ εἰ μὴ μᾶλλον τὸ πεποίηκε τοῦ ποιεῖ, οὐδ' αὖ τὸ ποιεῖ τοῦ ποιήσει. Ἐπεὶ τίς ἦν χρεία τῆς τοῦ μᾶλλον ἀναιρέσεως ἀπὸ τῶν ποιήσεων τῶν κατὰ τὸ πεποίηκε καὶ ποιεῖ καὶ ποιήσει ἀλλήλων διαφερουσῶν, τῶν ποιήσεων [13] οὐσῶν τῶν κατὰ τὸ μᾶλλον καὶ ἧττον μὴ διαφερουσῶν ἀλλήλων; Οὐδὲ γὰρ ἀναίρεσίς ἐστι τοῦ πεποιηκέναι τὸ μὴ μᾶλλον πεποίηκεν ἢ ποιεῖ, ἀλλὰ θέσις μᾶλλον τοῦ πεποίηκεν. Ἀλλὰ προδήλως πάντα ὅσα ἀνεῖλεν ἀπὸ τοῦ θεοῦ τὰ ἔγ- D χρονα ἐν τῷ προοιμίῳ τῆς δευτέρας ἀποκρίσεως, ταῦτα αὐτῷ κατέλιπεν ἐνταῦθα· Ὡς οὐδὲν ῥευστὸν ἔχοντος τοῦ θεοῦ, ἀεὶ δὲ τὰ αὐτὰ ποιοῦντος διὰ τὴν τελείαν αὐτοῦ καὶ ἀμετάβλητον δύναμίν τε καὶ ἐνέργειαν. Ὁ ἀναιρῶν τὰ ἔγχρονα οὐ τίθησι τὰ ἔγχρονα. Πῶς οὖν, εἰ κατὰ τὸν ἀποκρινάμενον μηδὲν ἔγχρονον παρὰ τῷ θεῷ, ποιεῖ τὰ αὐτὰ ὁ θεός; Τὸ γὰρ ποιεῖ ἀδύνατον νοηθῆναι τοῦ ἐνεστῶτος χρόνου ἐκτός. Πῶς δὲ ἔχει τελείαν δύναμίν τε καὶ ἐνέργειαν ὁ θεός, E εἰ δὴ ἀπαύστως ποιεῖ τὰ αὐτά; Εἰ γὰρ διὰ τοῦτο λέγεται ἡ κίνησις ἐνέργεια ἀτελής, διὰ τὸ ἀεὶ κινεῖσθαι, ἧς εἰ κατὰ μίμησιν καὶ ὁ θεὸς ἐποίει, ἀτελὴς ἔσται ἡ αὐτοῦ ἐνέργεια καὶ οὐ τελεία· ἡ γὰρ τελεία ἐνέργεια ἐν τῷ ἤδη ἀποτελεσθέντι ἔργῳ θεωρεῖται καὶ οὐκ ἐν τῷ ἀτελέστῳ. Ἀλλ' εἰ μὲν διὰ τὸ ἀτελὲς τῆς ἐνεργείας καὶ διὰ τὸ ἀτελέστατον τοῦ λόγου λέγει τὸν θεὸν μηδὲν 172 πεποιηκέναι ὁ ἀποκρινάμενος, οὐκ ἀληθεύσει, λέγων τελείαν εἶναι τὴν ἐνέργειαν τοῦ θεοῦ, τὴν μηδὲν οὔτε τῷ ὅλῳ οὔτε τῷ

11. μὴ] In codd. mstis et editis male (vide sequentia) praetermittitur.

12. καὶ εἰ] Maranus legendum putat εἰ καί. — Mox Stephanus: ...ποιήσει, ἐπεί τίς ἦν χρεία...

esse in eo quod est. Si primum, impossibile est; nam in aliquo esse vel non esse illius est quod est. Si secundum, est apud deum id quod non est in eo quod est, id est praeteritum tempus in praesenti. Hoc autem posito, non recte „nihil apud deum esse temporarium“ dictum esse arguit illud praeteritum in praesenti et futurum in praeterito, quae quidem sunt temporaria; et quamvis mutaverit modum, quo apud deum sunt temporis partes, concessit tamen apud eum esse praeteritum tempus et praesens et futurum: etiamsi non magis fecerit quam faciat, nec rursus magis faciat quam facturus sit. Enimvero quid opus erat illud *magis* removere ab operationibus inter se secundum verba *fecit* et *facit* et *faciet* discrepantibus, nisi quia operationes sunt quae ab invicem secundum majus aut minus non differunt? Non enim deum fecisse negat qui magis fecisse negat quam facere, sed potius fecisse asseverat. Porro manifeste quaecunque a deo in exordio Responsi secundi adimit temporaria, ea illi hîc reliquit omnia: „Quippe quum deus nihil fluxi habeat, sed eadem semper faciat propter perfectam eius et immutabilem potentiam et actum.“ Qui temporaria tollit non ponit temporaria. Quomodo igitur, si secundum responsoris sententiam nihil est apud deum temporarium, deus eadem facit? Illud enim *facit* concipi non potest extra praesens tempus. Quomodo autem perfectam habet deus potentiam et operationem, si indesinenter eadem facit? Nam si propterea motio imperfectus dicitur actus, quia continenter movetur, et ad ejus imitationem deus quoque facit: imperfecta erit et non absoluta ejus operatio; absoluta enim operatio in perfecto neque in imperfecto perspicitur opere. Caeterum si propter imperfectam operationem et imperfectissimam rationem responsor asserit deum nihil fecisse, vera non dicet, perfectam esse asserens dei operationem, quae nihil neque

ἀλλήλων · οὐδὲ γὰρ etc.. 13. οὐσῶν] Codd. msti et editi οὐκ οὐσῶν. Errorem Maranus vidit.

μέρει τελέσασαν. Εἰ δὲ τοῦ ἔργου μὴ τελεσθέντος ἀδύνατον τελείαν εἶναι τὴν ἐνέργειαν τοῦ ποιοῦντος, δῆλον ὅτι οὐδὲ ὁ θεὸς ἔχει τελείαν ἐνέργειαν, ἀεὶ ποιῶν τὸ ποιούμενον.

5. Ποιεῖ τοίνυν τὸν κόσμον ἐν αὐτῷ τούτῳ ὅπερ ἐστί, τὴν κίνησιν αὐτῷ ἄπαυστον παρέχων, τῷ ἐλλάμπειν αὐτὸν δι' αἰῶνος. Εἰ ἐν τῇ παροχῇ τῆς κινήσεως ποιεῖ τὸν κόσμον ὁ θεός, B
δῆλον ὅτι ἔγχρονον ποιεῖ τὸν κόσμον· οὐ γὰρ ἄνευ χρόνου ἡ κίνησις ἡ τῷ κόσμῳ παρὰ τοῦ θεοῦ πρὸς τὴν αὐτοῦ κίνησιν παρεχομένη. Εἰ τοίνυν τὸ ποιεῖν τοῦ ἐνεστῶτός ἐστι χρόνου καὶ ἡ κίνησις ἔγχρονός ἐστι, πῶς οὐκ ἔστι ψευδὲς τὸ Οὐδὲν ἔγχρονόν ἐστι παρὰ τῷ θεῷ; Πῶς δὲ δυνατὸν κινεῖσθαι τὸν κόσμον τὸν μήπω γεγονότα, [14] ἀλλ' ἢ ἐν τῷ ποιεῖσθαι ὄντα, τῷ τὸν μὲν θεὸν ποιεῖν ἀχρόνως, τὸν δὲ κόσμον ἐν τῷ χρόνῳ ποιεῖσθαι; Ἀνάγκη γάρ, ὥσπερ ποιεῖ ὁ ποιῶν, οὕτως ποιεῖσθαι τὸ ποιού- C
μενον ἀχρόνως. Εἰ δὲ τῇ παροχῇ τῆς κινήσεως ποιεῖ τὸν κόσμον ὁ θεός, καὶ οὐχ ἁρμόττει τὸ λέγεσθαι περὶ αὐτοῦ τὸ πεποίηκε τὸν κόσμον, οὐδ' ἄρα τῷ κόσμῳ ἁρμόττει τὸ κινηθῆναι. Εἰ ἕτερον μὲν τὸ κινούμενον, ἑτέρα δὲ ἡ κίνησις· οἷον ἔστω τὸ μὲν κινούμενον ὁ ἥλιος, ἡ δὲ κίνησις αὐτοῦ μετάστασις κατὰ φορὰν ἐκ τόπου εἰς τόπον, καὶ ἡ κίνησις οὐ παρέχει μὲν τῷ ἡλίῳ τὴν οὐσίαν, παρέχει δὲ αὐτῷ τὸ κινεῖσθαι κατὰ φοράν· δῆλον ὅτι δύο ποιήσεις ἔχει ὁ ἥλιος, μίαν μὲν τῆς οὐσίας, ἑτέ- D
ραν δὲ τῆς κινήσεως· οἷόν ἐστιν ὁ ἥλιος πίλημα, [15] αἰθεροειδὴς τῇ οὐσίᾳ, λαμπρὸς τῷ εἴδει, σφαιροειδὴς τῷ σχήματι, ὧν οὐδὲν διὰ κινήσεως [16] ἔχει ὁ ἥλιος. Ἀλλ' εἰ μηδὲν τούτων διὰ τῆς κινήσεως ἔχει ὁ ἥλιος, δῆλον ὅτι οὐδὲ διὰ τῆς ποιήσεως τῆς παρὰ τοῦ θεοῦ. Εἰ δὲ τῇ παροχῇ τῆς ἀπαύστου κινήσεως ποιεῖ τὸν ἥλιον ὁ θεός, τὸν ὄντα μέρος τοῦ κόσμου, ὥσπερ ποιεῖ ὅλον τὸν κόσμον, καὶ δεῖ πρῶτον εἶναι τὸ κινητὸν καὶ ὕστερον τὴν κίνησιν, E
ἢ ἄρα ἀποίητός ἐστιν ὁ ἥλιος τῇ οὐσίᾳ, ἢ κατὰ ἄλλην ποίησιν

14. ἀλλ' ἢ] Ita Sylburgius conjecit scribendum esse pro vulg. ἀλλ' εἰ. Clar. ἀλλὰ ἀεὶ habet inconvenienter. Maranus non vult nisi τῷ, ante τὸν μὲν θεόν, mutari in τό, unde reddit: *Qui autem fieri potest ut ... moveatur, aut, si dum efficitur existit* [?], *deus quidem abs-*

in integro opere neque in illius parte perfecit. Sin opere non absoluto fieri nequit ut opificis perfecta sit operatio, patet neque deum perfectam habere operationem, quum semper faciat id quod fit.

5. „Itaque mundum facit eo ipso quod est, dum motum ei perpetuum suppeditat, facitque ut per omne aevum colluceat.“ Si suppeditatione motus deus mundum efficit, patet temporarium ab eo mundum effici; non enim absque tempore est motus qui mundo a deo ad volutionem praebetur. Si igitur efficere praesentis est temporis et motus temporarius est, quomodo falsum non est illud: „Apud deum non est temporarium quidquam?“ Quî autem fieri potest ut mundus qui nondum factus sit moveatur, nisi dum efficitur exsistat, dum deus quidem absque tempore efficit, mundus vero in tempore efficitur? Necesse enim est, sicut facit effector, ita quoque effici effectum absque tempore. Sin suppeditatione motus deus mundum efficit, nec convenienter de eo dicitur „mundum fecit:“ neque ipsi mundo congruet moveri. Si aliud est quod movetur, et alius motus: exempli gratia sit id quod movetur sol, motus autem ejus transitio per delationem e loco in locum, et motus quidem non praebet soli essentiam, praebet autem ei ut per delationem moveatur: patet solem habere duplicem creationem, unam substantiae, alteram motionis; est quippe sol concretio, aethereus substantia, splendidus specie, rotundus figura: quarum rerum nihil per motum sol habet. Si vero nihil earum per motum sol habet, patet neque per dei operationem. Quodsi suppeditatione perpetui motus solem, qui pars est mundi, deus efficit, quemadmodum totum efficit mundum, ac prius esse oportet id quod mobile est atque postea motum: vel profecto infectus est sol substantiâ, vel alia operatione fecit

que tempore efficiat, mundus vero in tempore efficiatur.

15. αἰϑεροειδὴς] Codd. msti et editi αἰϑεροειδές. Jam Langus: *aetheris modo pellucidus substantiâ.*

16. ἔχει] Maranus vitiose omisit.

ἐποίησεν αὐτοῦ τὴν οὐσίαν καὶ κατὰ ἄλλην ποίησιν τὴν κίνησιν,
καὶ ποιήσας μὲν πρῶτον αὐτοῦ τὴν οὐσίαν, ὕστερον δὲ παρα-
σχὼν αὐτῷ τὴν κίνησιν. Ἀλλ' εἰ τὸ κινεῖσθαι αὐτὸν ἀεὶ ποιεῖ,
τὴν δὲ οὐσίαν αὐτοῦ οὐκ ἀεὶ ποιεῖ, δῆλον ὅτι μετὰ τὴν ποίησιν
τῆς οὐσίας αὐτοῦ παρέχει αὐτῷ τὴν ἄπαυστον κίνησιν, καὶ ἔστι 173
τὸ τέλος τῆς οὐσίας τῆς ποιήσεως αὐτοῦ ἀρχὴ τῆς κινήσεως αὐ-
τοῦ. Εἰ δὲ ταῦτα οὕτως ἔχει, δῆλον ὅτι οὐδὲν ἄχρονον παρὰ
τῷ θεῷ· ἡ γὰρ ποίησις ποίησιν διαδεχομένη ἄχρονος οὐκ ἔστιν.

6. Ὥστε πεποίηκε μὲν οὐδὲν οὔτε ποιήσει. Ποιεῖ δὲ ἀεὶ ὁ
αὐτὸς τὸ αὐτό, μὴ ἔχων ἀρχὴν τῆς ποιήσεως, ἵνα μὴ καὶ τέλος.
Δειχθέντος τοῦ ἄλλην εἶναι τοῦ ἡλίου τὴν ποίησιν τῆς οὐσίας,
καὶ ἄλλην τὴν διὰ κινήσεως, ἣν ἄπαυστον ὠνόμασεν ὁ ἀποκρι- B
νάμενος, καὶ ὅτι προηγεῖται ἡ ποίησις τῆς οὐσίας αὐτοῦ τῆς διὰ
κινήσεως [17] ποιήσεως, πῶς οὐκ ἔστιν ἄτοπον τὸ ἄναρχον λέγειν
τοῦ ἡλίου τὴν ποίησιν τὴν διὰ τῆς κινήσεως, τοῦ ἡλίου πρὸ
τῆς ἀπαύστου διὰ κινήσεως ποιήσεως τὴν τῆς οὐσίας παυσαμέ-
νην ποίησιν ἐσχηκότος; Ἢ τοίνυν οὐκ ἔστι ποιητὴς τῆς τοῦ ἡλίου
οὐσίας ὁ θεός, ἢ οὐκ ἔστιν ἄναρχος ἡ διὰ τῆς κινήσεως ποίη-
σις τοῦ ἡλίου. Ἀλλ' εἰ μὲν τὸ πρῶτον, εἰ οὐκ ἔστι ποιητὴς τῆς
τοῦ ἡλίου οὐσίας ὁ θεός, οὐδ' ἄρα διὰ τῆς κινήσεώς ἐστιν αὐ- C
τοῦ ποιητής· παρ' οὗ γὰρ ἔχει τὴν οὐσίαν, παρὰ τούτου ἀνάγ-
κη ἔχειν καὶ τὴν κίνησιν. Εἰ δὲ τὸ δεύτερον, φθαρτὸς ἔσται
ὁ θεὸς τὴν ἐνέργειαν, εἴγε κατὰ τὸν ἀποκρινάμενον παυσαμένης
τῆς ἐνεργείας τοῦ θεοῦ φθείρεται ὁ θεὸς τῇ ἐνεργείᾳ. Εἰ δὲ
5. „Cernimus etiam naturam, hoc ipso quod est, facere et universam semper mutationem operari, quemadmodum in lactis coagulatione cernimus universe coagulationem lacti advenire. Multo igitur magis putandum deum universe et absque tempore facere omnia, quum ipse quidem sit unum, infinita vero potentia diversa producat, quae quidem omnino per seipsa producta sint.“ Natura quidem universam efficit mu-

28. ὁ ἀποκρ.] Articulum Stephanus praetermisit.

29. καὶ ὁ] Desiderantur haec in omnibus codicibus, et mstis et editis.

πρὸς ποίησιν οὐσίας ἀλλὰ πρὸς ποίησιν τοῦ πάθους· ἡ γὰρ πῆξις ἐν τῷ γάλακτι πάθος ἐστὶ τοῦ γάλακτος, οὐσίαν δὲ οὐδαμῶς ἀθρόως ποιεῖ ἡ φύσις. Πῶς οὖν οὐκ ἔστιν ὁ ἀποκρινάμενος D
ἀνοικείῳ ὑποδείγματι, τῇ ἐργασίᾳ τῆς φύσεως, χρησάμενος πρὸς παράστασιν τῆς τοῦ θεοῦ ἀχρόνως ἐργασίας, δημιουργοῦ πολλῶν καὶ διαφόρων οὐσιῶν ὄντος, ἅς, κἂν ἀθρόως ποιῇ ὁ θεός, οὐδ' οὕτως ἀχρόνως; Τὸ γὰρ ἀθρόον τοῦ χρόνου ἐστὶ τὸ ἄτομον. Τῶν αὐτοπαράκτων οὐ κυριεύει ἡ τοῦ θεοῦ βούλησις· κυριεύει δὲ ἡ βούλησις τοῦ θεοῦ ὧν αὐτὴ παράγει. Ἀλλ' εἰ κυριεύει ἡ βούλησις τοῦ θεοῦ πάντων, οὐδὲν ἄρα αὐτοπάρακτον. Αὐτο- E
πάρακτον ὀνομάζει ὁ ἀποκρινάμενος καὶ τὸν θεὸν καὶ τὸν κόσμον. Ἀλλ' εἰ αὐτοπάρακτός ἐστιν ὁ κόσμος, συνυφιστάμενος τῇ αἰτίᾳ τῆς ὑποστάσεως αὐτοῦ, ἀνάγκη ἄρα καὶ τὸν θεόν, αὐτοπάρακτον ὄντα, συνυφίστασθαι τῇ αἰτίᾳ τῆς ὑποστάσεως αὐτοῦ. Ἀλλ' εἰ τοῦτο ἄτο- 184
πον, ἄτοπον ἄρα καὶ τὸ λέγειν τὸν θεὸν καὶ τὸν κόσμον αὐτοπαράκτους, καὶ συνυφισταμένους ἀλλήλοις ἀδιαστάτως. Εἰ καθ' αὐτὸ μὲν ἔστιν ὁ θεὸς αὐτοπάρακτος, κατὰ συμβεβηκὸς δὲ ὁ κόσμος [30] ὁ συνυφιστάμενος αὐτῷ, πῶς οὐκ ἔστι ψευδὲς τὸ Οὐδὲν συμβαίνει θεῷ, εἴ γε, αὐτοπαράκτως παραγομένου τοῦ θεοῦ, συνυπέστη αὐτῷ αὐτοπάρακτος ὁ κόσμος; Εἰ τὰ φυσικῇ ἀνάγκῃ τινὶ συμβησόμενα ἀβουλήτως συμβαίνει αὐτῷ, πῶς, εἰ φυσικῇ ἀνάγ- B
κῃ συνυφίσταται ὁ κόσμος τῷ θεῷ, οὐκ ἀβουλήτως αὐτῷ συνυφίσταται κατὰ συμβεβηκός; Εἰ ταὐτόν ἐστι παρὰ τῷ θεῷ τὸ εἶναι τῷ βούλεσθαι, δῆλον ὅτι ἐν οἷς οὐ βούλεται ὁ θεὸς ἐν τούτοις οὐδ' ἔστι. Πῶς οὖν, μὴ ὄντος αὐτοῦ, ὁ κόσμος αὐτῷ συνυφίσταται; Ἀβουλήτως γὰρ αὐτῷ συνυφίσταται ὁ κόσμος. Εἰ ὁ ἀγέννητος ἀγεννήτως ἀγέννητα ποιεῖ, δῆλον ὅτι καὶ ὁ ἀσύνθετος ἀσυνθέτως ἀσύνθετα ποιεῖ. Εἰ δὲ μὴ τὸ δεύτερον, οὐδ' ἄρα τὸ C
πρῶτον. Σύνθετος γὰρ ὁ κόσμος. Εἰ ὁ θεὸς θεϊκῶς θεοὺς οὐ ποιεῖ, πῶς ὁ ἀγέννητος ἀγεννήτως ἀγέννητα ποιεῖ; Οὐ γὰρ αὐτὸς ἑαυτῷ συνυφίσταται, ἀλλὰ ἕτερος. Ἄλλο [31] ὁ θεός, ἄλλο τὸ ἀγέννητον· [32] ἐκείνῳ μὲν ὑπάρχει, τούτῳ δὲ χωρίζεται τῶν

30. ὁ] Codd. msti et editi οὐ inepte. Jam Langus vitium correxit in translatione.

31. ὁ θεός] Sic congruentius (Sylburg.) pro vulg. τὸ θεὸς legitur.

32. ἐκείνῳ . . . τούτῳ] Ita emen-

tationem, non ad effectionem substantiae sed ad effectionem perpessionis; nam coagulatio in lacte perpessio est lactis, substantiam vero nequaquam natura universe efficit. Quomodo igitur responsor minus proprio exemplo usus non est, actione naturae, ut deum probet sine tempore operari, quum opifex sit multarum et diversarum substantiarum, quas, etiamsi repente creet deus, non tamen absque tempore? Repentinum enim tempus est individuum momentum. In ea quae per seipsa producta sunt voluntas dei non dominatur; in ea autem dominatur dei voluntas quae ipsa producit. Sed si voluntas dei in omnia dominatur, nihil est profecto quod per seipsum sit productum. Responsor per seipsum productum nominat et deum et mundum. Sed si per seipsum productus est mundus, ut qui causae subsistentiae ejus coexsistat, necesse profecto est etiam deum, qui per seipsum productus sit, causae subsistentiae suae coexstitisse. Sed si id absurdum est, absurdum profecto etiam est dicere deum et mundum per seipsos productos esse, et simul alterum cum altero citra intervallum substitisse. Si per se quidem deus per seipsum productus est, per accidens autem mundus qui cum eo simul subsistit: quomodo falsum non est illud „Nihil deo accidit," si quidem deo, per seipsum producto, coexistit per seipsum productus mundus? Si quae alicui naturali necessitate eveniunt praeter ipsius voluntatem ei eveniunt: quomodo, si naturali necessitate simul cum deo mundus subsistit, non praeter illius voluntatem cum eo simul per accidens subsistit? Si idem est apud deum esse et velle, patet eum in iis quae non vult non esse. Quomodo igitur, quum is non esset, mundus cum ipso simul substitit? Nam praeter ipsius voluntatem mundus cum eo simul substitit. Si ingenitus ingenite ingenita efficit, patet etiam incompositum incomposite incomposita efficere. Sin secundum falsum est, falsum est etiam primum. Compositus enim est mundus. Si deus divino modo deos non creat: quomodo ingenitus ingenite ingenita facit? Non enim ipse sibi consubsistit, sed alius. Aliud est deus, aliud ingenitum: illo quidem exsistit, hoc autem

dandum proposuit Maranus vulg. ἐ-
κεῖνο ... τοῦτο. Paulo post enim ᾧ
χωρίζεται legitur.

γεννητῶν. Καὶ ποιῶν ὁ θεὸς ὑπάρχει, [33]ποιῶν οὐ χωρίζεται.
Εἰ δὲ καὶ ᾧ χωρίζεται ποιεῖ, ἀλλὰ κατὰ συμβεβηκὸς καὶ οὐ καθ'
αὑτό, πῶς οὐδὲν συμβαίνει τῷ θεῷ κατὰ συμβεβηκὸς ποιοῦντι;
Εἰ, ὥσπερ συνυφίσταται τῇ σφαίρᾳ τὸ κοῖλον καὶ τὸ κυρτόν,
οὕτως συνυφίσταται τῷ θεῷ ὁ κόσμος, ἀλληλαίτιοι ἄρα ὁ μὲν D
θεὸς τοῦ κόσμου, ὁ δὲ κόσμος τοῦ θεοῦ, καθάπερ κἀκεῖνα. Εἰ
οὐ ποιεῖ τις βουλήσει ἃ καὶ μὴ βουλόμενος ἐποίει, πῶς οὖν βου-
λήσει τὸν κόσμον ἐποίησεν ὁ θεός, ὃν καὶ μὴ βουλόμενος ποι-
εῖν ἐξ ἀνάγκης ἐποίει; Εἰ ἓν μὲν τῇ οὐσίᾳ ὁ θεός, ἄπειρος δὲ
τῇ δυνάμει, τὰ δὲ συνυφιστάμενα αὐτῷ μήτε ἓν κατὰ τὴν οὐ-
σίαν αὐτοῦ μήτε ἄπειρα κατὰ τὴν δύναμιν αὐτοῦ, οὐδ' ἄρα συν- E
υφίσταται αὐτῷ. Ὁ θεὸς ἀεὶ τέλειός ἐστιν, ἀεὶ δυνατός ἐστιν·
καὶ ἐν αὐτῷ μὲν πρότερον καὶ ὕστερον οὐδέν, ἐν δὲ τοῖς ἔρ-
γοις αὐτοῦ ἐστιν ἀμφότερα. Εἰ σύνθετα τὰ ἔργα αὐτοῦ, πᾶν δὲ
σύνθετον ἐξ ἁπλῶν σύγκειται, [34]καὶ ἀδύνατον ἅμα εἶναι τὰ ἁπλᾶ 185
τοῖς συνθέτοις· πρῶτα γὰρ τὰ ἁπλᾶ, ὕστερον δὲ τὰ σύνθετα.
Ὥσπερ ἀδιάβλητος ὁ θεὸς ἐπὶ τῇ ἀσθενείᾳ τῆς δυνάμεως, ὅτι μὴ
ποιήσας πλείους κόσμους, ἀλλὰ ποιήσας ἕνα κόσμον ἔπαυσε τὴν
ποίησιν, οὕτως ἀδιάβλητος ὁ θεὸς ἐπὶ τῷ ἀτελεῖ τῆς δυνάμεως,
ὅτι μὴ ἅμα τῷ εἶναι αὐτὸν τὸν κόσμον ἐποίησεν, ἀλλ' ὅτε ἐβού-
λετο. Οὐδὲν διαφέρει τὸ αὐτοπάρακτον τοῦ αὐτογενοῦς· ἀλλ' εἰ B
αὐτοπάρακτος ὁ θεὸς καὶ αὐτοπάρακτος ὁ κόσμος, ἔσονται αὐτογέ-
νητοι ὅ τε θεὸς καὶ ὁ κόσμος. Εἰ, ὥσπερ ὁρῶμεν ἀθρόως τὴν πῆξιν
τῷ γάλακτι παραγινομένην, οὕτως ἀθρόως παραγίνεται τῷ κόσμῳ
τὸ εἶναι, γεννητὸς ἄρα ὁ κόσμος καὶ μεταβλητὸς ἐκ τοῦ ἀνουσίου εἰς
οὐσίαν· τὸ γὰρ παραγίνεται τὸ γενέσθαι δηλοῖ. Εἰ αὐτοπάρακτος ὁ
θεὸς καὶ αὐτοπάρακτος ὁ κόσμος, ἡ αὐτοπαραξία ἑκατέρου ἑκατέρου
ἔσται ἀρχὴ τῆς ὑπάρξεως. Πῶς οὖν ἄναρχος καὶ ἀΐδιος ὁ θεὸς καὶ
ὁ κόσμος, τὰς αὐτοπαραξίας ἔχοντες αὐτῶν ἀρχὰς τῆς ὑπάρξεως αὐ- C
τῶν; Τὸ αὐτοπάρακτον παραγωγῆς ἔχει σημασίαν τοῦ ἀφ' ἑαυτοῦ
παραγομένου. Ἀλλ' ἐπειδὴ πᾶν τὸ παραγόμενον ἢ τῇ παρουσίᾳ πα-
ράγεται κατὰ μετάστασιν ἐκ τόπου εἰς τόπον, ἢ τῇ οὐσίᾳ παράγεται
κατὰ ποίησιν ἄγουσαν ἐκ τῆς ἀνυπαρξίας εἰς ὕπαρξιν, μηδὲν δὲ

33. ποιῶν] Hoc Maranus legi vero ᾧ δὲ ποιεῖ: *eo autem quod voluit* pro vulg. ποιεῖ. Sylburgius *facit.*

secernitur a genitis. Et faciens deus exsistit, faciendo non secernitur. Sin etiam quo secernitur facit, sed per accidens nec per se: quomodo nihil accidit deo per accidens facienti? Si, quemadmodum cum globo simul subsistit concavum et convexum, sic cum deo simul subsistit mundus, erunt sane invicem alter alterius causa, deus mundi, mundus dei, haud aliter atque illa. Si nemo voluntate ea facit quae, etiamsi nollet, faceret tamen: quomodo ergo mundum deus voluntate fecit, quem, etiamsi nollet facere, necessario faceret? Si deus unum quidem est essentiâ, infinitus autem potentiâ, ea vero quae cum eo simul subsistunt neque unum juxta essentiam ejus neque infinita juxta potentiam ejus sunt: minime sane simul cum eo subsistunt. Deus semper perfectus est, semper potens est; atque in eo nihil est quod prius sit et posterius, in operibus autem ejus est utrumque. Si opera ejus composita sunt, quidquid vero compositum est ex simplicibus constituitur: etiam fieri nequit ut simul simplicia cum compositis exsistant; primum enim simplicia exsistunt, postea autem composita. Quemadmodum incusari non potest in deo potentiae infirmitas, quod plures mundos non creaverit, sed uno condito creatione supersederit: ita incusari non potest potentiae imperfectio, quod non simul atque ipse fuit mundum effecerit, sed quum voluit. Nihil differt quod per seipsum productum est ab eo quod per seipsum genitum est; sed si per seipsum productus est deus et per seipsum productus mundus, erunt per seipsos geniti et deus et mundus. Si, ut videmus repente coagulationem lacti advenire, ita repente esse mundo advenit: genitus sane erit mundus et translatus ex eo quod non erat in substantiam: nam *advenire* significat *fieri*. Si per seipsum productus est deus et per seipsum productus mundus, per se productio utriusque principium erit subsistentiae utriusque. Quomodo ergo principii expers et aeternus est deus et mundus, qui has per se productiones principia habent subsistentiarum suarum? Per seipsum produci significationem habet productionis ejus quod a seipso producitur. Sed quia quidquid producitur aut adventu producitur per transitionem e loco in locum, aut substantiâ producitur per creationem, quae illud quum non exsisteret ad

34. καὶ] Haec particula non otiosa est (Sylburg.), sed i. q. *etiam*.

τούτων πρόσεστι τῷ θεῷ, δῆλον ὅτι οὐκ ὀρθῶς αὐτὸν ὠνόμασεν ὁ ἀποκρινάμενος αὐτοπάρακτον· τὸ γὰρ αὐτοπάρακτον τοῦ ἑτερο- D
παράκτου τῷ ὅλως αὐτοπαράκτῳ οὐδὲν διαφέρει. Εἰ ἀδύνατον εἶναι τὸ ἀγένητον [35] ποιητόν, ἀδύνατον εἶναι τὸν κόσμον ἀγένητον καὶ τὸν ποιήσαντα αὐτὸν θεόν. Εἰ δὲ τῷ ποιητῷ διαφέρει ὁ κόσμος τοῦ θεοῦ, ἐξ ἀνάγκης καὶ τῷ γενητῷ διαφέρει· ποιητὸς γὰρ ὁ κόσμος, ἀποίητος δὲ ὁ θεός. Εἰ ὁ φυσικῇ ἀνάγκῃ τῷ ἀγενήτῳ συνυφιστάμενος ἀποίητός ἐστι, πῶς οὖν οὐκ ἔστι ψευδὲς τὸ Ἐποίησε ποιητὸν κόσμον ὁ θεός, ἀποίητον ὄντα καὶ ἀγένητον κατ' E
αὐτόν; Εἰ αὐτοπάρακτός ἐστιν ὁ κόσμος καὶ οὐ ποιητός, ἐξ ἀνάγκης καὶ αὐτοποίητός ἐστιν. Τοῦ αὐτοπαράκτου [36] τὸ αὐτογένητον καὶ αὐτοποίητον οὐδὲν διαφέρει· ἀλλ' εἰ αὐτοπάρακτος ὅ τε θεὸς καὶ ὁ κόσμος, αὐτογένητοι καὶ αὐτοποίητοι ἔσονται· εἰ δὲ τοῦ- 186
το ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ λέγειν αὐτοπάρακτον μὲν τὸν ἄναρχόν τε καὶ ἀΐδιον θεόν, ἀγένητον δὲ καὶ αὐτοπάρακτον τὸν ποιητὸν κόσμον. Εἰ αὐτοπάρακτός ἐστιν ὁ κόσμος, οὐκ ἔστι θεοπάρακτος· καὶ εἰ μὴ θεοπάρακτος, οὐδὲ παρήγαγεν αὐτὸν ὁ θεός. Πῶς οὖν ὁ ἀποκρινάμενος, ὅταν λέγῃ προάγοντα μὲν τὸν θεόν, αὐτοπάρακτον δὲ τὸν κόσμον, οὐκ ἔστι ψευδῆ καὶ ἀσύμβατα λέγων; Πολλῷ τοίνυν, φησί, τὸν θεὸν μᾶλλον οἰητέον ἀθρόως B
καὶ ἀχρόνως πάντα ποιεῖν, αὐτὸν μὲν ὄντα ἕν, τῇ δὲ ἀπειρίᾳ τῆς δυνάμεως τὰ διάφορα προάγοντα, καὶ αὐτὰ παντελῶς αὐτοπάρακτα τυγχάνοντα. Καὶ εἰ ἰσοδυναμεῖ τὸ ποιεῖν τῷ ποιήσειν, πῶς ὁ ἀναιρῶν ἀπὸ τοῦ θεοῦ τὸ ποιήσειν, ὡς ἔμφασιν μὲν ἔχον τοῦ μέλλοντος χρόνου, νῦν τίθησιν ἐπ' αὐτοῦ τὸ ποιεῖν, τὴν αὐτὴν ἔχον τοῦ χρόνου ἔμφασιν; Εἰ δὲ σὺν τῇ ἐμφάσει τοῦ μέλλοντος χρόνου ἔχει τὸ [37] ποιεῖν καὶ τοῦ παρεληλυθότος τὴν C
ἔμφασιν, πῶς οὐκ ἔστιν ἐν τῇ τοῦ θεοῦ ἐργασίᾳ τοῦ χρόνου πάντα τὰ μέρη ὑπάρχοντα;

Ἐρώτησις χριστιανικὴ πρὸς τοὺς Ἕλληνας δ'.

Εἰ ἀδύνατον τῷ πρώην μὲν οὐκ ὄντι, ὕστερον δὲ ὄντι, συναΐδιον εἶναι τῷ ἀεὶ ὄντι, πῶς, εἰ γεννητὸς ὁ κόσμος, συναΐδιός ἐστι παρὰ τῷ θεῷ; D

35. ποιητόν] Codd. msti et editi inepte ἀποίητον.

36. τὸ αὐτογένητον] Maran. τὸ αὐτογέννητον, absque codicum au-

exsistentiam perduxit, nihil vero horum deo adest: patet responsorem non recte eum per seipsum productum nominasse; id enim quod per seipsum productum est ab eo quod ab alio productum est ipsa per se productione nihil prorsus differt. Si id quod ingenitum est factum esse non potest: fieri non potest ut mundus ingenitus sit et qui eum fecit deus. Sin mundus, quia factus est, a deo differt, necessario etiam, quia genitus est, differt; factus enim est mundus, non factus autem deus. Si qui naturali necessitate ingenito coexsistit infectus est, quomodo igitur falsum illud non est: Fecit deus mundum factitium, quum ex ipsius sententia infectus sit et ingenitus? Si mundus per seipsum productus est et non factus, necessario etiam per seipsum factus est. Id quod per seipsum est productum, id quod per seipsum genitum, id quod per seipsum factum, nihil differunt; at si per seipsos producti sunt et deus et mundus, per seipsos geniti et per seipsos facti erunt: quodsi hoc absurdum est, absurdum profecto etiam erit dicere per seipsum productum quidem deum, qui sine principio est et aeternus, ingenitum autem et per seipsum productum mundum, qui factus est. Si per seipsum productus est mundus, non est a deo productus: et si non a deo productus est, non produxit eum deus. Quomodo ergo responsor non falsa et secum pugnantia loquitur, quum dicit deum quidem producentem, mundum autem per seipsum productum? „Multo igitur magis," inquit, „putandum deum universe et absque tempore facere omnia, quum ipse quidem sit unum, infinita vero potentiâ diversa producat, quae quidem omnino per seipsa producta sint." Ac si *facere* idem valet atque *facturum esse:* quomodo qui *facturum esse* a deo tollit, ut significationem habens futuri temporis, nunc *facere* ei tribuit, quod eamdem habet temporis significationem? Quodsi *facere* non solum futuri sed etiam praeteriti temporis habet significationem: quomodo non insunt in dei operatione omnes temporis partes?

Quæstio christiana ad gentiles IV.

Si non potest id quod antea non fuit, postea autem fuit, coaeternum ei esse quod semper est: quomodo, si genitus mundus, coaeternus est apud deum?

cloritate. 37. ποιεῖν] Vitiose Maranus ποιεῖ edidit.

Ἀπόκρισις ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς.

Ὅτι μὲν ἀδύνατον τὸ ἔγχρονον (τοῦτο γὰρ σημαίνει τὸ πάλαι
μὲν μὴ ὄν, ὕστερον δὲ ὄν) ἀΐδιον εἶναι καὶ συναΐδιον τῷ ἀεὶ ὄντι,
δῆλον. Ὅτι δὲ καὶ ἐκ τούτου τοῦ λόγου δείκνυται ὁ κόσμος ἀγέν-
νητος, καὶ τοῦτο παντί που δῆλον. Ἀλλ' εἴ τις ἐθέλοι λέγειν ὥς E
τινες τῶν παλαιῶν τὸν κόσμον [1] γεννητὸν καλοῦσιν, εἰ μὲν ἐπιπο-
λαίως σκέψοιντο [2] τοὺς λόγους, μέμψοιντο ἂν δικαίως τοὺς τοῦτο
λέγοντας· εἰ δὲ τὸ βάθος κατανοήσωσιν ἀκριβῶς τῶν λεχθέντων,
εὑρήσουσιν ἀκριβῶς καὶ σαφῶς ἀγέννητον τούτους τὸν κόσμον
ἀποφαινομένους. Αὐτοὶ γάρ, λέγοντες τήν τε παραδειγματικὴν καὶ 187
τὴν ποιητικὴν αἰτίαν ἀγέννητον εἶναι, δηλονότι καὶ τὸν κόσμον,
δημιούργημα τούτων ὄντα, σαφῶς ἀγέννητον ἀποφαίνουσι. Τοῖς
γὰρ παλαιοῖς ἀποδέδεικται τὰ καλούμενα πρός τι ἅμα τῇ φύσει
ὑπάρχειν. Ἐπεὶ οὖν ἥ τε εἰκὼν πρὸς τὸ παράδειγμα, καὶ τὸ παρά-
δειγμα πρὸς τὴν εἰκόνα, καὶ τὸ δημιούργημα πρὸς τὸν δημιουργόν,
καὶ [3] ὁ δημιουργὸς πρὸς τὸ δημιούργημα, ἅμα τῇ φύσει ὑπάρξει·
εἰ τοίνυν ἀγέννητος ὁ δημιουργὸς [4] καὶ τὸ παράδειγμα ἀγέννητον,
καὶ ὁ κόσμος, τοῦ μὲν παραδείγματος εἰκὼν ὤν, τοῦ δὲ δημιουργοῦ
δημιούργημα. Ὅτι δὲ τὰ πρός τι ἅμα τῇ φύσει ὑπάρχει, σαφῶς B
πᾶσιν ἀποδέδεικται καὶ ὡμολόγηται, καὶ αὐτόθεν ῥάδιον γινώσκειν.
Τὸ γὰρ δεξιὸν καὶ ἀριστερὸν τῶν πρός τι· ὥσπερ οὖν οὐκ ἐνδέχεται
δεξιὸν εἶναι μὴ ὄντος τοῦ ἀριστεροῦ, μηδὲ τὸ ἀριστερὸν ἐκτὸς τοῦ
δεξιοῦ, οὕτως οὐκ ἐνδέχεται τὸν δημιουργὸν εἶναι ἄνευ τοῦ δημι-
ουργήματος ἢ τὸ δημιούργημα ἄνευ τοῦ δημιουργοῦ. Εἰ οὖν ἀγέν- C
νητος ὁ δημιουργός, ἀγέννητον καὶ τὸ δημιούργημα. Εἰ δέ τις θέ-
λοι λέγειν ὅτι πρότερον μὲν ἦν ὁ δημιουργός, ὕστερον δὲ γέγονε
τὸ δημιούργημα, καὶ ἄλλῳ περιπεσεῖται ἀτόπῳ· εὑρεθήσεται γὰρ
δυνάμει εἶναι λέγων τὸν δημιουργὸν καὶ οὐκ ἐνεργείᾳ (ὅπερ οὐδὲν
ἄλλο ἐστὶν ἢ τὸν θεὸν ἀτελῆ λέγειν), καὶ πρὸς τούτοις οὐδὲν ἧττον
συνυφίστασθαι τῷ δημιουργῷ τὸ δημιούργημα, δυνάμει [5] ὂν καὶ D
τοῦτο ὥσπερ ὁ δημιουργός, ἁπανταχοῦ τῶν πρός τι ὑφισταμένων

1. *γεννητὸν*] Codd. msti et editi *ἀγέννητον*. — Iidem paulo ante *ἀγένητος* pro *ἀγέννητος*.

2. *τοὺς λόγους*] Sic emendavit Stephanus lectionem codd. mstorum *τοῖς λόγοις*. Sed Maranus putavit scriptum fuisse, ut in Confut. c. 2. : *προσέχουσι τοῖς λόγοις*. — In *σκέψοιντο* sequentibusque verbis (*μέμψοιντο, κατανοήσωσιν, εὑρήσουσιν*)

Responsio gentilis ad Christianos.

Fieri quidem non posse perspicuum est ut temporarium (hac enim voce significatur id quod antea non fuit, postea autem fuit) aeternum sit, et ei quod semper est coaeternum. Ex hac vero etiam ratione mundum ingenitum demonstrari, id quoque cuilibet perspicuum est. Sed si quis dicere velit mundum a nonnullis veterum genitum vocari, merito reprehendantur qui id dicunt, si eorum dicta leviter considerentur: si vero accurate investigetur profundum eorum quae dixerunt, reperietur accurate et clare mundum ab iis ingenitum pronuntiari. Nam ipsi, quum dicant exemplarem et effectricem causam esse aeternam, utique etiam mundum, qui utriusque opificium est, clare aeternum pronuntiant. Demonstrarunt enim veteres ea quae vocantur relativa simul naturâ exsistere. Quoniam ergo et imago ad exemplar, et exemplar ad imaginem, et opificium ad opificem, et opifex ad opificium referuntur, haec simul naturâ exsistent: si ergo opifex ingenitus est et exemplar ingenitum, simul naturâ exsistet etiam mundus, qui exemplaris est imago et opificis opificium. Relativa autem simul naturâ subsistere clare omnibus probatum testatumque est: et inde facile cognoscitur. Nam dextrum et sinistrum relativa sunt; sicut ergo dextrum esse non potest si sinistrum non sit, neque sinistrum sine dextro, sic esse non potest opifex sine opificio aut opificium sine opifice. Quocirca si opifex ingenitus est, ingenitum etiam opificium. At si quis dicere velit prius quidem fuisse opificem, posterius autem opificium: alio etiam implicabitur absurdo; dicere enim reperietur potentiâ esse opificem neque actu (quod quidem aliud non est nisi deum imperfectum dicere), ac praeterea opificium nihilominus cum opifice subsistere, quod et potentiâ sit ut opifex, quum semper relativa simul pariter subsistant.

transitus est a numero singulari ad pluralem; antecessit enim εἴ τις ἐθέλοι λέγειν.

3. ὅ] Maran. mendose τό.

4. καὶ etc.] In Confut. c. 3. aptius exstat: καὶ τὸ παράδειγμα (scil. ἀγέννητον), ἀγέννητος καὶ ὁ κόσμος.

5. ὂν] Stephan. ὢν errore.

ἐπίσης. Εἰ μὲν οὖν ὁ δημιουργὸς δυνάμει, καὶ τὸ δημιούργημα
δυνάμει· εἰ δὲ ὁ δημιουργὸς ἐνεργείᾳ καὶ τέλειος, καὶ τὸ δημιούρ-
γημα ὁμοίως. Σαφῶς τοίνυν παντὶ δῆλον ὑπάρχει τὸ συνυφί-
στασθαι τῷ δημιουργῷ, καθὰ δημιουργός, τὸ δημιούργημα.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς γεγενημένης.

1. Ὡς δείξας ἀποκρινάμενος ἐν ταῖς ἄλλαις αὐτοῦ ἀποκρίσεσι E
τὸν κόσμον ἀγέννητον, οὕτως καὶ ἐν τῇ παρούσῃ ἀποκρίσει ἐπαγ-
γέλλεται δεῖξαι τὸν κόσμον ἀγέννητον· καίτοι ἐν ταῖς ἄλλαις αὐτοῦ
ἀποκρίσεσιν οὔτε ἐκ τῶν φανερῶν τε καὶ γνωρίμων τοῦ κόσμου
ἐδογμάτισε τὴν ἀγενεσίαν, οὔτε διὰ τῆς ἀποδείξεως ταύτην ἔθηκεν,
ἀλλὰ μόνον κατὰ τὴν οἰκείαν αὐθεντίαν τὸ δοκοῦν αὐτῷ ἀπεφή- 188
νατο. Ἐλθὼν δὲ εἰς τὴν παροῦσαν ταύτην ἀπόκρισιν, ἐν ᾗ πει-
ρᾶται δεῖξαι τὸν κόσμον ἀγέννητον, πρῶτον μέμνηται τῶν παλαι-
ῶν, γεννητὸν εἰρηκότων τὸν κόσμον· οὓς δικαίας μέμψεως ἔλεξεν
ἀξίους, γεννητὸν τὸν κόσμον εἰρηκότας, εἰ μὴ ταῖς ἑτέραις αὐτῶν
φωναῖς τὰς οἰκείας αὐτῶν φωνὰς ἀνέτρεψαν, λεγούσας τὸν κό-
σμον γεννητόν. Τοῦτο δὲ [6] οὐ δικαίας ἐστὶ μέμψεως ἀπαλλακτι-
κόν, ἀλλὰ ποιητικὸν μᾶλλον τῆς μεγάλης καὶ δικαίας μέμψεως, τὸ B
θεῖναι ἐπὶ τῆς τοῦ κόσμου γενέσεως τὴν φάσιν καὶ τὴν ἀπόφασιν,
καὶ τὸ τοῖς οἰκείοις λόγοις μάχεσθαι [7] αὐτοὺς ἑαυτοῖς. Καὶ ταῦτα
μὲν εἰρήσθω εἰς ἔλεγχον τοῦ μὴ δικαίως κεχρῆσθαι τὸν ἀποκρινά-
μενον ταῖς ἀλλήλαις μαχομέναις φωναῖς, πρὸς ἀπόδειξιν συστα-
τικὴν τοῦ τὸν κόσμον εἶναι ἀγέννητον. Ἡμεῖς δὲ ἐξετάσωμεν τὰς
τῶν παλαιῶν ἐκείνων φωνάς, ἐν αἷς δεδειγμένως τὸν κόσμον ἀγέν-
νητον ἀποφαίνουσι, καθά φησιν ὁ ἀποκρινάμενος.

2. Ὅτι δέ, φησί, καὶ ἐκ τούτου τοῦ λόγου δείκνυται ὁ κόσμος C
ἀγέννητος, καὶ τοῦτο παντί που δῆλον. Ἀλλὰ καὶ εἴ τις ἐθέλοι λέ-
γειν ὥς τινες τῶν παλαιῶν τὸν κόσμον γεννητὸν καλοῦσιν, εἰ μὲν
ἐπιπολαίως προσέχουσι τοῖς λόγοις, μέμψοιντο ἂν δικαίως τοὺς τοῦ-
το λέγοντας· εἰ δὲ τὸ βάθος κατανοήσουσιν ἀκριβῶς τῶν λεχθέν-
των, εὑρήσουσιν ἀκριβῶς καὶ σαφῶς ἀγέννητον τούτους τὸν κό-
σμον ἀποφαινομένους. Αὐτοὶ γάρ, λέγοντες τήν τε παραδειγματι-

6. οὐ δικαίας] Maran. οὐκ ἀδίκου legendum censuit, reddens: *Hoc autem non iniquae reprehensionis propulsatio est.*

Quare si opifex potentiâ est, potentiâ quoque opificium; sin opifex actu et perfectus, similiter quoque opificium. Clare igitur cuivis patet simul cum opifice, quatenus opifex est, subsistere opificium.

Confutatio responsionis non recte institutæ.

1. Quasi demonstrasset responsor in aliis suis responsionibus mundum esse ingenitum, ita etiam in praesenti responsione pollicetur demonstraturum se mundum esse ingenitum; atqui in aliis responsionibus neque ex manifestis ac cognitis rebus mundum statuit esse ingenitum, neque demonstratione id effecit, sed tantum propria sua auctoritate sententiam suam pronuntiavit. Veniens autem ad praesentem hanc responsionem, in qua conatur demonstrare mundum esse ingenitum, primum meminit veterum, qui mundum genitum contenderunt: eosque, qui illud contenderunt, justa reprehensione dignos dixisset, si non proprias suas voces, quae mundum genitum dicunt, aliis vocibus evertissent. Hoc autem justa reprehensione non liberat, sed potius magnam et justam reprehensionem efficit, scilicet de mundi generatione affirmationem et negationem ponere, ac propriis vocibus secum pugnare. Atque haec quidem dicta sint ut probetur immerito responsorem usum esse vocibus secum invicem pugnantibus, quibus mundum esse ingenitum demonstraret. Nos autem veterum illorum expendamus voces, in quibus mundum ingenitum esse clare pronuntiant, ut ait responsor.

2. „Ex hac vero etiam," inquit, „ratione mundum ingenitum demonstrari, id quoque cuilibet perspicuum est. Sed etiam si quis dicere velit mundum a nonnullis veterum genitum vocari, merito reprehendantur qui id dicunt, si eorum dicta leviter considerentur: si vero accurate investigetur profundum eorum quae dixerunt, reperietur accurate et clare mundum ab iis ingenitum pronuntiari. Nam ipsi, quum dicant

7. αὐτοὺς ἑαυτοῖς] Codd. msti habent. Potior est lectio, quam in αὐτὸν ἑαυτοῖς, editi αὐτὸν ἑαυτῷ textu posui.

κὴν καὶ ποιητικὴν αἰτίαν ἀγέννητον εἶναι, δηλονότι καὶ τὸν κόσμον, D
δημιούργημα τούτων ὄντα, σαφῶς ἀγέννητον ἀποφαίνουσιν. Εἰ
κεῖται τοῖς παλαιοῖς τὸ γεννητὸν εἶναι τὸν κόσμον, καὶ ἐπιπολαίως
μὲν νοούμενον τὸ κείμενον μένει ἀμετάβλητον, [8]βαθέως δὲ νοού-
μενον εἰς τὸ ἀντικείμενον μεταπίπτει, [9]διά τί μὴ τὴν παραδειγμα-
τικήν τε καὶ ποιητικὴν αἰτίαν, τὴν κειμένην τοῖς παλαιοῖς, ταῖς
ὁμοίαις προσοχαῖς τοῦ ἐπιπολαίως τῷ βαθέως χρησαμένου εἰς ἀν-
τικείμενον μεταβαλλομέναις χρησάμενος ὁ ἀποκρινάμενος τὸν γεννη- E
τὸν κόσμον, τὸν κείμενον τοῖς παλαιοῖς, εἰς τὸν ἀγέννητον μετέβαλεν,
ἵνα τοὺς τοῦτο εἰρηκότας δικαίας μέμψεως ἀπαλλάξῃ; Εἰ δὲ τοῦτο
ποιεῖν ἄτοπον, χρὴ ταῖς τῶν πραγμάτων φύσεσι νοῆσαι τῶν παλαι-
ῶν τοὺς λόγους, καὶ μὴ ταῖς διαφόροις προσοχαῖς μεταβαλλούσαις
τὰ κείμενα εἰς τὰ ἀντικείμενα. Εἰ ἄλλο τὸ παράδειγμα καὶ ἄλλο τὸ 189
κατὰ τὸ παράδειγμα (ἁπλοῦν γὰρ τὸ παράδειγμα, σύνθετον δὲ τὸ κατὰ
τὸ παράδειγμα), τὸ δὲ οὕτως ἄλλο καὶ ἄλλο ἐξ ἀνάγκης ἄλλοτε καὶ
ἄλλοτε, τὸ δὲ ἄλλοτε καὶ ἄλλοτε, πρότερον καὶ ὕστερον, οὐ δύνα-
ται ἅμα εἶναι τῇ φύσει, οὐκ ἄρα ἅμα τῇ φύσει τὸ παράδειγμα καὶ
τὸ κατὰ τὸ παράδειγμα. Ὁ ἀποκρινάμενος ποτὲ μὲν κοινὸν δημιούρ-
γημα λέγει τὸν κόσμον τῆς τε παραδειγματικῆς αἰτίας καὶ τῆς ποιη- B
τικῆς, καί φησι· Δηλονότι καὶ τὸν κόσμον, δημιούργημα τούτων
ὄντα· ποτὲ δὲ τῆς μὲν ποιητικῆς δημιούργημα, τῆς δὲ παραδειγμα-
τικῆς εἰκόνα. Καὶ δῆλον ἐκ τούτου, ὅτι οὔτε τῷ δημιουργῷ πρός
τί ἐστι καθὸ εἰκὼν ὁ κόσμος, οὔτε τῷ παραδείγματι καθὸ δημιούργη-
μα. Ἀλλ' εἰ τοῦτο, οὐκ ἄρα ἀληθὲς τὸ τούτων εἶναι δημιούργημα
τὸν κόσμον. Εἰ τῷ παραδείγματι δημιουργεῖ [10]ὁ δημιουργὸς τὸν
κόσμον, βουλόμενος αὐτὸν δημιουργεῖ· ἀλλ' εἰ [11]τῷ εἶναι αὐτὸν
δημιουργεῖ, περιττὸν τὸ παράδειγμα, τοῦ εἶναι τὸν θεὸν ἀρκοῦν- C
τος πρὸς ποίησιν τοῦ ποιουμένου, καὶ [12]παράγει τὸ βούλημα· οὐ
γὰρ γίνεται βουλητὰ ἃ καὶ μὴ βουλομένου τοῦ ποιοῦντος ἐγίνετο.
Τοιοῦτον γὰρ τὸ ἔργον τῶν τῷ εἶναι ποιούντων. Ὁ θεὸς μὲν αὐ-
τός ἐστιν ἀγέννητος, τὸ δὲ παράδειγμα ἐγέννησεν ἐκ τῆς ἑαυτοῦ

8. *βαθέως*] Codd. msti et Stephanus *εὐθέως*. Sed illud rescribendum esse patescit tum ex verbis quae sequuntur, tum ex Responsione, ubi pariter opponuntur *ἐπιπολαίως* et *τὸ βάθος κατανοεῖν*.

9. *διά τί* etc.] Locus Marano videtur fortasse ita sanandus: *διὰ τί μὴ κατὰ τὴν παραδειγματικὴν ... ἐπιπολαίως ἢ* (pro *τῷ*) *βαθέως*

exemplarem et effectricem causam esse aeternam, utique etiam mundum, qui utriusque opificium est, clare aeternum pronuntiant." Si veteres posuerunt mundum esse genitum, idque leviter consideratum manet immutabile, penitus autem vestigatum vertitur in contrarium: cur non in exemplari et effectrice causa, quam veteres posuerunt, responsor, simili levis et accuratae considerationis mutatione usus, mundum ingenitum, quem veteres posuerunt, in genitum mutavit, ut eos qui id dixerunt justa reprehensione liberaret? Quodsi id absurdum factu est, ex rerum naturis consideranda sunt veterum dicta, non ex diversis considerationibus ea quae statuta sunt in contrarium vertentibus. Si aliud est exemplar et aliud id quod ad exemplar factum est (simplex enim exemplar, compositum vero id quod ad exemplar), quod autem ita aliud atque aliud est necessario alias atque alias est, quod autem alias atque alias est, utpote prius et posterius, simul naturâ esse non potest: non sane simul naturâ exemplar et id quod ad exemplar. Responsor nunc mundum commune opificium dicit et exemplaris et effectricis causae, et ait: „Utique etiam mundum, qui utriusque opificium est:" nunc effectricis quidem opificium, exemplaris autem imaginem. Atque inde constat, neque ad opificem mundum referri quatenus imago est, neque ad exemplar quatenus opificium. Sed si ita est, non sane verum est eorum opificium esse mundum. Si exemplari opifex mundum condit, volens eum condit; sed si quia est eum condit, supervacaneum exemplar, quum satis sit deum esse ut fiat id quod fit, nec quidquam loci est voluntati: non enim voluntaria sunt quae etiamsi non vellet is qui facit tamen fierent. Tale est eorum opus qui faciunt quia sunt. Deus quidem ipse ingenitus est, exemplar autem genuit ex sua ipsius

νοησαμένου ... τὸν ἀγέννητον κόσμον ... εἰς τὸν γεννητὸν μετέβαλεν.

10. ὅ] Maranus omisit. Apud Morellum deest etiam δημιουργεῖ.

11. τῷ εἶναι] Stephan. (ex Reg.) τὸ εἶναι. Itidem paulo post τῶν τὸ (pro τῷ) εἶναι ποιούντων.

12. παράγει] H. e. *interit*, *supervacuum est* (= παρέλκει).

*διανοίας, τὸν δὲ κόσμον ἐδημιούργησεν ἐκ τῆς ὕλης κατὰ τὸ πα-
ράδειγμα. Ἀλλ' εἰ κατὰ τὸν ἀποκρινάμενον, ἐπειδὴ δημιούργημα
τοῦ ἀγεννήτου δημιουργοῦ ἐστιν ὁ κόσμος, διὰ τοῦτο καὶ αὐτὸς
ἀγέννητός ἐστιν, ἔσται ἄρα καὶ τὸ παράδειγμα ἀγέννητον, ἐπεὶ
γέννημα τοῦ ἀγεννήτου ἐστίν. Εἰ δὲ ἄτοπον τὸ λέγειν ἀγέννητον* D
*τὸ γέννημα, ἄτοπον ἄρα καὶ τὸ λέγειν ἀγέννητον τὸ γεννητόν. Εἰ
διὰ τὸ εἶναι τὸν δημιουργὸν ἀγέννητον ἀνάγκη καὶ τὸ δημιούργη-
μα εἶναι ἀγέννητον, δῆλον ὅτι τούτῳ τῷ τρόπῳ ἀνάγκη εἶναι καὶ
ἀδημιούργητον τὸ δημιούργημα· ἀδημιούργητος γὰρ ὁ δημιουργός.
Εἰ δὲ τοῦτο ἄτοπον, ἄτοπον ἄρα καὶ τὸ λέγειν τὸν κόσμον ἀγέν-
νητον. Τὸ δημιουργητὸν* [13] *τοῦ γεννητοῦ λέξει μόνῃ διαφέρει,* E
*πράγματι δὲ οὐ διαφέρει· διὸ καθόλου ἀντιστρέφει ἀλλήλοις διὰ τὸ
εἶναι αὐτὰ ἐπίσης· εἴ τι γὰρ γεννητόν, τοῦτο ἐξ ἀνάγκης καὶ δη-
μιουργητόν, καὶ εἴ τι δημιουργητόν, τοῦτο ἐξ ἀνάγκης καὶ γεννη-
τόν. Ἀλλ' ἐπειδὴ ἀδυνατόν ἐστι τὸν κόσμον εἶναι ἀγέννητον καὶ
γεννητόν (ἐπὶ παντὸς γὰρ ἢ τὴν φάσιν ἀληθῆ* [14] *εἶναι δεῖ ἢ τὴν* 190
*ἀπόφασιν), πῶς ἄρα τὸν κόσμον δυνατὸν εἶναι δημιουργητὸν καὶ
ἀγέννητον; Τὸ δὶς εἶναι τὸ αὐτὸ ἐν ἄλλῳ ἐξ ἀνάγκης ἄλλοτε καὶ
ἄλλοτε· οἷον τὸ παράδειγμά ἐστιν ἐν τῷ θεῷ καὶ ἐν τῇ ὕλῃ, καὶ
ἐν τῷ θεῷ μὲν ἀποίητον, ποιητὸν δὲ ἐν τῇ ὕλῃ, καὶ ἐν τῷ θεῷ
μὲν οὐ κόσμος ἀλλὰ τοῦ κόσμου παράδειγμα, ἐν τῇ ὕλῃ δὲ κόσμος.
Ἀλλ' εἰ μὲν ἄλλοτε καὶ ἄλλοτε, καὶ ἄλλως καὶ ἄλλως, ἐξ ἀνάγκης
καὶ πρότερον καὶ ὕστερον. Εἰ δὲ πρότερον καὶ ὕστερον, δῆλον* B
ὅτι οὐ συναΐδιον.

3. *Τοῖς παλαιοῖς ἀποδέδεικται τὰ καλούμενα πρός τι ἅμα τῇ φύσει ὑπάρχειν. Ἐπεὶ οὖν ἥ τε εἰκὼν πρὸς τὸ παράδειγμα, καὶ τὸ παράδειγμα πρὸς τὴν εἰκόνα, καὶ τὸ δημιούργημα πρὸς τὸν δημιουργόν, καὶ ὁ δημιουργὸς* [15] *πρὸς τὸ δημιούργημα, ἅμα τῇ φύσει τὰ τοιαῦτα ὑπάρξει· εἰ τοίνυν ἀγέννητος ὁ δημιουργὸς καὶ τὸ πα-*

13. *τοῦ γεννητοῦ*] Codd. msti et editi *τοῦ δημιουργοῦ ἤγουν τοῦ γεννητοῦ*. Sed ille genitivus ad rem non quadrat; prodiit, una cum particula, ex fabrica librariorum. Sylburgius pro *δημιουργοῦ* reponi voluit *ποιητοῦ* (sic Quaest. III. *Conf.* c. 5. p. 185. E. *αὐτογένητον* et *αὐτοποίητον* copulantur), Maranus *δημιουργήματος*.

14. *εἶναι δεῖ*] Haec male desunt in codd. mstis et editis. Cf.

mente, mundum autem ex materia secundum exemplar condidit. Sed si, ut placet responsori, quandoquidem opus est ingeniti opificis mundus, idcirco et ipse ingenitus est: erit profecto etiam exemplar ingenitum, quia foetus est ingeniti. Sin absurdum est foetum ingenitum dicere: erit absurdum profecto etiam ingenitum dicere id quod genitum est. Si, quia opifex ingenitus est, necesse est etiam opus esse ingenitum, liquet hac ratione necesse esse ut etiam opus infectum sit; nam infectus opifex. Sin id absurdum est: erit absurdum profecto etiam mundum dicere ingenitum. Factum a genito differt sola voce, re non differt: quapropter inter se invicem convertuntur, quia paria sunt; nam si quid genitum est, id necessario quoque factum est, et si quid factum, id necessario quoque genitum. Sed quia fieri non potest ut mundus ingenitus sit et genitus (in omni enim re oportet aut affirmationem veram esse aut negationem): quomodo mundus potest esse factus et ingenitus? Id quod bis idem in alio est necessario alias atque alias est: velut exemplar est in deo et in materia, et in deo quidem infectum, factum autem in materia, et in deo non mundus est sed exemplar mundi, in materia autem mundus. Sed si alias atque alias est, et aliter atque aliter, necessario etiam prius et posterius. Sin prius et posterius, liquet non esse coaeternum.

3. „Demonstrarunt veteres ea quae vocantur relativa simul naturâ exsistere. Quoniam ergo et imago ad exemplar, et exemplar ad imaginem, et opificium ad opificem, et opifex ad opificium referuntur, haec simul naturâ exsistent: si ergo opifex ingenitus est et exemplar ingenitum, ingenitus est

Quaest. II. *Conf.* c. 8.: ἐπὶ παντὸς χρὴ ἢ τὴν φάσιν ἢ τὴν ἀπόφασιν εἶναι ἀληθῆ. Quaestt. Gentt. ad Christ. *Quaest.* I.: ἐπὶ παντὸς γὰρ ἀληθῆ τὴν κατάφασιν εἶναι δεῖ ἢ τὴν ἀπόφασιν. — Mox (post parenthesin) in codicibus πῶς desideratur.

15. πρὸς τὸ δημιούργημα] Codd. msti et editi πρὸς τὴν εἰκόνα δημιούργημα. Sed verba τὴν εἰκόνα in Responsione non exstant, „nec aliunde orta sunt quam ex incuria librariorum“ (Maran.).

ῥάδειγμα, ἀγέννητος καὶ ὁ κόσμος, τοῦ μὲν παραδείγματος εἰκὼν ὤν,
τοῦ δὲ δημιουργοῦ δημιούργημα. Οἷς παλαιοῖς ἀποδέδεικται τὰ πρός C
τι ἅμα τῇ φύσει, αὐτοῖς ἀποδέδοται τῆς εἰκόνος ὁ λόγος. Εἰκών,
φησίν, ἔστιν ἧς ἡ γένεσις διὰ μιμήσεως. Ἀλλ' εἰ κατὰ τὸν ἀποκρι-
νάμενον ἀγέννητός ἐστιν ὁ κόσμος, δῆλον ὅτι ἀπώλεσεν ὁ κόσμος
τῆς εἰκόνος τὸ ὄνομα, [16] καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα· ἐν ἀγενεσίᾳ
γὰρ ἀδύνατον τῷ κόσμῳ σώζειν τῆς εἰκόνος τὸν λόγον. Ὁ λέγων
τὸ δημιούργημα ἀγέννητον, ἐπειδὴ ὁ δημιουργὸς αὐτοῦ ἀγέννητός
ἐστιν, ὀφείλει καὶ ἀδημιούργητον λέγειν τὸ δημιούργημα, ἐπειδὴ D
ὁ δημιουργὸς αὐτοῦ ἀδημιούργητός ἐστιν· ἀντακολουθοῦσι γὰρ ἀλ-
λήλοις ἐξ ἀνάγκης, τῷ μὲν ἀγεννήτῳ τὸ ἀδημιούργητον καὶ τῷ ἀδη-
μιουργήτῳ τὸ ἀγέννητον. [17] Εἰ δὲ τοῦτο ἄτοπον, ἄτοπον ἄρα
καὶ τὸ λέγειν δημιούργημα ἀγέννητον. Εἰ ἅμα τῇ φύσει τὰ πρός
τι, καὶ διὰ τοῦτο ἀνάγκη συναγέννητον εἶναι τῷ δημιουργῷ τὸ δη-
μιούργημα, καθὰ τῷ ἀποκριναμένῳ δοκεῖ, ἀνάγκη ἄρα τὸν αὐτὸν E
τρόπον συναγέννητον λέγειν [18] τὸ γεννητὸν τῷ ἀγεννήτῳ. Πρός τι
γὰρ καὶ ταῦτά ἐστι· πρὸς γὰρ τὸ γεννητὸν τὸ ἀγέννητον, καὶ πρὸς
τὸ ἀγέννητον τὸ γεννητόν. Εἰ δὲ τοῦ γεννητοῦ μὲν οὐκ ὄντος δυ-
νάμει ἔστι τὸ ἀγέννητον ἀγέννητον, ὄντος δὲ τοῦ γεννητοῦ ἐνεργείᾳ
ἔστιν ἀγέννητον τὸ ἀγέννητον, ἀνάγκη ἄρα καὶ ἐπὶ τοῦ δημιουρ-
γοῦ καὶ τοῦ δημιουργήματος καὶ τοῦ παραδείγματος καὶ τῆς εἰκό- 191
νος τοῦτο ὡσαύτως νοεῖν· καὶ οὐδὲν ἄτοπον συμβαίνει· ἣν γὰρ
ἔχει φύσιν τὸ πρός τι κατὰ τὸν δημιουργὸν καὶ τὸ δημιούργημα,
τὴν αὐτὴν ἔχει καὶ κατὰ τὸ γεννητὸν καὶ ἀγέννητον. Καὶ τὸ πρῶ-
τον καὶ ὕστερον τῶν πρός τί ἐστιν· πρὸς γὰρ τὸ πρῶτον τὸ ὕστε-
ρον καὶ πρὸς τὸ ὕστερον τὸ πρῶτον, καὶ ἅμα εἰσὶ τῇ φύσει δυνά-
μει ἢ τῇ φύσει ἐνεργείᾳ. Ἀλλ' εἰ κατὰ τὸν ἀποκρινάμενον τὸ δη-
μιούργημα συναγέννητόν ἐστι τῷ ἀγεννήτῳ δημιουργῷ, ἐπειδὴ πρός B
τί ἐστι καὶ ἅμα τῇ φύσει, ἔσται ἄρα τούτῳ τῷ τρόπῳ καὶ τὸ γεν-
νητὸν συναγέννητον τῷ ἀγεννήτῳ θεῷ. Πρῶτος μὲν γὰρ ὁ θεός,
ὕστερον δὲ τὸ γεννητόν· καὶ ἔστιν ὡς πρός τι ἅμα τῇ φύσει τὸ

16. καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα] Langus interpres legit καὶ τί ὄνομα; scil. λέγω. Sylburgius censet praecedens commation τὸ ὄνομα expungendum esse; „quamquam etiam eo retento et assumta conditionali εἰ legi potest: καὶ εἰ τὸ ὄνομα, καὶ τὸ πρᾶγμα = *et si no-*

etiam mundus, qui exemplaris est imago et opificis opificium." Veteres, qui demonstrarunt relativa simul naturâ esse, iidem rationem imaginis reddiderunt. Imago, inquit, ea est cujus generatio per imitationem fit. Sed si, ut placet responsori, ingenitus est mundus, patet mundum amisisse imaginis nomen, immo rem ipsam cum nomine; in ingeniti enim notione non potest mundus servare imaginis rationem. Qui opus dicit ingenitum, quia opifex ejus ingenitus est, debet etiam infectum opus dicere, quia opifex ejus infectus est: sunt enim haec sibi invicem necessario consequentia, ingenito infectum et infecto ingenitum. Sin id absurdum est, erit absurdum profecto etiam opus ingenitum dicere. Si simul naturâ sunt relativa, et idcirco necesse est coingenitum esse opifici opus, ut responsori videtur: necesse est profecto eadem ratione coingenitum dicere ingenito id quod genitum est. Nam haec etiam relativa sunt; ad genitum enim refertur ingenitum, et genitum ad ingenitum. Quodsi genito non exsistente ingenitum potentiâ ingenitum est, et genito exsistente ingenitum actu ingenitum est: necesse est profecto et de opifice et opere et de exemplari et imagine idem pariter dicere: neque in ea re quidquam absurdi est; quam enim habet naturam relativum in opifice et opere, eamdem etiam in genito et ingenito habet. Sunt etiam relativa prius et posterius; nam posterius ad prius et prius ad posterius refertur, simulque naturâ exsistunt vel potestate vel actu. Sed si, ut placet responsori, opus coingenitum est ingenito opifici, siquidem relativa sunt simulque naturâ exsistunt: erit profecto hac ratione etiam genitum coingenitum ingenito deo. Prior enim est deus, posterius autem id quod genitum est: atque, ut relativa, simul naturâ sunt prius et posterius.

men amisit, amisit etiam rem."

17. *Εἰ δὲ τοῦτο ἄτοπον*] Videlicet dicere infectum esse opus.

18. *τὸ γεννητὸν*] Msti et editi *τὸ ἀγέννητον*. Inepte. Nam infra: ...*ἔσται ἄρα τούτῳ τῷ τρόπῳ καὶ τὸ γεννητὸν συναγέννητον τῷ ἀγεννήτῳ θεῷ.*

πρότερον καὶ ὕστερον. Εἰ δέ, χωρὶς τοῦ ποτὲ μὲν δυνάμει, ποτὲ δὲ ἐνεργείᾳ, ἀδύνατόν ἐστι τὸ πρῶτον καὶ ὕστερον εἶναι ἅμα τῇ φύσει, οὐδ' ἄρα τὸ δημιούργημα συναΐδιόν ἐστι τῷ δημιουργῷ οὔτε ἡ εἰκὼν τῷ παραδείγματι.

4. Ὅτι δὲ τὰ πρός τι ἅμα τῇ φύσει ὑπάρχει, σαφῶς πᾶσιν C
ἀποδέδεικται καὶ ὡμολόγηται, καὶ αὐτόθεν ῥᾴδιον γινώσκειν. Τὸ
γὰρ δεξιὸν καὶ τὸ ἀριστερὸν τῶν πρός τι· ὥσπερ οὖν οὐκ ἐνδέ-
χεται τὸ δεξιὸν εἶναι μὴ ὄντος τοῦ ἀριστεροῦ, μηδὲ τὸ ἀριστερὸν
ἐκτὸς τοῦ δεξιοῦ, οὕτως οὐκ ἐνδέχεται τὸν δημιουργὸν εἶναι ἄνευ
τοῦ δημιουργήματος ἢ τὸ δημιούργημα ἄνευ τοῦ δημιουργοῦ. Εἰ
οὖν ἀγέννητος ὁ δημιουργός, ἀγέννητον καὶ τὸ δημιούργημα. Εἰ
μὲν γάρ, ὥσπερ κατὰ τὴν αὐτὴν οὐσίαν ὑπῆρχε τὸ δεξιὸν καὶ τὸ D
ἀριστερὸν ἐν τῷ ὅλῳ μέρει πρὸς ἄλληλα, οὕτως ὑπῆρχε καὶ ὁ δη-
μιουργὸς καὶ τὸ δημιούργημα κατὰ τὴν αὐτὴν οὐσίαν ἐν τῷ ὅλῳ
μέρει πρὸς ἄλληλα, εἶχεν ἂν χώραν τὸ ὑπόδειγμα, ᾧ χρησάμενος ὁ
ἀποκρινάμενος ἐπειρᾶτο δεῖξαι συναγέννητον τῷ δημιουργῷ τὸ δη-
μιούργημα· εἰ δὲ τὸ μὲν δεξιὸν καὶ τὸ ἀριστερὸν κατὰ τὴν αὐτὴν
οὐσίαν ἐστὶν ἐν τῷ ὅλῳ μέρει πρὸς ἄλληλα, ὁ δὲ δημιουργὸς καὶ
τὸ δημιούργημα οὐκ ἔστι τοιοῦτον, δῆλον ὅτι ἀνοικείῳ ὑποδείγ- E
ματι ἐχρήσατο ὁ ἀποκρινάμενος, πρὸς τὴν φύσιν τοῦ πράγματος
μηδεμίαν ἀναλογίαν ἔχοντι [19]πρὸς τὸ ὑποδεικνύμενον. Τῶν πρός
τι τὰ μὲν ἀλλήλων λέγονται ὅπερ λέγονται, οἷον ὁ πατὴρ τοῦ υἱοῦ
λέγεται πατὴρ καὶ ὁ υἱὸς τοῦ πατρὸς λέγεται υἱός, τὰ δὲ οὐ λέ-
γονται ἀλλήλων ὅπερ λέγονται, ὡς τὸ εὐθὺ καὶ τὸ περιφερές,
ὧν ἐστι κοινὸν τὸ ποτὲ μὲν δυνάμει λέγεσθαι θάτερον ὅπερ 192
λέγονται, ποτὲ δὲ ἐνεργείᾳ, τὰ δὲ ἀμφότερα ἀεὶ ἢ δυνάμει ἐστὶν
ἢ ἐνεργείᾳ, ὡς τὸ κοῖλον καὶ τὸ κυρτόν, τὰ δὲ ἀεὶ ἐνεργείᾳ, ὡς
τὸ ἄνω καὶ κάτω. Τούτων οὐσῶν τῶν πρός τι τῶν διαιρέσεων,
ὅταν βουλώμεθά τινος ζητουμένου λῦσαι τὸ ἄπορον διὰ τοῦ πρός
τι, χρὴ πρῶτον καταμαθεῖν ποίας διαιρέσεως τῶν πρός τί ἐστι
τὸ ζητούμενον, εἶθ' οὕτως κατὰ τὴν φύσιν τῆς διαιρέσεως κα- B
τασκευάζειν [20]τὴν ἀναλογίαν, ἣν ἔχει τὸ ὑπόδειγμα πρὸς τὸ

19. πρὸς τὸ ὑποδεικνύμενον] Haec superfluunt et e margine in contextum videntur irrepsisse, nisi addamus, ut infra: λυτικὴν ἀπο-

Quodsi non possunt (praeterquam aliquando potentiâ, aliquando actu) simul naturâ esse prius et posterius: nec profecto opus coaeternum est opifici neque imago exemplari.

4. „Relativa autem simul naturâ subsistere clare omnibus probatum testatumque est: et inde facile cognoscitur. Nam dextrum et sinistrum relativa sunt; sicut ergo dextrum esse non potest si sinistrum non sit, neque sinistrum sine dextro, sic esse non potest opifex sine opificio aut opificium sine opifice. Quocirca si opifex ingenitus est, ingenitum etiam opificium." Si quidem, quemadmodum secundum eamdem substantiam dextrum et sinistrum in tota parte ad se invicem sunt, ita etiam opifex et opificium secundum eamdem substantiam in tota parte ad se invicem essent: locum haberet exemplum, quo utens responsor conatus est demonstrare coingenitum esse opifici opificium; sed si dextrum et sinistrum secundum eamdem substantiam in tota parte ad se invicem sunt, opifex autem et opificium non sic sunt: liquet responsorem usum esse exemplo non ad naturam rei apposito, quippe quum nullam habeat cum re demonstranda proportionem. Relativorum alia id quod dicuntur alterum alterius dicuntur, velut pater dicitur filii pater et filius dicitur patris filius, alia vero id quod dicuntur alterum alterius non dicuntur, ut rectum et rotundum, quorum commune est ut interdum potentiâ alterum dicatur id quod dicitur, interdum actu, alia autem utraque semper sunt potentiâ vel actu, ut concavum et convexum, alia semper actu, ut supra et infra. Quum constent hae relativorum divisiones, si velimus alicujus quaestionis difficultatem solvere per relativum, considerandum primum est ad quam divisionem relativorum pertineat id quod quaeritur, deinde pro natura divisionis adstruenda est proportio, quam habet exemplum cum re demon-

ρίας τοῦ ζητουμένου πρὸς τὸ ὑποδεικνύμενον. Maranus.

20. *τὴν ἀναλογίαν*] Codd. insti et Stephanus *τὴν ἀπολογίαν.*

ὑποδεικνύμενον· εἰ δὲ μή γε, εὑρεθήσεται τὸ ὑπόδειγμα ἀνοί-
κειον καὶ τὸ ἄπορον ἄλυτον. Εἰ ὁ δημιουργὸς καὶ τὸ δημιούρ-
γημα τῶν πρός τί ἐστι τῶν ἀλλήλων λεγομένων ὅπερ λέγονται
(δημιουργοῦ γὰρ τὸ δημιούργημα καὶ τοῦ δημιουργήματος ὁ δη-
μιουργός), ὁ δὲ ἀποκρινάμενος, βουλόμενος ὑποδείγματι δεῖξαι συν-
αγέννητον τῷ ἀγεννήτῳ τὸ γεννητόν, ἔλαβεν εἰς τὴν τούτου δεῖξιν C
τὸ πρός τι τῶν ἀλλήλων μὴ λεγομένων (τὸ γὰρ δεξιὸν οὐ λέγεται
τοῦ ἀριστεροῦ οὔτε τὸ ἀριστερὸν τοῦ δεξιοῦ), δῆλός ἐστιν ὅτι
ἀνοικείῳ ὑποδείγματι ἐχρήσατο κατὰ τὴν φύσιν τοῦ δεικνυμένου
ἀναλογίαν οὐκ ἔχοντι λυτικὴν ἀπορίας τοῦ ζητουμένου πρὸς τὸ
ὑποδεικνύμενον.

5. Εἰ δέ τις θέλει λέγειν ὅτι πρότερον μὲν ἦν ὁ δημιουρ-
γός, ὕστερον δὲ γέγονε τὸ δημιούργημα, καὶ ἄλλῳ περιπεσεῖται
ἀτόπῳ· εὑρεθήσεται γὰρ δυνάμει εἶναι λέγων τὸν δημιουργὸν καὶ D
οὐκ ἐνεργείᾳ (ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸν θεὸν ἀτελῆ λέγειν), καὶ
πρὸς τούτοις οὐδὲν ἧττον [21] συνυφίστασθαι δημιουργῷ τὸ δημιούρ-
γημα, δυνάμει ὂν καὶ αὐτὸ [22] ὥσπερ ὁ δημιουργός, ἁπανταχοῦ
τῶν πρός τι ὑφισταμένων ἐπίσης. Εἰ μὲν οὖν ὁ δημιουργὸς δυ-
νάμει, καὶ τὸ δημιούργημα δυνάμει· εἰ δὲ ὁ δημιουργὸς ἐνεργείᾳ
καὶ τέλειος, καὶ τὸ δημιούργημα ὁμοίως. Σαφῶς τοίνυν παντὶ δῆ- E
λον ὑπάρχει τὸ συνυφίστασθαι τῷ δημιουργῷ, καθὸ δημιουργός,
τὸ δημιούργημα. Εἰ, ὥσπερ πρὸς τὸ δημιούργημα τὴν κατὰ τὸ
πρός τι σχέσιν ἔχει ὁ θεὸς ὡς δημιουργός, οὕτως ἔχει τὴν αὐτὴν
κατὰ τὸ πρός τι σχέσιν καὶ πρὸς τὸ γεννητὸν ὡς ἀγέννητος, καὶ
πρὸς τὰ ὕστερα ὡς πρῶτος, καὶ οὐδὲν ἀτελὲς ἔχει οὔτε ἐν τῇ ἀγε- 193
νεσίᾳ αὐτοῦ οὔτε ἐν τῇ πρωτείᾳ αὐτοῦ (οὐδενὶ γὰρ λόγῳ δυνατὸν
εἰπεῖν τὸν θεὸν ἀγέννητον ἀτελῆ ἢ πρῶτον ἀτελῆ, διὰ τὸ εἶναι
αὐτόν ποτε δυνάμει ἀμφότερα, ἀγέννητόν τε καὶ πρῶτον), οὕτως
οὐκ ἐνδέχεται ἀτελῆ εἶναι τὸν θεόν, πρότερον ὄντα δυνάμει δη-
μιουργόν. Εἰ δέ, διὰ τὸ εἶναι αὐτὸν πρῶτον μὲν δυνάμει δημιουρ-
γόν, ὕστερον δὲ ἐνεργείᾳ, διαβάλλεται εἰς ἀτέλειαν, ἀνάγκη ἄρα
καί, διὰ τὸ εἶναι αὐτὸν πρῶτον μὲν δυνάμει ἀγέννητόν τε καὶ πρῶ-
τον, ὕστερον δὲ ἐνεργείᾳ, διαβληθῆναι αὐτὸν εἰς ἀτέλειαν. Εἰ B
δὲ ἄτοπον τὸ διαβάλλειν τὸν θεὸν ἐπὶ τῇ ἀτελείᾳ τῆς ἀγενεσίας

21. *συνυφίστασθαι*] Codd. msti et editi *συνυφίσταται*. Mox ante

stranda; sin minus, reperiretur exemplum non aptum et difficultas non soluta. Si opifex et opificium ex iis relativis sunt quae alterum alterius dicuntur id quod dicuntur (est enim opificis opificium et opificii opifex), responsor autem, dum exemplo demonstrare vult coingenitum esse ingenito genitum, assumsit ad hujus rei demonstrationem relativum ex iis quae alterum alterius non dicuntur (dextrum enim non dicitur sinistri neque sinistrum dextri): liquet eum usum esse exemplo ad naturam rei demonstrandae non apposito, quippe quum proportionem cum re demonstranda non habeat quae difficultatem solvat.

5. „At si quis dicere velit prius quidem fuisse opificem, posterius autem opificium, is alio etiam implicabitur absurdo; dicere enim reperietur potentiâ esse opificem neque actu (quod quidem aliud non est nisi deum imperfectum dicere), ac praeterea opificium nihilominus cum opifice subsistere, quod et ipsum potentiâ sit ut opifex, quum semper relativa simul pariter subsistant. Quare si opifex potentiâ est, potentiâ quoque opificium; sin opifex actu et perfectus, similiter quoque opificium. Clare igitur cuivis patet simul cum opifice, quatenus opifex est, subsistere opificium.“ Si, quam habet relationem deus ad opificium ut opifex, eamdem habet et ad genitum ut ingenitus, et ad posteriora ut primus, nec tamen imperfectum quidquam habet aut ingeniti aut primi ratione (nullo enim modo dici potest deus ingenitus imperfectus aut primus imperfectus, quia utrumque nonnunquam est potestate, ingenitus nimirum et primus): ita neque imperfectus deus esse potest, quia prius potestate opifex fuit. Quodsi, quia prius est potestate opifex, posterius autem actu, desideratur ejus perfectio; profecto necesse quoque est, quia prius est potestate ingenitus ac primus, posterius autem actu, perfectionem ejus desiderari. Sin absurdum est deum vituperare quasi imperfecte ingenitus sit et primus: absurdum profecto est

δημιουργῷ Morell. et Maran. articulum τῷ omiserunt citra codicum auctoritatem.

22. ὥσπερ] Codd. msti ὅπερ.

τε καὶ πρωτείας, ἄτοπον ἄρα καὶ τὸ διαβάλλειν αὐτὸν ἐπὶ τῇ ἀτελείᾳ τῆς δημιουργικῆς αὐτοῦ δυνάμεως, διὰ τὸ μὴ ἅμα τῷ εἶναι αὐτὸν πεποιηκέναι τὸν κόσμον, ἀλλὰ ὕστερον ὅτε ἐβούλετο· οὐκ ἐνδέχεται γὰρ τὸν κατά τινα τοῦ πρός τι σχέσιν ἀτελῆ ὄντα μὴ κατὰ τὰς λοιπὰς πάσας τοῦ πρός τι σχέσεις ὁμοίως εἶναι ἀτελῆ. C

Ἐρώτησις χριστιανικὴ πρὸς τοὺς Ἕλληνας ε'.

Εἰ ἀγέννητος ὁ οὐρανὸς καὶ ἀγέννητος ὁ θεός, καὶ οἰκεῖ ἐν τῷ οὐρανῷ ὁ θεός, πῶς κατοικῶν ἐν τοῖς οὐκ αὐτοῦ ὁ θεὸς οὐχ ὑβρίζεται; Ὃν γὰρ οὐκ ἐποίησεν οὐρανόν, οὗτος οὐκ ἔστιν αὐτοῦ.

Ἀπόκρισις ἑλληνικὴ πρὸς τοὺς Χριστιανούς.

Ὅτι μὲν ἀγέννητος ὁ θεὸς καὶ ἀγέννητος ὁ οὐρανός, δῆλον D ἔκ τε τῶν ἐπιπολαίως τανῦν εἰρημένων καὶ ἐκ τῶν παρὰ πολλῶν γενναίως ἀποδεδειγμένων. Ὅτι δὲ τὸν θεὸν φάναι κατοικεῖν ἐν τῷ οὐρανῷ οὐκ ἔστιν εὔλογον, σκοπήσωμεν τῇδε. Πρῶτον μὲν γὰρ τὸ οἰκούμενον τοῦ οἰκοῦντος πρὸς σωτηρίαν γέγονεν· ὥστε, εἰ ὁ μὲν κόσμος οἰκητήριον, ὁ δὲ θεὸς οἰκῶν, δῆλον E ὅτι ὁ μὲν κόσμος σώζει τὸν θεόν, ὁ δὲ θεὸς σώζεται ὑπὸ τοῦ κόσμου, ὅπερ ἐστὶ πάντων ἀτοπώτατον. Ἄλλως τε τὸ κρεῖττον τοῦ καταδεεστέρου ἐστὶ περιεκτικόν, τὸ δὲ καταδεέστερον ὑπὸ τοῦ κρείττονος περιέχεται. Ἀλλὰ μὴν τὸ οἰκοῦν ὑπὸ τῆς οἰκήσεως περιέχεται, καὶ τὸν θεὸν ἄρα περιέξει τὸ οἰκητήριον· καὶ ἔσται 194 ἐκ τούτου τοῦ λόγου ὁ μὲν θεὸς ἐν τῇ χείρονι τάξει, τὸ δὲ δημιούργημα ἐν τῇ κρείττονι. Ἄλλως τε καὶ τὸ περιεχόμενον ἐν τόπῳ ἐστί, πᾶν δὲ ἐν τόπῳ ὂν σῶμά ἐστι· καὶ ὁ θεὸς ἄρα, εἰ ἐν τόπῳ ἐστί, σῶμα ἔσται. Πῶς οὖν συνέξει σῶμα ὂν ἔλαττον, καθὸ περιέχεται, τὸ μεῖζον σῶμα; Ἄτοπον λέγειν. Ὅτι δὲ τὸ οἰκοῦν ἐν τόπῳ περιεχόμενόν ἐστι τῇ οἰκίᾳ, παντί που δῆλον καὶ τῷ αὐτόθεν τυφλώττοντι. Τί οὖν; φαίης ἄν. Πῶς Ὅμη- B ρος λέγει τοῦ δημιουργοῦ οἴκημα τὸν οὐρανόν; [1]Ὅτι, πανταχοῦ μὲν τὴν ἔλλαμψιν τοῦ θεοῦ θεασάμενος περὶ τὸν κόσμον, οἴκησιν τὸν κόσμον ἐκάλεσε τοῦ θεοῦ, ὡς ὑποδοχὴν ὄντα τῆς ποιή-

1. Ὅτι ... π. τ. θεοῦ] Vulgo ἢ ὅτι ... π. τ. θεοῦ; Monitu Marani

etiam imperfectam illi potestatem effectricem affingere, quia non statim atque est mundum fecit, sed posterius quum ei visum est; non enim fieri potest ut qui in una aliqua relatione imperfectus est non etiam in aliis omnibus relationibus imperfectus sit.

Quæstio christiana ad gentiles V.

Si ingenitum est coelum et ingenitus deus, et in coelo deus habitat: quomodo deus in iis quae sua non sunt habitans non afficitur contumelia? Quod enim non fecit coelum, id ejus non est.

Responsio gentilis ad Christianos.

Ingenitum deum esse et ingenitum coelum perspicitur tum ex iis quae leviter modo disputata sunt tum ex iis quae a multis egregie demonstrata sunt. Illud autem a ratione alienum esse ut deus in coelo dicatur habitare, hîc consideremus. Primum quidem quod habitatur ad salutem habitantis factum est: quare, si mundus quidem habitatio est, deus autem habitator, mundus videlicet deum servat et deus a mundo servatur, quod sane omnium absurdissimum est. Praeterea quod praestantius est continens est inferioris, quod autem inferius est a praestantiore continetur. Porro habitator habitatione continetur, ac deum profecto continebit habitatio: eritque ob eam causam deus deteriori conditione, opificium autem meliori. Insuper quod continetur in loco est, quidquid autem in loco est corpus est: ac proinde deus, si in loco est, corpus erit. Quomodo igitur corpus quod minus est, quatenus continetur, majus corpus continebit? Absurdum id dictu est. Id autem quod in loco habitat contineri domicilio, cuilibet manifestum est etiam sponte caecutienti. Quid igitur? inquies. Quomodo Homerus opificis domicilium appellat coelum? Quia, ubique dei circa mundum splendorem intuens, mundum appellavit domicilium dei, ut omnis dei operationis et effe-

illud ἢ delevi. Fortasse διότι scriptum erat, ut paulo infra.

σεως καὶ δημιουργίας πάσης τοῦ θεοῦ. Ἐξαιρέτως δὲ τὸν οὐρανὸν καλοῦσι, διότι τοῦ παντὸς κόσμου τὸ ἀκρότατον τὸν οὐρανὸν πᾶσιν εἶναι ὡμολόγηται.

Ἔλεγχος τῆς ἀποκρίσεως οὐκ ὀρθῶς γεγενημένης. C

1. Τὸ λέγειν δημιουργὸν μὲν τὸν θεόν, ἀδημιούργητον δὲ τὸν κόσμον· τὸ γὰρ ἀδημιούργητον ἴσον δύναται τῷ ἀγεννήτῳ, τῶν ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις· καὶ τὸ λέγειν Ὁ ἀδημιούργητος θεὸς ἀδημιούργητα ποιεῖ, ὃ ἴσον ἐστὶ τῷ τὸν ἀγέννητον θεὸν ἀγεννήτως ἀγέννητα ποιεῖν· καὶ τὸ λέγειν ἀΐδιον μὲν τὸν θεόν, συναΐδιον δὲ τὸν κόσμον, καὶ ἐκ τῆς ἀνυπαρξίας εἰς ὕπαρ- D
